ne orationis partes. Ex qua si subducatur nomē, aut verbum, oratio non erit integra: si ceteræ, non ita. exempli gratia, ὁ αὐτὸς ἄνθρωπος ὀλισθήσας σήμερον κατέπεσεν, hoc est, *idem homo lapsus, hodie decidit*. hic continentur omnes partes orationis, præter coniunctionem; quæ si addatur, alteram orationem exiget. Fac igitur deesse nomen, aut verbum, deficiet omnino oratio, & modo desiderabit nomen, modo verbum: *idem lapsus hodie decidit*: vel, *idem homo lapsus hodie*. quod si subtrahas aduerbium, oratio omnino non deficiet; *idem homo lapsus decidit*. si tollas etiam participium, ne sic quidem oratio erit manca; *idem homo decidit*. eodem erit modo, si demas præpositionem; *idem homo cecidit*. & articulum. nam istud, ἄνθρωπος ἔπεσεν, non requirit omnino relationem personæ cognitæ, sed primam hominis expositionem. Nec negauerim orationem perfectam etiam ex pronomine & verbo constare posse: quandoquidem hæc quoque oratio absoluta est, *ego ambulo, tu ambulas*. hoc enim fit, quoties pro nomine pronomen sumitur, & potestate rursus eadem constructio est. quando autem pronomen loco nominis sumatur, cum de singulis partibus agemus, demonstrabitur, & quæ verba cum recto tantum casu iungantur, & quæ obliquos postulent.

Præponitur autem necessario nomen verbo; quoniam afficere & affici (id est, agere & pati) est corporis propriũ: corporib. vero nominũ positio imponitur: ex quib. verbi proprietas, actio inquam & passio, exsistit. Adest igitur verbis rectus casus in prima & secunda persona finitus; in tertia, infinitus; quia personæ tertiæ infinitæ sunt: nisi fiat actio eximia; vt in illis, *fulgurat, tonat*. Obtinuit itaq; nomen verbo præpositum, vt ceteræ partes orationis vocentur nomina, propter locum principem, quem tenet ante verbum. nam si quis a contrariis afferat, nomen a communi ceterarum partium appellatione, omnium appellationẽ accepisse, idem affirmauerit, principem locũ propterea obtinuisse, quod primam orationis partem commõstrat. id quod etiam in literis demonstrauimus, cum propter earum inuentionem diximus, literas omneis παρὰ τὸ ἀλφεῖν, (quod est inuenire) potuisse vti appellatione ipsius α; quæ primo loco collocata, tulit appellationem omnium, præsertim adiuuante sono eius. concurrit enim initium τοῦ ἀλφεῖν cum ipso elemento pronuntiato. cetera elementa sortita sunt priuatas productiones. Illud nimirum hoc loco non sine ratione quis quærat, cur non post nomen statim pars quæ pro eo sumitur, prono-

Καὶ τοῦ ῥήματος δὲ ἀναγκαίως προέχεται τὸ ὄνομα· ἐπεὶ τὸ διατιθέναι καὶ διατίθεσθαι, σώματος ἴδιον, τοῖς [δὲ] σώμασιν ἐπίκειται ἡ θέσις τῶν ὀνομάτων: ἐξ ὧν ἡ ἰδιότης τοῦ ῥήματος· λέγω τὴν ἐνέργειαν, καὶ τὸ πάθος. Παρυφίσταται οὖν ἡ εὐθεῖα ἐν αὐτοῖς τοῖς ῥήμασι, κατὰ μὲν τὸ πρῶτον καὶ δεύτερον ὁριζομένη· κατὰ δὲ τὸ τρίτον, διὰ τὸ ἄπειρα εἶναι τὰ τρίτα, ἀοριστουμένη· χωρὶς εἰ μὴ ἐξαίρετος ἡ ἐνέργεια γένοιτο· καθάπερ ἐπὶ τοῦ ἀστράπτει, ἢ βροντᾷ. κατεκράτησεν οὖν καὶ ἡ ἀπ' αὐτοῦ θέσις, τὸ, πάντα τὰ τοῦ λόγου μέρη καλεῖσθαι ὀνόματα· ὡς ἂν αὐτοῦ προϋφεστῶτος. εἰ γὰρ ἐκ τῶν ἐναντίων τις ἐκεῖνο ἀποφαίνοιτο, ὡς ἐκ τῆς κοινῆς ὀνομασίας τῶν λέξεων αὐτὸ ἀπηνέγκατο τὴν ὀνομασίαν ἁπάντων, καὶ κατὰ τοῦτο δὴ εὔποιεν εἰληφέναι [τὴν] πρώτην θέσιν, ὡς τὴν πρώτην τῶν λέξεων ἐπιδεξάμενον, καθότι καὶ δεικνυμένη ὡς ἕνεκα τῆς εὑρέσεως τῶν στοιχείων, πάντα τὰ στοιχεῖα, παρὰ τὸ ἀλφεῖν, ἐδύνατο δήπουθεν ὀνομασίᾳ χρῆσθαι τῇ τοῦ α· ὅπερ ἀφείλετο τὴν πάντων ὀνομασίαν, διά γε τὴν ἐν ἑαυτῷ γινομένην πρώτην θέσιν· συνδραμόντος καὶ τοῦ ἀπ' αὐτοῦ φθόγγου· συνέδραμε γὰρ ἡ τοῦ ἀλφεῖν ἀρχὴ τῇ ἐκφωνήσει τοῦ στοιχείου, τῶν ὑπολοίπων ἰδίας τὰς ἐπεκτάσεις εἰληφότων. Οὐκ ἀλόγως δ' ἐκεῖνο οἶμαι τις ἐπιζητήσει τῇδε, τί ποτε οὐχὶ μετὰ τὴν τοῦ ὀνόματος θέσιν, τὸ ἀντὶ τούτου μόριον παραλαμβανόμενον ὑπετάγη, (λέγω δὴ τὴν

καὶ

εὔποιμεν

γένεσιν

τῆς συνέβη

ἢ δήποτε

δὴ τὴν ἀντωνυμίαν· ἤγε κατὰ ἀμοιβὴν τοῦ ὀνόματος, πάλιν σὺν τῷ ῥήματι συνέχει τὸν λόγον) ἀλλὰ τὸ ῥῆμα. περὶ οὗ ἂν προφανὴς ἀπόδειξις γένοιτο ἤδε, ὡς ἕνεκα τῆς τῶν ῥημάτων συνόδου ἐπενοήθησαν αἱ ἀντωνυμίαι. ἐπεὶ γὰρ τὰ ὀνόματα τρίτων προσώπων εἰσὶν ἀποφαντικά, καθὸ αἱ ἀπ' αὐτῶν θέσεις γινόμεναι, οὔτε ἐκ τῶν ἀποφαινομένων προσώπων εἰσίν, ὅπερ ἐστὶν ἴδιον πρώτου προσώπου. οὐ γὰρ δή γε ἑαυτοῖς τιθέασιν οἱ παῖδες τὰ ὀνόματα, οὐδὲ πρὸς αὐτοὺς ἀποφαινόμενοι τὰς ὀνομασίας ποιούμεθα. ὅπερ ἐστὶ δευτέρου προσώπου. ἦν δὲ τὰ ῥήματα ἐν τρισὶ προσώποις καταγινόμενα· καὶ διὰ τοῦτο προσεπενοήθη ἡ ἀντωνυμία ἐν προσώποις καταγινομένη, αὐτόματα πληροῦσα καὶ τὴν θέσιν τοῦ ὀνόματος, καὶ τὴν τάξιν τοῦ ῥήματος· ὡς ἐν τοῖς τοιούτοις, ἐγὼ γράφω, σὺ γράφεις· καὶ διὰ τοῦτο οὐκ ἐνεποδίζετο τὸ, ἐν τρίτῳ λέγειν προσώπῳ, Ἀρίσταρχος ἀναγινώσκει· ὡς ἂν δὴ τρίτων συνόντων. Οὐ τοῦτο δὲ παρίστημι, ὡς αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι περιτταί εἰσι, δυναμένων τῶν ὀνομάτων κατὰ τὸ τρίτον πρόσωπον παραλαμβάνεσθαι. διότι γὰρ καὶ ἐν τρίτοις προσώποις καταγίνονται αἱ ἀντωνυμίαι, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. καὶ εἰ τοῦτο ἀληθές, προφανὲς ὅτι προϋποσήπεται ἡ τῶν ῥημάτων τάξις, διὰ τὴν ταῦτα ἐπινοηθεισῶν ἀντωνυμιῶν. τὸ δὲ μεῖζον, τὰ ῥήματα προσώπων τῶν κατ'

γρ. ἐν αὐτοῖς

γρ. τὸ ἀλη... ...

men inquam, subiecta sit; si quidem vice nominis cum verbo iuncta, continet orationem; sed verbum potius sequitur. Huius rei nō dubia probatio illa fuerit. pronomina inuenta sunt ob eā causam, vt cum verbis iungerētur: nomina tertias tantum personas indicant; quandoquidem neque eius personæ sunt, quæ enuntiat; id quod est proprium primæ personæ. neque enim pueri imponunt sibi ipsis nomina; neq; nos erga eos pronuntiantes, nomina imponimus. id quod secundæ personæ est. verba porro in tribus spectantur personis. ob eam igitur causam pronomen, quod spectatur in tribus personis, inuentum est, quod loco nominis esset, & verbo congruam personam adiungeret; vt in his exemplis apparet, ἐγὼ γράφω, σὺ γράφεις: at in tertia persona nihil impedit dicere, *Aristarchus legit*; quoniā tertia persona inest nominibus. Neq; tamen illud assero, pronomina tertiæ personæ esse superuacanea: quia nomina ad tertiā personam significandam sumūtur. Cur autem pronomina etiam in tertiis personis inueniantur, in sequentibus præceptis demonstrabitur. Hoc si verum est, perspicuum fit, verbum ordine antecedere pronomē, quod verbi causa inuentum est. quod autem maius est, verborū natura ea est, vt absolute posita personas in-

dicent, quæ recto casu intelliguntur. qui enim enunciat *ambulo*, vel *scribo*, non vt discrimen faciat alterius personæ, id enunciat. Pronomina vero, ad personas distinguendas inuenta, in obliquis casibus sunt enclitica: obliqui autē casus absolutas indicāt personas. Quamquam sumuntur etiam pronomina recto tenore, sed vt personæ discrimen adhibeatur; παῖδα δ' ἐμοὶ λύσαιτε φίλην. hoc enim refertur ad illud, ὑμῖν μὲν θεοὶ δοῖεν. &, ἢ δή με χρεὼς ἐλθοῦσα. refertur enim ad illud, φίλων ἀπάνευθεν ἑταίρων. Quomodo igitur pronomina recti casus encliticam personam nō recipiunt? quia verba, quæ antecedunt ordine, funguntur vice personæ absolutæ recti casus. ita vt nō necesse fuerit excogitare pronomina enclitica recti casus. essent enim superuacanea fortasse magis quām coniunctiones quę dicuntur expletiuæ; quas demonstrabimus assumi necessario. itaque pronomen encliticum τὺ. quod est Dorum, & est recti casus, viriauit necessario rectum casum, & in accusatiuum affinem transiit. constat itaque pronomina recti casus ea de causa stetisse, quod verba nequeunt discrimen demonstrare: atque ita coguntur assumere pronomen, quod habet hāc vim & naturam præcipuam, vt afferat discrimen. Participium etiam est recte positum post verbum, ordine

Il. α.

Od. μ.

ἄπο νόσφιν

εὐθεῖαν νοουμένων ἐστὶ παραστατικά. ἅπερ ἀπολύτως νοεῖται. ὁ γὰρ ἀποφαινόμενος περιπατῶ, ἢ γράφω, οὐ πρὸς ἑτέρου προσώπου ἔνδειξιν ὁρίζεται. αἵ τε ἀντωνυμίαι, εἰς διάκρισιν προσώπου ἐπινοηθεῖσαι, ἐν μὲν ταῖς πλαγίαις πτώσεσιν, ἧπερ καὶ ἐγκλιτικαί· αἵπερ εἰσιν ἀπολύτων προσώπων παραστατικαί· παραλαμβάνονται δὲ καὶ εἰς ὀρθὴν πτῶσιν, εἰς παρέμπτωσιν ἀντιδιαστελλομένου προσώπου· ὡς ἔχει τὸ, Παῖδα δ' ἐμοὶ λύσατε, πρὸς τὸ, ὑμῖν μὲν θεοὶ δοῖεν· καὶ τὸ, ἢ δή με χρεὼς ἐλθοῦσα, πρὸς τὸ, φίλων ἀπάνευθεν ἑταίρων. Πῶς οὖν αἱ τῆς εὐθείας πτώσεως ἀντωνυμίαι τὸ ἐγκλιτικὸν πρόσωπον οὐ παρεδέχοντο; ἢ ὅτι προϋφεστώτων τῶν ῥημάτων, καὶ ἀναπληρούντων τὸ τῆς εὐθείας ἀπόλυτον πρόσωπον, εἰς οὐδὲν χρειῶδες ἐπενοοῦντο αἱ τῆς εὐθείας ἐγκλιτικαὶ ἀντωνυμίαι, τάχα παρελκόμεναι πλέον τῶν παραπληρωματικῶν συνδέσμων· οὓς ἀποδείξομεν καὶ ἀναγκαίως παραλαμβανομένους. ἡ γοῦν ἐγκλιθεῖσα τῆς ὀρθῆς πτώσεως παρὰ Δωριεῦσι τὺ, ἀναγκαίως παρέφθειρε καὶ τὴν εὐθεῖαν, μεταστᾶσα εἰς τὴν συζυγοῦν αἰτιατικήν· καὶ φαίνεται ὅτι ἐνέμειναν αἱ τῆς εὐθείας ἀντωνυμίαι οὐ δι' ἄλλο τι, ἢ καθ' ὃ τὰ ῥήματα οὐ δυνάμενα παραστῆσαι τὴν ἀντιδιαστολὴν, συμπαρελάμβανε τὴν ἀντωνυμίαν ἕνεκα τοῦ ἐξαιρέτου αὐτῆς ἰδιώματος, λέγω τῆς ἀντιδιαστολῆς. Καὶ ἡ μετοχὴ δὲ κατὰ τὴν δευτέραν ἀκολουθίαν κατελέχθη μετὰ τὸ ῥῆμα, τῆς τάξεως

ἢ παισὶ

ἢ ἀπονόσφιν

ἐμφαινούσης τὴν ἐκ τοῦ ῥήματος μετάπτωσιν εἰς αὐτήν, ὥς γε ἐν τῷ περὶ μετοχῆς διὰ πλειόνων παρεστήσαμεν, ὡς ἀναγκαίως αἱ μεταλήψεις τῶν ῥημάτων ἐγίνοντο εἰς πτωτικὰ σχήματα, σὺν τοῖς παρεπομένοις γένεσι, τῶν ῥημάτων οὐ δυναμένων τὴν καταλληλότητα παραστῆσαι.

Προφανὲς δὲ ὅτι ἡ ἐγγινομένη θέσις τοῦ ὀνόματος, οὐκ ἄλλως ἂν ἐφυλάχθη, εἰ μὴ μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα, τὸ ἐκ τούτων ἐκ καταφάσεως ἠρτημένον μόριον [ἡ μετοχὴ] παρελαμβάνετο· ὡς καὶ μετὰ τὸ ἀρρενικὸν καὶ θηλυκὸν, τὸ τούτων ἀποφατικὸν οὐδέτερον. εἰ γὰρ μὴ προσδεξαίμεθα τὴν τῶν προκειμένων μορίων προτέραν θέσιν, καταλείψεται τὸ μηδὲ μετοχὴν καλεῖν μηδὲ μὴν οὐδέτερον· ἐπεὶ τινῶν δύο προϋφεστώτων, γένοιτο ἂν ἀποφατικὸν τὸ οὐδέτερον· τινῶν δὲ μεθέξει ἡ μετοχή. ἀλλ' οὐδὲ ἄλλου μορίου δύναιτο ἄν τις παρέμπτωσιν ποιήσασθαι· λέγω ἀντωνυμίας, ἐπιρρήματος, συνδέσμου, [ἄρθρου,] ἄλλου του. οὐδὲ γὰρ τῆς τούτων ἰδιότητος μετέσχεν. Οὐχ ὡς ἔτυχε δὲ καὶ ἡ τοῦ ἄρθρου τάξις προσερρίφη· ὑπαγορεύουσα μὲν τὸ συνηρτημένον τοῖς πτωτικοῖς, ἐκκλίνασα δὲ τὰ ἀπαράδεκτον τῶν ἄρθρων ἀντωνυμίαν· ὅπου καὶ μέχρι ῥήματος ἡ τούτου συνάρτησίς ἐστι· τὸ φιλολογεῖν καλόν ἐστι, τῷ περιπατεῖν ἥδομαι. Οὐ δεήσεται [οὖν] ἐπιστάσεως ἡ ὑποῦσα ἀντωνυμία· ὅπου καὶ παρεκινδύνευε

ipso indicante ex verbo natum esse;quemadmodū cum de participio agebamus,pluribus demōstrauimus, verba videlicet necessario mutari in formas, quæ habent casus & genera accidētia;quia verba ipsa nequeunt congruentiam demonstrare. Patet autem,positionem nominis insitam participio,non aliter fuisse permansuram,nisi pars ista orationis, (participiū inquā)quæ pendet affirmatiue a nomine & verbo, post horum vtrumq; collocata fuisset: sicuti post masculinū & fœmininum,positum est eorum negans,neutrum.nisi enim cōcesserimus, vt præpositæ partes istæ ordine antecedant, non erit nobis integrum aut participiū,aut neutrum genus appellare: quandoquidē præpositis duobus generibus, ita demum neutrum erit vtriusq; negans:& participium erit particeps aliquarum partiū antecedentium.Neq; vero poterit quis aliam partē orationis interponere, nempe pronomen, aduerbium,coniunctionem, aut aliam quampiā;quia participium nihil accipit ex earū vtq; natura. Articulus etiam non temere adiectus est post nomen & participium. indicat enim quod hæret iis partibus quæ habent casus: declinat vero pnomē,quod nullos recipit articulos: quin etiam cum verbo iungi solet articulus, τὸ φιλολογεῖν, καλόν ἐστι: τῷ περιπατεῖν ἥδομαι. Ergo non erit locus dubitandi cur pronomen fuerit postpositum;quandoquidem articulus poterat fere

post nomen assumi. Illud etiam perspicuum est, quodcumq; loco alterius assumitur, ordine posterius dubio procul esse. Iam si articulus iungitur nomini, & loco nominis pronomē sumitur, erit omnino concedendum, articulum, qui hęret nomini, anteponendū esse pronomini. Fortasse enim & pronomina relatiua sunt loco nominū, quæ cum articulis enuntiantur. nā nomina per se nullam relationem habent, nisi assumant articulum, cuius est peculiaris relatio. potest ate igitur sumuntur loco articulorū. Itaq; ipsi articuli, seiuncti a nominibus, transeunt in pronomen, quod eis subiectum
Il. α. est. vt in istis exemplis: ὁ γὰρ, ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν: &c, ὃς γάρ ῥα μάλιστα ἥνδανε κηρύκων: &c, τὴν δ' ἀπαμειβόμενος. de quorum constructione suo loco absolute demonstrauimus.

Cōstat præterea præpositionem non habere sedem primariam, & antiquiorē ceteris partibus: itaque hoc loco positā post pronomen. Constat etiam, eam sortitā fuisse istam appellationem non ex vi aliqua sibi insita, sed quia ceteris partibus, quas sequitur, præponi solet: quæ nisi antecederēt, ne ista quidem cum eis iungeretur (id quod etiā de participio docuimus, cum de eo agebamus) eo loco, quo consueuit recipi; vbi scilicet modo per cōpositionem, modo per appositionē præponitur partibus antedi-

μετὰ τὴν τοῦ ὀνόματος θέσιν παραλαμβάνεσθαι. Πρόδηλον δὲ ὅτι καὶ τὸ ἀντί τινος παραλαμβανόμενον, μεταγενεστέραν θέσιν ὁμολογεῖ. καὶ εἰ τὸ ἄρθρον μετὰ ὀνόματος, καὶ ἡ ἀντωνυμία ἀντὶ ὀνόματος, δέδεικται ὅτι τὸ συνυπάρχον ἄρθρον τῷ ὀνόματι, πρεσβύτερόν ἐστι τῆς ἀντωνυμίας. ἴσως γὰρ καὶ αἱ ἀναφορικαὶ ἀντωνυμίαι, ἀντὶ ὀνομάτων εἰσὶ τῶν σὺν ἄρθροις λεγομένων. οὐ γὰρ δήπου τὰ ὀνόματα ἐξ αὑτῶν ἀναφορὰν παρείσησιν, εἰ μὴ συμπαραλάβοιεν τὸ ἄρθρον, οὗ ἐξαίρετός ἐστιν ἡ ἀναφορά. δυνάμει ἄρα ἀντὶ ἄρθρων παραλαμβάνεται. αὐτὰ οὖν τὰ ἄρθρα, τῆς πρὸς τὰ ὀνόματα συναρτήσεως ἀποστάντα, εἰς τὴν ὑποτεταγμένην ἀντωνυμίαν μεταπίπτει· ὡς ἐν τοῖς τοιούτοις· ὁ γὰρ, ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· ὃς γάρ ῥα μάλιστα ἥνδανε κηρύκων· τὴν δ' ἀπαμειβόμενος. ὑπὲρ τῆς τοιαύτης συντάξεως κατὰ τοὺς προσήκοντας λόγους ἐντελῶς τὰ τῆς συντάξεως ἀποδείξομεν. [γρ. ἀπε- δείξα-] Φαίνεται δὲ ὅτι καὶ ἡ πρόθεσις, οὐ μόνον πρώτην ἔχουσα θέσιν καὶ ἀρχαιοτέραν τῶν ἄλλων λέξεων, τῇδε κατελέχθη, ὅπου [γε] κατ' ἰδίας ἐννοίας τὴν ὀνομασίαν εἴληχεν· ἀλλ' ἐκ τοῦ τῶν προϋπόντων μορίων προτίθεσθαι· ἅπερ εἰ μὴ προϋφεστήκοι, οὐδ' αὕτη συστήσεται· καθὼς ἐπεδείκνυμεν κἀπὶ τῆς μετοχῆς· ἔνθα γοῦν καὶ τῆς τάξεως ἔτυχεν· εἴγε ὁτὲ μὲν κατὰ σύνθεσιν, ὁτὲ δὲ κατὰ παράθεσιν προτίθεται τῶν προκατειλεγμένων μορίων.

είων· ὥστε μεταγενεστέρα μέν ἐστι τῇ φύσει, τῇ τάξει δὲ ἀρχαϊκή. Καθότι ἔστι νοῆσαι κἀπὶ τοῦ καλουμένου προθετικοῦ ἄρθρου. οὐ γὰρ δήγε, ὅτι καὶ προτάσσεται, καὶ πρεσβύτερον τῶν ὀνομάτων. ἰδοὺ γὰρ παρατιθέμενον τοῖς ὀνόμασι, τὴν ἔκπαλαι τούτων γνῶσιν ἀποτελεῖ. Κἀπειδὴ τὸ ἐπίρρημα [τοῦ] ῥήματός ἐστι δυνάμει ἐπιθετικὴ σύνταξις, ὡς καὶ ἡ ἐγγινομένη θέσις τοῦ ὀνόματος μαρτυρεῖ, [δεύτερον δὲ τὸ ῥῆμα τοῦ ὀνόματος,] δεύτερόν γε ἄρα καὶ τὸ ἐπίρρημα προθέσεως, τῆς κατὰ σύνθεσιν καὶ κατὰ παράθεσιν προτιθεμένης τῶν ὀνομάτων. Ἐπὶ πᾶσι δὲ τοῖς κατειλεγμένοις, ὁ τούτων συνδετικὸς σύνδεσμος παρελαμβάνετο, οὐδὲν δυνάμενος ἰδίᾳ παραστῆσαι, χωρὶς τῆς τῶν λέξεων ὕλης· καθάπερ οἱ τῶν σωμάτων δεσμοὶ οὐκ εἰσὶ χρειώδεις, ἀνυποστάτων ὄντων τῶν σωμάτων. Ἔστι δὲ καὶ διὰ πλειόνων τὰ τῆς τάξεως ἐπιδείξασθαι· ἀλλ' ἐπεὶ οὐ περὶ ταύτης σκοπὸς ἡμῖν πρόκειται, αὐτοῦ που παρεχωρητέον τὸν λόγον· κἀκεῖνό γε πρότερον ἐπιστατέον περὶ τῆς κατὰ μέρος τοῦ λόγου συντάξεως, † Ὅτι δή ποτε τὰ πευστικὰ τῶν μορίων, εἰς δύο μέρη λόγου ἐχώρησε· λέγω δὲ ὀ[…]τικὸν καὶ [τὸ] ἐπιρρηματικόν· καὶ […] οὐκ εἰς ἓν ὀνοματικὸν καὶ ἓν ἐπιρρηματικόν, ἀλλ' εἰς πλείονα, τίς, ποῖος, πόσος, πέσος, […]

ctis. Ergo natura quidem posterior est, ordine vero principiis accommodatur. Hoc idem intelligendum est de articulo præpositiuo; qui, nõ quia nominibus præponitur, ideo etiam antiquior nobiliorque eis existimandus est: sed appositus, indicat notitiam eorum iam pridem habitam. Et quoniã aduerbium habet vim adiectiui, quod cũ verbo construitur, sicuti nomen ei inditum testatur; verbum autem est nomine posterius: sequitur vt etiam aduerbium sit posterius præpositione; quæ præponitur nominibus siue per compositionem, siue per appositionem. Postremum deniq; locum omnium partium obtinuit coniunctio, quæ eas omneis copulat & cõnectit, cum nullam ipsa per se significationem habeat, nisi subiectis verbis: quẽadmodum in corpore vincula & nerui nullũ habent vsum, nisi exsistant artus qui ab eis vinciãtur. Quamq̃ vero pluribus hic ordo partiũ demonstrari possit, tamen, quia non est iam nobis proposita hæc disputatio, hactenus de eo dictum sit: illud autem quærẽdum primum antequam ad constructionem singularum partiũ orationis veniamus; *quamobrem interrogatiuę particulæ in duas tãtum parteis concesserint, in nomen inquam, & aduerbiũ; & cur non in vnum nomen, vnũq; aduerbium, sed in plura; vt *quis, qualis, vter, quãtus, quo-*

Theod. Gaza 134.

Theod. 127.

**i. cur interrogationes duabus tantum partibus orationis fiant, nomine scilicet, & aduerbio; & cur non uno nomine, unoq; aduerbio, sed pluribus, ac variis.*

tus, quotenus, cuias: quî, quando, qua hora, ubi, quo, unde. an ista etiam est demonstratio, partes orationis præcipuas, duas esse: nomen scilicet & verbum: quæ dum ignorantur, solet sæpius quæri.

Quæritur autem pluribus nominibus, & pluribus aduerbiis, propterea quod, cum quærimus naturam alicuius subiecti, dicimus *quis mouetur? quis ambulat? quis loquitur?* hic enim motus, ambulatio, locutio, certa est: persona, quæ mouetur, quæ ambulat, quæ loquitur, incerta. vbi etiam respõsiones fieri solẽt per nomina vel appellatiua, vel propria. nam propria quoque indicant naturam generalem: respondemus enim aut *homo ambulat*, aut *Trypho*. in quo rursus nomẽ hominis intelligitur: aut per eam orationis partẽ, quæ pro nomine accipitur proprio; cũ *ego* dicimus. Et quoniam quæ accidunt nominibus præpositis, incerta sunt; (ipsum enim per se *quis* nomen interrogatiuum, quærebat solam substantiam, cui accidit qualitas, quantitas, & magnitudo) excogitata igitur est etiam de iis interrogatio, cum quærentes qualitatem, dicimus *qualis*: quantitatem, *quantus*: magnitudinem, *quam magnus*: & in deriuatione gentili quæ ducitur a nomine interrogatiuo *qualis*, *cuias*. itaque si nota sit antea substantia, & qualitas quæratur per interrogationem vice adiectiui, so-

λίκος, ποδαπός· πῶς, πότε, πηνίκα, ποῦ, πῆ, πόθεν. ἦ καὶ αὕτη ἀπόδειξίς ἐστι τοῦ τὰ ἐμψυχότατα μέρη τοῦ λόγου δύο εἶναι, ὄνομα καὶ ῥῆμα. ἅπερ οὐκ ἐν γνώσει ὄντα, τὴν κατ' αὐτῶν πεῦσιν ἔχει συνεχῶς παραλαμβανομένην. Ἦν δὲ καὶ ἐν πλείοσιν ὀνοματικοῖς, καὶ ἐν πλείοσιν ἐπιρρηματικοῖς, [καὶ] διὰ λόγον τοιοῦτον. ὕπαρξιν τινὸς ὑποκειμένου ζητοῦντες, φαμὲν, τίς κινεῖται· τίς περιπατεῖ· τίς λαλεῖ· προδήλου μὲν οὔσης τῆς κινήσεως, περιπατήσεως, καὶ λαλιᾶς· τοῦ δὲ ἐνεργοῦντος προσώπου, ἀδήλου καθεστῶτος. ἔνθα καὶ αἱ ἀνθυπαγωγαὶ ὀνοματικαὶ γίνονται) προσηγορικαὶ ἢ κύριαι, τῶν κυρίων ἐμφανιζόντων καὶ τὴν οὐσίαν. ἴσ. χαρα-κλῶ φαμὲν γὰρ † ἢ ἄνθρωπος περιπατεῖ, ἢ Τρύφων, [ἢ ἵππος,] ἐξακουομένου πάλιν τοῦ ἀνθρώπου. ἢ κύριον τὸ ἀντ' ὀνόματος μόριον παραλαμβανόμενον, λέγω τοῦ κυρίου· ὅτε φαμὲν ἐγώ. κἀπεὶ οὐκ ἐμφαίνοντα τὰ ἐπισυμβαίνοντα τοῖς προκειμένοις ὀνόμασιν· αὐτὸ γὰρ [μόνον] τὸ τίς, ὄνομα τῆς οὐσίας ἐζήτει, ἢ ἐπέβεχε τὸ ποιὸν καὶ γρ. ἐπιζητεῖ τὸ ποσὸν καὶ τὸ πηλίκον· προσεπινοεῖται [οὖν] καὶ ἡ κατὰ τούτων πεῦσις· ὅτε κατὰ μὲν ἴσ. ὅτι ποιότητα ζητοῦντες, λέγομεν ποῖος· κατὰ δὲ D. ποσότητα, πόσος· κατὰ δὲ πηλικότητα, πηλίκος· κ[αὶ κατὰ] † παραγωγῇ ἐθνικῇ τῇ ἀπὸ τοῦ π[οῦ] ποδαπός. ὥστε ἀνθυπάγεσθαι μὲν τῷ ποῖος, προλελημματι- γρ. προλαμβανόμενον [σμέ]νον ἀπὸ τοῦ τίς, ὡς κατ' ἐπιθετικὴν πεῦσιν

πτῶσιν, εἰ τύχοι, ὁ γραμματικός· ὁ μουσικός· ὁ δρομεύς· ἔχοντος τοῦ λόγου τῇδε, τίς ἀναγινώσκει; Τρύφων· πότερος ἢ ποῖος ὁ γραμματικός, ἢ ὁ ῥήτωρ; ἅπαντα τὰ δυνάμενα ἐπισυμβαίνειν τοῖς ἐκ τοῦ τίς ἀνθυπαγομένοις ὀνόμασι κατ' ἐπιθετικὴν ἔννοιαν. διότι μέντοι τὰ ἀνθυπαγόμενα μετὰ [τοῦ] ἄρθρου τὴν ἀνταπόδοσιν ἔχει, ὕστερον εἰρήσεται. ἀλλ' ἐπειδὴ καί τινά ἐστι δι' ἑνικοῦ χαρακτῆρος πλῆθος ἐμφαίνοντα, καὶ τούτων τῇ ἀγνοίᾳ ἡ πεῦσις χαρακτῆρα ἀπένειμε. λέγω, ἐν τῷ πόσος, ὅτε ἐπὶ πλήθους πυνθανόμεθα· καὶ ὅτε τάξιν τὴν καθ' ἕκαστον ἀριθμὸν ἐπὶ πλήθους ἐπιζητοῦμεν, ὡς ἐν τῷ πόστος· καὶ ὡς προείπομεν, ἐπὶ μεγέθους, πηλίκος· καὶ ἐπὶ ἐθνικῆς ἐννοίας, ποδαπός. ἢ ἔσθ' ὅτε ἀνθυπάγεται καὶ τὰ ἐν ποιότητι, εἰ τύχοι, ὅτε λέγομεν, † ποδαπός ἐστι Τρύφων; μέλας, ἢ λευκός· ἤ τι τοιοῦτον. ἅπερ οἶμαι οὐκ ἀληθῶς ἀνθυπάγεσθαι τῇ πρὸς τὸ πρωτότυπον πεύσει, λέγω τῇ ποῖος. ᾧ λόγῳ καὶ τὸ ἡμεδαπὸς ἔχον τὴν ἀντωνυμικὴν θέσιν, καὶ ἔτι τὸ ὑμεδαπὸς, τό τε παρὰ τὸ ἄλλος ἀλλοδαπός· πάλιν τὴν ἀναίρεσιν τῶν προσώπων τῆς ἐθνικῆς παραγωγῆς ἐπαγγελλομένης· † τούτῳ μέντοι διοίσοντα, ἢ τὰ μὲν ἐκ τοῦ ποῖος ἀνθυπαγόμενα, μετὰ [τοῦ] ἄρθρου ῥητά ἐστι· ποῖος

ὑπόδοσιν D.

let responderi, *grammaticus, musicus, cursor*; vt puta si dicatur, *quis legit? Trypho: vter*, vel *qualis? grammaticus*, vel *rhetor*, vel quidlibet, quod potest accidere nominibus quæ significatione adiectiua ad nomē interrogatiuum *quis* referuntur. cur aūt quæ referūtur, habeant cōiunctū articulū, huius rei ratio reddetur postea. Quoniā vero nōnulla sunt q̄ numero vnitaris multitudinē indicāt, his etiā, quia ignorantur, notam interrogatio tribuit; vt in nomine *quantus*, cum de multitudine quærimus: & in *quotus*, cū quærimus item in multitudine ordinem numeri; & in *quam magnus*, in magnitudine, vt ante dictum est: & in ποδαπὸς, *cuias*, cum de gente percontamur: ad hoc postremum interdum respōdemus nomine qualitatis, si res ita tulerit: vt, cum dicimus, ποδαπός ἐστι Τρύφων; & *niger*, aut *albus*, aut aliquid eiusmodi respondemus. Quamquā meo quidem iudicio hæc non recte referuntur ad huiusmodi nomina interrogatiua, deducta a primitiuo ποῖος: sicuti ne illa quidem ἡμεδαπὸς, ὑμεδαπὸς, (i. *nostras*, & *vestras*) quæ obtinēt *locum pronominis; & ἀλλοδαπὸς, quod est *alienigena*, & deducitur ab ἄλλος: quoniam nomina ista deriuata, & de gente interrogantia, profitētur hic rursus personas non adesse: illud tamen discriminis ista ab illis habitura videntur, quod ea quæ ad primitiuum ποῖος referuntur, possunt pronuntiari cum articulo: ποῖος

* positionem

Τρύφων; ὁ μέλας, si ita res tulerit; vel ὁ λευκός. ὁ πότερος Αἴας; ὁ Λοκρὸς, vel ὁ Τελαμώνιος: at si quęras, ποδαπός ἐστι Τρύφων; certa & minime dubia respõsio erit, *Alexandrinus, Atheniensis*. surreptitia erit, *niger* aut *albus*, propter nomen interrogatiuum ποδαπὸς, quod refertur ad primitiuum ποῖος. aliquando tamen & substantia, & qualitas, & cetera accidentia, sub sensum cadunt; & nihilominus interrogatio q̃ pertinet ad nominis proprietatem, adhibetur. respicit enim Priamus hęc omnia; substantiam in ὅδε: gentem, in Ἀχαιὸς ἀνὴρ: qualitatem, in ἠΰς: quantitatem, in μέγας: at non ita nouit proprietatem nominis. ea itaque refertur illis verbis; Οὗτος δ' Αἴας ἐστὶ πελώριος. Aduerbia quoq; referuntur ad ignotos verbi affectus: vel de qualitate actionis; vt cum quærimus, *qualiter legit?* & reddimus aduerbiũ quod habet vim epitheti, *preclare, rhetorice, philosophice*. vel, cum non qualitatem, sed tempus quærimus, quo res acta est, & dicimus *quando? qua hora?* iis enim rursum respondemus, *heri, modo, iampridem*. vel cum locum, in quo res acta est, quærimus: Ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα ποιμένα λαῶν; & loci differentias; ad locum; Πῇ ἔβη Ἀνδρομάχη; de loco, *vnde venisti?* nouit Vlysses vnde venerit Elpenor. itaque non quærit vnde venerit, aut an vene-

Il. γ. Τίς τ' ἄρ ὅδ' ἄλλος Ἀχαιὸς ἀνὴρ, ἠΰς τε μέγας τε;

Il. π.

Il. ζ.

Τρύφωνι; εἰ τύχοι ὁ μέλας ἢ ὁ λευκός· ὁ πότερος Αἴας; ὁ Λοκρὸς ἢ ὁ Τελαμώνιος· ποδαπὸς [δὲ] ἐστὶ Τρύφων; τὸ μὲν ἀνενδοίαστον καὶ ὑγιές, Ἀλεξανδρεὺς, Ἀθηναῖος· τὸ δὲ παρεμπίπτον διὰ τὴν πρὸς τὸ πρωτότυπον ὡς ἔφαμεν πεῦσιν, μέλας ἢ λευκός. ἤδη μέντοι ὑπ' ὄψιν πιπτούσης τῆς οὐσίας καὶ τῆς ποιότητος· καὶ ἐπὶ τῶν συμπαρεπομένων ἔτι προσγίνεται πεῦσις ἡ κατὰ τῆς ἰδιότητος τοῦ ὀνόματος. ἀναφορὰ γοῦν ὁ Πρίαμος πάντα τὰ προειρημένα· τὴν μὲν οὐσίαν, ἐν τῷ ὅδε· καὶ τὸ ἔθνος, ἐν τῷ Ἀχαιὸς ἀνήρ· καὶ τὴν ποιότητα, ἐν τῷ ἠΰς· καὶ τὴν πηλικότητα, ἐν τῷ μέγας· οὐ μὴν τὴν ἰδιότητα τοῦ ὀνόματος. ὅθεν ἀναπληροῦται ἐν τῷ, Οὗτος δ' Αἴας ἐστὶ πελώριος. Καὶ τὰ ἐπιρρήματα δὲ φέρεται ἐπὶ τὰς ἀγνοουμένας διαθέσεις ἢ [καὶ] κατὰ ποιότητα τῆς πράξεως· ὡς φαμὲν, πῶς ἀνέγνω; ἀνθυπάγοντες δυνάμει ἐπιθετικὸν τὸ ἐπίρρημα, εἰ τύχῃ, καλῶς, ῥητορικῶς, φιλοσόφως· ἢ οὐ τοῦτο ἐπιζητοῦντες, χρόνον δὲ, καθ' ὃν τὰ τῆς διαθέσεως ἐγένετο, πότε, πηνίκα· οἷς ἀνθυπάγεται πάλιν, ἐχθὲς, πρώην, πάλαι· ἢ τόπον, ἐν ᾧ τὰ τῆς πράξεως γέγονε· ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα † ποιμένα λαῶν; καὶ διαφορᾷ τῇ ἐκ τόπου, ἢ εἰς τόπον· πῇ ἔβη Ἀνδρομάχη; πόθεν παρεγένου; γινώσκει γοῦν Ὀδυσσεὺς, πόθεν ἦλθεν Ἐλπήνωρ, καὶ οὔ φησι πόθεν ἦλθες; οὐδὲ μὴν τὸ εἰ ἔφο-

γρ. πεῦσιν

ἐπὶ

γρ. τὴν ἰδιότητα

λέξεως

τὴν ἔφοδον. διὸ φησί· πόθεν ἦλθες; Ὡς μὲν οὖν τὰ προκείμενα μόρια ἀναγκαίως καὶ ἐπιρρηματικά ἐστιν ἢ ὀνοματικά, ἀπεδείχθη· περὶ ὧν τῆς συντάξεως κατὰ τὸ ἑξῆς εἰρήσεται). Ἐπεὶ οὖν τὰ ὑπόλοιπα τῶν μερῶν τοῦ λόγου ἀνάγεται πρὸς τὴν τοῦ ῥήματος καὶ τοῦ ὀνόματος σύνταξιν, ἐξ ἧς καὶ τὴν τοῦ ὀνόματος ἔσχε θέσιν, δέον διαλαβεῖν περὶ ἑκάστου, τοῦ τε παραλαμβανομένου, καὶ τοῦ ἀνθυπαγομένου, ἢ καὶ συμπαραλαμβανομένου, ὡς αἱ ἀντωνυμίαι ἀντὶ τῶν ὀνομάτων, καὶ μετὰ τῶν ῥημάτων, [καὶ ἔτι αἱ μετοχαὶ ἀντὶ τῶν ῥημάτων, καὶ μετὰ τῶν ῥημάτων,] καὶ ἐπὶ τῶν ἑξῆς μερῶν τοῦ λόγου.

δʹ. Ὅτι παραλαμβάνεται παντὶ μέρει λόγου οὐδὲν σημαίνοντι, ἑνικὸν ἄρθρον.

Τὰ μὲν οὖν ἄρθρα ἡ τῶν ὀνομάτων σύνταξις παραλαμβάνει, καὶ ἔτι ἡ τῶν ῥημάτων· ὡς ἔστιν ἐπὶ τῶν ἀπαρεμφάτων φάναι, τὸ φιλολογεῖν, ὠφέλιμον· τῷ περιπατεῖν ἥδομαι. καὶ ἔτι παντὶ μέρει λόγου οὐδὲν σημαίνοντι πλέον, ἢ αὐτὸ μόνον τὸ ὄνομα τῆς φωνῆς· ὥστε πρὸς τὸ ὑπακουόμενον ἔξωθεν τὸ ἄρθρον ἀναφέρεσθαι. ὁ μέν, προτακτικός ἐστι τοῦ δέ· ἀνάγεται γὰρ πρὸς τὸν σύνδεσμον. τὸ λέγε, προστακτικόν ἐστι· δῆλον ὡς πρὸς τὸ ῥῆμα. καὶ ἐπί γε τῶν πτωτικῶν. ὅτε γὰρ φαμὲν ὁ Ἀρίσταρχος, πρὸς τὸ νοούμενον γένος τὸ ἄρθρον παραλαμβάνεται· ὅτε δὲ οὕτω, τὸ Ἀρίσταρχοι προπαροξύνεται), τὸ Ἀρίσταρχοι

τὸ σύνδεσμος ῥ.

rit; sed quomodo venerit. Od. λ.

Demõstratum ergo est particulas, de quibus quæstio instituta est, necessario esse aduerbia vel nomina: de quorũ constructione in sequẽtibus dicetur. Iam quoniam reliquæ orationis partes ad nominis & verbi constructionẽ referuntur, ex qua nominis positionem adeptæ sunt; tractandum est nũc de singulis, tum de iis quæ loco aliarum partium sumuntur, vel assumuntur; vt pronomina, quæ loco nominũ sumuntur, verbis assumuntur; & participia, quæ pro verbis sumuntur, & verbis assumuntur; & ceteræ orationis partes.

4, *Articulum numeri unitatis, præponi cuilibet orationis parti nihil significanti.*

Articulos igitur nomina in constructione assumunt: verba etiam, vt cum per infinitum modum dicimus, τὸ φιλολογεῖν, ὠφέλιμον: τῷ περιπατεῖν ἥδομαι. nec non quælibet orationis pars, nihil significans aliud quam solum nomen ipsius vocis; ita vt articulus referatur ad illud quod extrinsecus subauditur: vt, ὁ μὲν, debet antecedere τὸ δέ. refertur enim ad σύνδεσμον, i. *cõiunctionem*. &, τὸ λέγε, modi imperatiui est: refertur enim ad *verbum*. & in iis partibus orationis quæ casus habent. nam cũ dicimus ὁ Ἀρίσταρχος. adiungimus articulũ propter genus, quod subintelligitur: cũ autẽ dicimus, τὸ Ἀρίσταρχοι προπαροξύνεται, (id est, *vox hac Aristarchoi, habet tenorem in antepenultima*) τὸ Ἀρίσταρχοι εἰς οι λήγει (*vox hæc* Ἀρίσταρχοι

desinit in οι) ad nomen vocis respicimus: subauditur enim *nomen*. quęadmodum si quis etiam sic dicat, ἡ σήμερον, ἡ χθές: subauditur enim ἡμέρα. Eamque ob causam articuli huiusmodi in vnitatis numero assumuntur. quælibet enim pars orationis, vna est: sed quælibet in numerum multitudinis excrescit. nam in ista voce ἄνθρωποι, vnica inest res, quatenus vna pars orationis est: sed in ea tamen, quatenus sic prolata est, multitudinis sensus indicatur.

Quinetiam cum pronomina sine articulis pronuntiamus, nō ad vocem respicimus, sed ad illud quod per ipsam vocem significatur, & quod cū demōstratione personas refert. nam hic etiam vox si spectetur sola, articulum admittit, si dicamus, ἡ ἐγὼ pronomen, solum habet acutum in recto casu.

εἰς οι λήγῃ, πρὸς δὲ ὄνομα τῆς φωνῆς φαμὲν, ὑπακουομένου τοῦ ὀνόματος. καθότι καὶ εἴ τις οὕτως εἴπῃ, ἡ σήμερον, ἡ χθές. διὸ καὶ ἑνικῶς πάντοτε τὰ τοιαῦτα ἄρθρα παραλαμβάνεται. πᾶν γὰρ μέρος λόγου ἕν ἐστιν. ἐξ αὐτῶν γε μὴν παρυφίσταταί τινα πληθυντικά. ἐν γὰρ τῷ ἄνθρωποι, ὅσον ἐφ᾽ ἑαυτῷ, κατὰ τὸν τοῦ μερισμὸν τοῦ λόγου, ὅ παρεισάνει ἐκ τοῦ δηλουμένου πληθυντικὴν ἔννοιαν. ἀλλὰ καὶ ὅτε τινὲς ἀποφαίνονται ἀσυνάρθρους τὰς ἀντωνυμίας, οὐ πρὸς τὴν φωνὴν ἀπολείπονται, πρὸς δὲ τὸ ἐξ αὐτῆς δηλούμενον· ὃ μετὰ δείξεώς ἐστι προσώπων παραστατικόν· ἐπεὶ πάλιν, ὅσον ἐφ᾽ ἑαυτῇ, ἡ φωνὴ προσλαμβάνει ἄρθρον, ὅτε φαμὲν, ἡ ἐγὼ μόνον ὀρθοτονεῖται.

ἴσ. ἐν ᾧ, παρεισάγεται ἐκ τ.

5. *Articulos non propterea inuentos fuisse, vt genera distinguerent.*

Ac nonnulli lapsi sunt non leuiter, cum existimarunt articulos adiūgi nominibus vt genera distinguant. aduersus quos quamquā pluribus disputatū est in tractatu de generibus; tamen quoniam hic locus ita postulat, pauca aduersus eosdē afferemus, quæ falsam eorum opinionē refutabunt. Primum, nulla pars orationis inuenta est, vt distingueret ac tolleret ambiguitatem alterius orationis partis: sed vnaquæq; suo & peculiari sensu inducitur, vt in sequentibus planum

ε, Ὅτι οὐκ εἰς διάκρισιν τῶν γενῶν τὰ ἄρθρα ἐπενοήθη.

Οὐ μετρίως δέ τινες ἐσφάλησαν, ὑπολαβόντες τὴν παράθεσιν τῶν ἄρθρων εἰς γενῶν διάκρισιν παρατίθεσθαι τοῖς ὀνόμασι. πρὸς οὓς ἀντείρηται διὰ πλειόνων ἐν τῷ περὶ γενῶν· καὶ νῦν δὲ, ἀπαιτούσης τῆς συντάξεως, ὀλίγα πρὸς αὐτοὺς ἐκθησόμεθα· ἅπερ διελέγξει τὴν διεψευσμένην αὐτῶν δόξαν.

Πρῶτον, ὅτι οὐδὲν μέρος λόγου ἐπενοήθη εἰς διάκρισιν ἀμφιβολίας ἑτέρου μέρους λόγου, ἕκαστον δὲ αὐτῶν ἐξ ἰδίας ἐννοίας ἀνάγεται, ὡς δεδείξεται ἐν τοῖς ἑξῆς.

ἑξῆς. ἐπιλύεται) ἡ γοῦν ἡ τοῦ γένους σύνοδος ἐκ τῶν παρεπομένων μερῶν τοῦ λόγου· καθότι καὶ τὰ ἄλλα μόρια ἐν πλείοσι σημαινομένοις γινόμενα, διὰ μιᾶς φωνῆς τῇ προειρημένῃ συντάξει ἀπολύεται τῆς ἀμφιβόλου προφορᾶς. οὐ συνόντος γοῦν τοῦ ἄρθρου ἐν τῷ, σώφρων οὖσα Ἑλένη, ἡρπάσθη ὑπὸ Ἀλεξάνδρου, τὸ ἀμφίβολον τοῦ σώφρων, ἐκ τῶν συμπαρεπομένων ἀπέβαλε. τὸ μέντοι, ἐκ τῶν θεῶν ἐπεκλώσθη Ὀδυσσεῖ τὸ μὴ παθεῖν κατὰ θάλασσαν, κἂν μετὰ ἄρθρου λέγηται), ἀλλ' ὅμως ἐπιχειρεῖται πρὸς τῆς ἀμφιβολίας τοῦ γένους, πότερον οἱ θεοί, ἢ αἱ μοῖραι. πῶς οὖν οὐ γελοῖον εἰς διάκρισιν γένους παραλαμβάνεσθαι τὰ ἄρθρα, ὅπη γε ἄρθρου μὲν ὄντος, ἀμφιβάλλεται τίνος· μὴ ὄντος δέ, ἀπολύεται τῆς ἀμφιβολίας.

τὸ γένος P.&D.

Δεύτερον, οὐκ ὤφειλε τὸ εἰς διάκρισιν γένους παραλαμβανόμενον, εἰς τὸ αὐτὸ ἐμπίπτειν, τὸ, δι' ὃ καὶ αὐτὸ ἐπενοήθη, λέγω δὴ τὴν σύγχυσιν τοῦ γένους· ὅπου γε τὸ τῶν, ἢ τοῖν, ἢ ἄλλο τι τοιοῦτον, οὐχ ἑνὸς λόγου κατηγορεῖται. καὶ εἰ παραδεξαίμεθα τὸ ὦ ἄρθρον ἁπάντων τῶν γενῶν μετὰ τῶν συνόντων ἀριθμῶν, ἐπινοηθήσεται ἄλλα μὲν ἄρθρα εἰς τὴν τῶν τοιούτων ἄρθρων διάκρισιν· ἢ εἴπερ ἔσθ' ὅτε ταῦτα διὰ τῶν συνόντων ὀνομάτων τῆς κατὰ τὸ γένος ἀμφιβολίας

γένους

fiet. tollitur autem concursus generis per eas partes orationis, quæ in eadem constructione cõsequũtur: quatenus ceteræ quoque partes orationis, cum vna voce plura significant, per eandẽ constructionem liberantur ambigua prolatione. nã in hoc exemplo, σώφρων οὖσα Ἑλένη, ἡρπάσθη ὑπὸ Ἀλεξάνδρου, (i. *casta cum esset Helene, ab Alexandro rapta fuit*) deest articulus, q genus τοῦ σώφρων distinguat: & tamen ea quę consequuntur, tollunt ambiguitatem. at in illo, ἐκ τῶν θεῶν ἐπεκλώσθη Ὀδυσσεῖ τὸ μὴ παθεῖν κατὰ θάλασσαν, (i. *a diis statutum fuit ne Vlysses in mari interiret*) quamquã adest articulus, tamen non deest generis ambiguitas. incertum enim est dii, an αἱ μοῖραι hoc ita statuerint. Quî igitur non fuerit ridiculum, si dicat quis articulos distinguendorum generum causa adhiberi, quando genus est dubium, si articulus adsit; minime vero dubium, si nõ adsit. Deinde non debuerat ea orationis pars quæ adhibetur vt distinguat genera, in idem incurrere vitium, cuius tollendi causa excogitata est, in generis inquam confusionem: quandoquidem articuli casus τῶν, vel τοῖν, vel alius eiusmodi, nõ dicitur de vno tantũ genere: & vox ista ὦ, si admittatur in numerũ articulorum, dicetur de omnib. generibus, omnibusq; numeris: atq; ita erunt inueniendi alii articuli, qui istiusmodi articulos distinguant: vel, si nonnumquam isti, adiuuantibus nominibus quibuscum coniunguntur, generis ambiguitatem

vitant, vt cum dicimus τῶν μουσῶν: licebit pariter dicere, nomina inuẽta fuisse, vt distinguant articulorum genera. quod fuerit absurdum. Puto igitur articulos per accidens tollere generum ambiguitatem. Illud etiam tertio loco addendum est, articulos fuisse adhibendos iis nominibus, quæ ambiguitatẽ generis prę se ferunt; at non ita iis quæ per se genus indicare possunt; vt puta istis θεός, ἵππος. dicimus enim ὁ θεός, & ἡ θεός: ὁ ἵππος, & ἡ ἵππος: at nõ ita nomini γυνή, in quo nomen etiam fere vniuersi generis est insitum. Iam vero nomini γυνή nonnunquam adhibetur articulus perinde ac postulat constructio: illis autem θεός, vel ἵππος, vel aliis id genus nominibus, nullo modo adhibetur. Exempla afferantur: prioris, πῶς ἡ γυνή σε ὕβρισεν; (i *quomodo fœmina tibi cõtumeliam intulit?*) hic si demarur articulus, oratio fuerit obscura. posterioris, θεός τίς σε ἠλέησεν: (*Deus aliquis tui misertus est*) hic vero nullus est adhibẽdus articulus, quẽadmodũ tradidimus in tractatu de generibus. In eo lo-
Il. θ. co, μήτε τις οὖν θήλεια θεὸς τόγε, μήτε τις ἄρσην: quam apte & apposite hic adhibita est vox illa θήλεια? nam ad Iunonem & Mineruam respicit. illud autem, μήτε τις ἄρσην, adiectum est, ne deas illas aperte designaret. Perspicuum est igitur, distinctionem, quã ar-

ἀπολύεται, ὅτε φαμὲν τῶν μουσῶν, οὐδὲν κωλύει φάναι, ὡς τὰ ὀνόματα ἐπενοήθη εἰς διάκρισιν τῶν ἐν τοῖς ἄρθροις γενῶν. ὅπερ εὔηθες. ἐκ παρεπομένου οὖν οἶμαι αὐτὰ ἀπολύειν τῆς ἀμφιβολίας τῶν γενῶν. Κἀκ τρίτου δὲ ἔστιν ἐκεῖνο προσθεῖναι, ὡς ἐχρῆν μόνον τοῖς εἰς ἀμφιβολίαν τοῦ γένους προβαλλομένοις παρατίθεσθαι τὰ ἄρθρα, οὐ μὴν τοῖς δυναμένοις δι' ἑαυτῶν τὸ γένος ἐνδείξασθαι· ὡς ἐπὶ τοῦ θεός, ὅτε φαμὲν ὁ θεὸς καὶ ἡ θεός· ὁ ἵππος καὶ ἡ ἵππος. οὐ μὴν τῇ γυνὴ προσκείσεται· ὅπουγε καὶ σχεδὸν τὸ ὄνομα τοῦ θηλυκοῦ γένους ἔγκειται· νυνὶ δὲ τῇ μὲν γυνὴ προσκεῖσθαι) ἔν τισι λόγοις μετὰ τῆς δεού- γρ. συν-
σης συντάξεως· τῇ δὲ θεὸς ἢ ἵππος, ἢ ἄλ- δεύσης
λοις τῶν τοιούτων, κατ' οὐδένα τρόπον παρατίθεται. Ἐκκείσθω δὲ ὑποδείγματα, τοῦ μὲν προτέρου, πῶς ἡ γυνή σε ὕβρισε; τὸ γὰρ δίχα τοῦ ἄρθρου, ἀσύνετον. τοῦ δὲ ἑτέρου, θεός τίς σε ἠλέησεν. ἀδύνατον γὰρ ἐπὶ τούτου τὸ ἄρθρον προστεθῆναι· καθότι παρεστησάμεθα καὶ ἐν τῷ περὶ γενῶν. ἐπὶ τοῦ μή τις οὖν θήλεια θεῶν τόγε, μή- μήτε τις οὖν θήλεια θεός
τέ τις ἄρσην, ὡς ἀκριβῶς προσέθηκε τὸ θήλεια. σχεδὸν γὰρ πρὸς Ἥραν καὶ Ἀθηνᾶν ἀπολείνεται. τὸ δὲ, μήτε τις ἄρσην, σχεδὸν προσέρριπται, ὑπὲρ τοῦ μὴ ἄντικρυς αὐτὸν πρὸς † τὰς δαίμονας ἀποφαίνεσθαι. καὶ σαφὲς ὅτι ὅπερ ἔμελλε διακρίνειν τὸ ἄρθρον

θρον προειλεχθὲν, οὐκ παρεπόμενον, οὕτω τὸ θήλεα καὶ τὸ ἄρθρον ἀφηγήσατο· ἐπεὶ τὸ ἴδιον τοῦ ἄρθρου οὐκ ἠδύνατο ἡ σύνταξις παραδέξασθαι, ἀοριστουμένου τοῦ λόγου. Καὶ ἴσως τις φήσει, Οὐχὶ οὖν καὶ ἐν ἄλλοις ἐλλειπτική ἐστι τῶν ἄρθρων ἡ σύνταξις; πρὸς ὃν φήσομεν, ὡς δυνάμει τὰ ἐλλείποντα παράκειται, ἐμφανιζόμενα διὰ τοῦ ἐπιζητοῦντος αὐτὰ λόγου· ἐπὶ μέντοι τῆς προκειμένης συντάξεως, τοῦ καταλλήλου οὐκ ἐπιζητοῦντος, τὰ τοῦ γένους συνεκέχυτο. καὶ διὰ τοῦτο οἶμαι πάνυ ἀκριβῶς διὰ τῆς ὀνομασίας τῶν γενῶν ἀνεπλήρωσε τὸν λόγον· λέγω τοῦ θήλεα καὶ τοῦ ἄρρην.

γρ. ἀφ-ειλω

ε', Ὅτι μετὰ ἀναφορᾶς τὰ ἄρθρα καὶ ἄλλα °τινα σημαίνει.

γρ. πολ-λά

Ἔστιν οὖν, καθὸ καὶ ἐν ἄλλοις ἀπεφηνάμεθα, ἴδιον ἄρθρων ἡ ἀναφορά· ἥ ἐστι προκατειλεγμένου προσώπου παραστατική. ἀναφέρεται δὲ τὰ ὀνόματα ἤτοι κατ᾽ ἐξοχήν, ὅτε φαμὲν, Οὗτός ἐστιν ὁ γραμματικός· τοιοῦτόν τι ἐμφαίνοντες, ὁ πάντων προήκων, ὡς ἔστιν εἰπεῖν, ὁ †γενναιότατος. τῇδε γὰρ καὶ ὡς †συλλαβεῖν τὸ ἄρθρον ἀπηνέγκατο ὁ ποιητής, ἀπενεγκάμενος καὶ τὴν πάντων ἐξοχήν, καὶ τὴν πρὸς ἁπάντων °προπεπερασμένην γνῶσιν. ἢ καὶ κατὰ μοναδικὴν κτῆσιν. ὁ γὰρ οὕτως ἀποφαινόμενος, δοῦλός σου ταῦτα ἐποίησε, πλῆθος ὑπαγορεύει δούλων·

πεφρα-σμένην D.

ticulus additus erat per accidens allaturus, eam voces illas θήλεα & ἄρσεν attulisse: quandoquidem constructio non poterat admittere proprietatem articuli, cum ageretur de incerta persona.
At fortasse dixerit quispiam, Nonne etiam in aliis desunt articuli? Sed ei sic occurrendum: articulos, qui desunt, potestate adesse, & a ratione diligentius peruestigāte, eos facile commonstrari: sed in proposita Homeri constructione generū confusio fuisset, non postulāte articulum oratione cōgrua: & propterea poeta accurate admodū, meo quidē iudicio, generum appellatione, τῷ θήλεα inquam & τῷ ἄρσεν, (i. *fœminei & maris*) orationē illam expleuit.

6, *Articulos præter relationem, etiam alia multa significare.*

Est ergo relatio articuli propria: id quod etiam aliis in locis demonstrauimus: relatio autem refert personam ante memoratam. Fit autem relatio vel propter excellentiam; vt cum dicimus, *iste est ὁ γραμματικός*, i. *ille Grammaticus*; vt aliquid eiusmodi significemus, *qui omneis antecellit*, vel *omnium nobilissimus*. quēadmodum (vt hoc etiā comprehēdam) ὁ ποιητής, habet articulum qui addit & excellentiam, & certam omnium de eo cognitionem. vel vt rei vnius tantum possessio significetur: nam qui loquitur sic, δοῦλός σου ταῦτα ἐποίησε, *seruus tuus hæc fecit*, seruorum multitudinem indicat:

at qui dicit cum articulo, *ὁ δοῦλός σου ταῦτα ἐποίησεν*, indicat vnum seruum. vel vt aliquid simpliciter referat; vt cum dicimus, *ὁ ἄνθρωπος ἦλθέ σε ζητῶν*, i. *ille homo venit, & te quæsiuit*: & *ὁ γραμματικός σε ἐζήτει*, *ille Grammaticus te quærebat*. hic enim *ὁ γραμματικὸς* non eodem accipitur modo quo superius. Relatio interdum refert personam anticipatam, quæ speciem indefinitam habet: vt cũ dicimus, *ὁ τυραννοκτονήσας τιμάσθω*, i. *is qui tyrannum interfecerit, honoribus afficiatur.* hic enim repræsentatur incerta & indefinita persona, perinde atq; in illo, *Κεῖνος δ᾽ αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων, Ὅς κέ σ᾽ ἐέδνοισι βρίσας, οἶκόνδ᾽ ἀγάγηται.*
Od.ζ. hoc enim non est simile illi, *Κεῖνος ἀνὴρ ὅ τ᾽ ἐμεῖο κυνώπιδος*, nam in exemplo isto posteriore, certæ personæ reuoca-
Od.λ. tur cognitio; in superiore autem, incertæ. Et tamen non me fugit, illud superius *ὁ τυραννοκτονήσας τιμάσθω*, *is qui tyrãnum interfecerit, honoribus afficiatur*, posse etiã certam personam referre. fac enim aliquem interfecisse tyrannum, & nullis dum affectum præmiis: & cum ei præmia debeantur, aliquem dicere, *ὁ τυραννοκτονήσας, τιμάσθω*, *is qui tyrannum interfecerit, honoribus afficiatur*: hic certa definitaque persona refertur: id quod patebit apertissime, si per indicandi modum, præsertim in tempore præterito, *ὁ τυραννοκτονήσας τετίμηται*, *is qui tyrannum interfecit, honore atque præmiis affectus est*. Demonstrabimus etiam articulum interdum habere significationem multitudinis.

ὁ δὲ μετὰ τοῦ ἄρθρου, ὁ δοῦλός σου ταῦτα ἐποίησε, μοναδικὴν κτῆσιν ὑπαγορεύει. ἢ καὶ κατ᾽ αὐτὸ μόνον ἁπλῆν ἀναφοράν· ὅτε φαμὲν, [ὁ] ἄνθρωπος ἦλθέ σε ζητῶν· ὁ γραμματικός σε ἐζήτει· νῦν οὐχ οὕτως ἀκουομένου τοῦ, ὁ γραμματικὸς, καθὼς προέκειται. ἔσθ᾽ ὅτε δὲ καὶ προληπτικώτερον πρόσωπον ἀναφέρει· ὅτε δὴ καὶ ἀοριστῶδες φαίνεται, ὅτε οὕτω φαμὲν, ὁ τυραννοκτονήσας, τιμάσθω. τὸ γὰρ ὡς ἐσόμενον πρόσωπον ἀνεπόλησεν, ὅμοιον καθεστὼς ἐκείνῳ, Κεῖνος γὰρ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων, Ὅς κέν σ᾽ ἔδνοισιν βρίσας, οἶκόνδ᾽ ἀγάγηται. οὐ γὰρ ὅμοιόν ἐστι τῷ, Κεῖνος ἀνὴρ ὅ τ᾽ ἐμεῖο κυνώπιδος· ἐπεὶ τοῦτο μὲν, τὸ προγεγονὸς πρόσωπον ἀναπολεῖ· τὸ δὲ προκείμενον, τὸ [ὡς] ἐσόμενον. οὐ [μὴν] λέληθέ με, ὡς δύναται καὶ προϋφεστὼς πρόσωπον ἀναφέρειν, τὸ, ὁ τυραννοκτονήσας τιμάσθω. φέρε γὰρ, εἰ τύχῃ, τυραννοκτονῆσαί τινα, καὶ μήπω τετιμῆσθαι ἐπιβάλλοντος δὲ τοῦ τοιούτου, φάναι τινὰ, ὁ τυραννοκτονήσας τιμάσθω. ὅπερ πάνυ ἐμφανέστατον γενήσεται μετὰ ὁριστικῆς προφορᾶς, καὶ μάλιστα ἐπὶ παρῳχημένου χρόνου, ὁ τυραννοκτονήσας τετίμηται. δεδείξεται δὲ, ὡς καὶ πλήθους ἔσθ᾽ ὅτε ἔμφασιν ποιεῖ.

ζ, Ὅτι ἀδύνατον τὰ ἐν γενικῇ ἢ δοτικῇ νοούμενα στοιχεῖα, χωρὶς ἄρθρου λέγεσθαι.

Κατὰ τὰς προειρημένας οὖν ἐννοίας τοῦ μορίου, σκεπτέον εἰ πᾶσι τοῖς πτωτικοῖς συμφέρεται· καὶ τίνα τούτων ἀδυνατεῖ τὴν ἐξ αὐτῶν συνάρτησιν ἀναδέξασθαι· καὶ τίνα ἅπαξ ἀναδεξάμενα αὐτὰ οὐ μεθίησι, καθάπερ ἰδίας συλλαβάς. καὶ πρῶτόν γε ἀρκτέον τῆς τῶν στοιχείων συντάξεως, ὡς πρὸς τὰ ἄρθρα. Τὰ τοίνυν στοιχεῖα ἐν εὐθείᾳ καὶ αἰτιατικῇ, ἤτοι χωρὶς ἄρθρου λέγεται, ἢ σὺν ἄρθρῳ. καὶ χωρὶς μὲν ἄρθρου, ἡνίκα φαμὲν οὕτω, τοῦτο α ἐστί· τοῦτο β ἐστί· νῦν εὐθείας νοουμένης· ὡς εἰ καί τις φαίη, τοῦτο ἄνθρωπός ἐστι, τοῦτο ἵππος ἐστι. διδάσκει καὶ ἡ τοῦ ῥήματος σύνοδος, συννεύουσα ἐπὶ τὴν εὐθεῖαν. κατὰ δὲ τὴν αἰτιατικήν, τοῦτο ἄλφα προσαγορεύει ὁ διδάσκαλος, τοῦτο βῆτα· πάλιν ἐκ τῆς μεταβάσεως τοῦ ῥήματος συννευούσης τῆς ἐπὶ τὸ, τοῦτο β, καὶ τοῦ στοιχείου νοουμένου κατ' αἰτιατικήν· ὡς εἰ καὶ οὕτως ἀποφαινόμεθα, τοῦτον τὸν χαρακτῆρα σημαίνει ὁ διδάσκαλος. Σὺν δὲ ἄρθρῳ, ὅτε οὕτω φαμὲν, τὸ α δίχρονόν ἐστι· τὸ α τελικόν ἐστι θηλυκῶν καὶ οὐδετέρων· καὶ ἔτι κατ' αἰτιατικήν, τὸ α ἀπήλειψεν ὁ παῖς· ὡς εἰ καὶ τὸν χαρακτῆρα ἀπήλειψε. Κατὰ μέντοι γενικὴν καὶ δοτικὴν ἀδύνατον ἐκστῆναι τοῦ ἄρθρου τῆς συντάξεως τῶν στοιχείων, ὅτε οὕτω φαμὲν, τῷ α παρέπεται

τῆς

7, *Elementa quæ patrio casu vel datiuo pronuntiantur, sine articulo dici non posse.*

Nunc est videndum an articulus cũ quolibet casu coniũgatur iis significationibus, quas paulo ante attigimus; & quinã casus eius societatem admittere non possint, quive simul atq; eos receperint, quasi suas syllabas, eos numquam dimittant. Ac primo ducẽdum est initium ab eius constructione cum elementis. Elementa ergo, in nominandi accusandique casu, aut habent articulũ, aut non habent. non habent, vt cum dicimus, *hoc est α, hoc est β*. est enim nominãdi casus, perinde ac si diceremus, *hic homo est, hic equus est.* facit fidem etiam verbum coniunctum, quod cum recto casu cõgrue iungitur. Ita etiam in accusandi casu; *hoc præceptor appellat α, illud β*. hic enim ex transitione verbi, quæ rendit ad τοῦτο β, facile intelligitur elementum β in accusandi casu positum fuisse; perinde ac si isto modo diceremus, *istã notam significat præceptor.* Habent autem articulum, vt cum dicimus, τὸ α, *anceps vocalis est*: τὸ α, *est litera finalis nominum fœminei ac neutri generis*. ita etiam in accusandi casu; τὸ α *expunxit puer*; perinde ac si diceres, *notam illam expunxit.* Patrius tamẽ casus, & datiuus, in elementorum constructione, articulo carere non potest: vt cũ dicimus, *apicem* τοῦ α *expun-*

xit: prolatio τοῦ α amplissima est: τῷ α accidit vt producatur & corripiatur. Causa istius constructionis illa est: elementa non inflectuntur, sed habent vnicum casum. Patet autem primam eorū prolationem atque scriptionem recti esse casus. Hæc igitur quia pueris qui modò discendi causa ludum adeunt, ignota est, dicitur necessario sine articulo: siquidem articulus antecedentem cognitionem notat, puer autem ignorat elementum. Recte igitur inter docendum dicimus, *istud est α*: at percepta eius cognitione, vt docti iam & scientes, necessario eius memoriam repetitam indicantes, etiā cum articulo pronuntiamus, *τὸ α terminat nomina fœminei & neutri generis*: hoc est τὸ α, qđ antea didicimus. Iā vero percepto nominandi casu, etiam accusandi casus, qui vocis societatem cum eo sortitus est, eadē ratione proferri potest, & cum articulo coniunctus, & contra sine articulo, sicut in primo casu, *magister hoc elementum appellat α*: & cōtra, cum articulo, propter cognitionem eius ante habitam, *puer deleuit τὸ α.* At patrius casus, & datiuus, qui perinde obliquus est; quia voce elementorum se ipsos indicare nequeunt, quandoquidem elementa non inflectuntur, petunt subsidium a patrio articuli casu, qui inflectitur. exempli gratia; *pronūtiatio τοῦ α, amplissima est.* eadē est ratio in dandi casu. nā si articulum

τὸ ἐκτείνεσθαι καὶ συστέλλεσθαι· τοῦ α τὴν κεραίαν ἀπήλειψε· τοῦ α ἡ ἐκφώνησις μεγίστη ἐστίν. Ἔστι δὲ αἰτία τῆς συντάξεως ἥδε· μονόπτωτά ἐστι τὰ στοιχεῖα· καὶ πρῶτον, ὅτι ἡ αὐτῶν πρώτη ἐκφώνησις καὶ θέσις ἐν εὐθείᾳ ἐστίν. αὕτη οὖν ἄγνωστος οὖσα τοῖς ἀρτιμαθέσι τῶν παίδων, ἀναγκαίως δίχα ἄρθρου λέγεται· εἴπερ τὸ ἄρθρον προϋφεστῶσαν γνῶσιν δηλοῖ· ὁ δὲ παῖς ἀγνοεῖ τὸ στοιχεῖον. ὑγιῶς ἄρα φαμὲν κατὰ τὰς διδαχάς, τοῦτο α ἐστίν. ἤδη μέντοι ἀναλαβόντες τὴν γνῶσιν αὐτοῦ, ὡς προδεδιδαγμένοι, ἀναγκαίως τὴν κατ᾽ αὐτοῦ ἀναπόλησιν παρεμφαίνοντες, πάντως καὶ σὺν ἄρθρῳ ἀποφαινόμεθα, τὸ α, τελικόν ἐστι θηλυκῶν καὶ οὐδετέρων· τουτέστιν ὃ προεμάθομεν ἄλφα. ἤδη μέντοι λημματιζομένης τῆς εὐθείας, συνέστη καὶ ἡ ὁμόφωνος αἰτιατικὴ ταῖς αὐταῖς ἐφόδοις, καὶ μετὰ ἄρθρου λεγομένη, καὶ χωρὶς ἄρθρου. πάλιν κατὰ τὴν πρώτην θέσιν, τοῦτο α προσαγορεύει ὁ διδάσκαλος· καὶ πάλιν κατὰ τὴν προϋποκειμένην γνῶσιν, τὸ α ἀπήλειψεν ὁ παῖς. ἡ μέντοι γενικὴ, καὶ ἡ συμπαθοῦσα αὐτῇ δοτικὴ, οὐκ ἔχουσα διὰ τῆς φωνῆς τὴν γενικὴν ἀποδεῖξαι, ἐπεὶ ἄκλιτα τὰ στοιχεῖα, βοηθεῖται τῇ τοῦ ἄρθρου κεκλιμένῃ γενικῇ· οἷον, τοῦ α ἡ ἐκφώνησις μεγίστη ἐστί. καὶ ἔτι ἐπὶ τῆς δοτικῆς ὁ αὐτὸς λόγος. εἰ γὰρ τὸ ἄρθρον τις ἀφέλοι, ἡ

λοι, ἡ λειπομένη φωνὴ ὡς εὐθεῖα λε-
ἴσ. ἐγὼ λείψεται· καί, καθὼς εἴπομεν, ἡ πρώ-
τη θέσις, εὐθεῖά ἐστι. καὶ οὕτω γίνεται ἀκα-
τάλληλα [τὰ] τοῦ λόγου, α ἡ ἐκφώ-
νησις μεγίστη ἐστίν. οὐ γὰρ μᾶλλον τῷ
τῷ α τὸ ἐστὶ συντετάξεται, ἤπερ τὸ μεγί-
στη ἐκφώνησις. ἐπεὶ δύο οὖν εὐθεῖαι
οὐδέποτε συνίστανται, ὡς δύο εὐθειῶν
νοουμένων, ἀκατάλληλα τὰ τοῦ λό-
γου γίνεται. ὁ αὐτὸς λόγος κἀπὶ τῆς δο-
τικῆς· τῷ α πρόσκειται τὸ ι. ἐὰν γὰρ
εἴπωμεν, α πρόσκειται τὸ ι, πάλιν ὡς
δύο εὐθειῶν νοουμένων, ἀκατάλληλα
τὰ τοῦ λόγου γίνεται. Ὅτι δὲ διὰ τὸ
ἴσ. πρόσ- ἄκλιτον τῆς φωνῆς ἡ τοῦ ἄρθρου πρόσ-
θεσις θεσις γίνεται, σαφὲς κἀκ τῶν κλινομέ-
νων, καὶ κατὰ φωνήν, Δίωνος ἡ ἐκφώ-
νησις, μεγίστη ἐστίν. ἰδοὺ γὰρ μὴ συνόν-
τος τοῦ ἄρθρου, κατάλληλα τὰ τοῦ
λόγου ἐστίν. ὁ αὐτὸς λόγος κἀπὶ τῆς
δοτικῆς, Δίωνι πρόσκειται τὸ ι.
Ἐδείχθη ἄρα ἡ γενικὴ καὶ δοτικὴ τῶν
στοιχείων, ὡς ἀναγκαίως οὐ μετίησι τὰ
ἄρθρα.

η', Ὅτι οὐ τεκμήριόν ἐστι, τὰ ἀπαρέμφατα μετ' ἄρθρου μὲν λεγόμενα, ὀνοματικὰ εἶναι· χωρὶς δὲ τούτων, ῥήματα.

Καὶ ἕνεκα τοῦ τοιούτου, οὐ συγκατατίθεμαι δὴ Τρύφωνι, ἀποφαινομένῳ ἐν τῷ περὶ ἄρθρων, ὡς τὰ ἀπαρέμφατα ῥήματα, πῇ μὲν ὀνόματά ἐστι τῶν ῥημάτων, ὅτε καὶ ὡς ὀνόματα ἄρθρα προσλαμβάνει, τῷ περιπατεῖν ἥδομαι,

demas, vox quæ remanet, speciem recti casus habebit. etenim (sicuti diximus) prima elemẽtorum positio, rectus est casus: atque ita oratio fit incongrua; *α pronũtiatio amplissima est*. nã verbum *est*, poterit æque referri ad illud *amplissima pronunciatio*, atque ad α: & quoniam duo recti casus cum vnico verbo numquam conueniunt, oratio in hoc exemplo fit incongrua, in quo duo recti casus positi videntur. Eadem ratio datiui est, τῷ α adiacet ι. nam si dicamus, *α adiacet ι*, quia hic etiam duo inesse recti casus vidẽtur, oratio fit incongrua. Quod autem articulus adiungatur propterea qđ vox elementi non flectitur, facile patet ex iis nominibus quorum vox flectitur; *Dionis pronũtiatio amplissima est*: ecce, oratio est cõgrua, quamquam desit articulus. Eadem ratio est in datiuo; *Dioni adiacet ι*. Demonstratum ergo est, gignendi & dandi casum elementorum articulis carere non posse.

8, *Argumento non esse, modum infinitum coniunctum cum articulo, speciem habere nominis; sine articulo, verbum esse.*

Non possum itaque assentiri Tryphoni, qui in libello De articulis asserit, infinitũ modum verborum, nomen aliquando esse, atque tunc instar nominum admittere articulum; τῷ περιπατεῖν ἥδομαι, (*deambulatione delector*)

τοῦ περιπατεῖν πρόνοιαν ἔχω, (*deambulationis curā habeo.*) in recto etiam casu, τὸ περιπατεῖν, ἀνιαρόν ἐστι, (*deambulatio, molesta est.*) at sine articulo prolatum, verbum esse; *deambulare malo quam stare.* nam eiusmodi constructione videtur ille modum infinitum distinguere; quod alter nominis, alter verbi speciē habeat. Ratio igitur constantissima, in promptu est, quę demōstrat, infinitiuos modos non propter articuli vel defectū, vel appositionem, alios esse nomina, alios nō. Nam illud in genere constituendum est, quemlibet infinitiuum, esse nomē verbi: siquidem Stoici etiam infinitiuum vocant *verbum*; *deambulat* vero, vel *scribit*, κατηγόρημα, vel σύμβαμα, i. *predicatum*, vel *accidēs*: item modos ceteros qui ab indicatiuis fluunt. eamq; ob causam quilibet modus recurrit, & resoluitur in infinitiuum, ad nomen scilicet vniuersale. nam si quis sic enuntiet, *deambulat Trypho*; idemque, mutata ratione, per expositionem dicat, addēs verbum insitum indicatiuo modo, ὡρίσατο inquam, i. *indicauit*; is dixerit, *indicauit deambulare Tryphonem*: & in modo imperatiuo, *deambulet Trypho*, dixerit, *iussit Tryphonem deambulare*: in optatiuo etiam, περιπατοίη Τρύφων, *vtinam Trypho deambulet*, assumpto aduerbio optandi, quod optatiuo modo inclusum est, dixerit, *optauit Tryphonem deambulare.* Stulte igitur mihi videntur fatigari, qui quærunt, cur

Theod. Gaza 124.

τοῦ περιπατεῖν πρόνοιαν ἔχω· καὶ ἔτι ἐπ' εὐθείας, τὸ περιπατεῖν ἀνιαρόν ἐστι. χωρὶς μέντοι ἄρθρου λεγόμενα, ῥήματα ἂν εἴη, περιπατεῖν θέλω, ἤπερ ἑστάναι. τοιαύταις γάρ τισι συντάξεσιν ἐδόκει μερίζειν, τὸ μὲν, ὡς ὀνοματικόν· τὸ δὲ, ὡς ῥηματικόν. πρόκειται οὖν ὁ λόγος φυσικώτατος, ὃς οὐ παρὰ τὰς ἐλλείψεις τῶν ἄρθρων, ἢ παραθέσεις, ἐξελέγξει τοῦ, ἃ μὲν εἶ(ναι) ὀνόματα, ἃ δὲ μή. ἅπαξ γὰρ ἐκεῖνό ἐστι διαλαβεῖν, ὡς πᾶν ἀπαρέμφατον ὄνομά ἐστι ῥηματικόν· εἴγε καὶ οἱ ἀπὸ τῆς στοᾶς αὐτὸ μὲν καλοῦσι ῥῆμα· τὸ δὲ περιπατεῖ ἢ γράφει, κατηγόρημα, ἢ σύμβαμα. καὶ ἔτι τὰς ἀπὸ τούτων ἐγκλίσεις· διὰ τοῦτο καὶ ὡς ἐπὶ γενικὸν ὄνομα τὸ ἀπαρέμφατον, πᾶσα ἔγκλισις ὑποστρέφει. εἰ γάρ τις τῇδε ἀποφαίνοιτο, περιπατεῖ Τρύφων, μεταβάλλοι δέ τις τοῦτο εἰς ἀφήγησιν τοῦ εἰρημένου, προσθεὶς τὸ ἐγκείμενον τῇ ὁριστικῇ ἐγκλίσει, λέγω δὲ ὡρίσατο, οὕτως ἂν εἴποι, ὡρίσατο περιπατεῖν Τρύφωνα. καὶ ἐπὶ εὐκτικῆς προφορᾶς, περιπατοίη Τρύφων, πάλιν τὸ ἐγκείμενον τῆς εὐχῆς συμπαραλαβὼν, φαίη ἄν, ηὔξατο περιπατεῖν Τρύφωνα. καὶ ἔτι ἐπὶ προστακτικῆς ἐγκλίσεως, περιπατείτω Τρύφων, εἴποι ἄν, προσέταξε περιπατεῖν Τρύφωνα. ἔνθεν μοι δοκοῦσιν εὐήθως ἀναστρέφειν οἱ ἐπιζητοῦντες, διὰ τί

τὸ
ῥήματος
μεταβάλλοιτο
εὐκτικῶν

ἐλλείπει

ἐλλείπει προσώποις καὶ ἀριθμοῖς· καὶ ἔτι ψυχικῇ διαθέσει· εἴγε οὐ πληθύνεται, ὅτι πᾶν πρᾶγμα ἕν ἐστιν· εἴγε οὐκ ἔχει ψυχικὴν διάθεσιν, ὅτι μηδὲ εἰς πρόσωπα ἀνεκυκλήθη· ἅπερ ἔμψυχα ὄντα, τὴν ἐν αὐτοῖς διάθεσιν, τῆς ψυχῆς ἐπαγγέλλεται· ὥστε δυνάμει αὐτὸ τὸ ῥῆμα, οὔτε πρόσωπα ἐπιδέχεται, οὔτε ἀριθμούς· ἀλλ᾽ ἐγγινόμενον ἐν προσώποις, τότε καὶ τὰ πρόσωπα διέστειλεν, ὄντα λοιπὸν ἢ ἑνικά, ἢ δυϊκά, ἢ πληθυντικά. πρόδηλον δέ, ὅτι οὐδὲ ψυχικὴν διάθεσιν, καθὼς προείπομεν. πῶς οὖν οὐκ εὐηθέστεροι οἱ κἀκεῖνο ἀποφαινόμενοι, ὅτι καὶ ἑνικὰ καὶ δυϊκὰ καὶ πληθυντικά, καὶ προσώπων διακρίσεις ἔχει, ἐν συνεμπλώσει ἐξαριθμουμένων, τὸ ἐμὲ γράφειν, σὲ γράφειν, ἐκεῖνον γράφειν· ἡμᾶς γράφειν, ὑμᾶς γράφειν, ἐκείνους γράφειν. ἀλλ᾽ ἔνεστιν ἐξαιρέτως ἐν τοῖς ἑξῆς ἔτι καὶ περὶ τούτων διαλαβεῖν· ἐν οἷς καὶ ζητήσομεν, διὰ τί ἐπ᾽ αἰτιατικὴν φαίνεται. διχῶς τε γὰρ καὶ ἅ φησι χωρὶς ἄρθρων λέγεσθαι, δύναται καὶ μετὰ ἄρθρων παραλαμβάνεσθαι, τὸ φιλοσοφεῖν βούλομαι, ἤπερ τὸ πλουτεῖν. πρόκειται οὖν ὡς ἡ τῶν ἄρθρων τῶν ἀπαρεμφάτων σύνταξις, ἡ αὐτή ἐστι τῇ τῶν στοιχείων συντάξει. Χρὴ μέντοι νοεῖν, ὅτι διχῶς προσέστι τὸ ἄρθρον· ὅτε μὲν τῷ λόγῳ τῷ προκειμένῳ, καθάπερ ἐπεδείξαμεν ἐπὶ παντὸς μέρους λόγου·

συμπλώσει

φέρεται

deficiat infinitiuus personis, numeris, & animi affectione: quandoquidē in multitudinem non diffunditur; quia quælibet res vna est: præterea nō indicat animi affectionem; quia nō flectitur in varias personas; quæ, cum sint animatæ, possunt declarare affectionem animi sibi insitam. Itaque verbum ipsum in sua vi atque natuta spectatum, prius quam flectatur, neque petsonas, neq; numeros admittit; at inclusum personis, cōtinuo distinguit eas: quæ deinde aut vnę, aut duę; aut plures sunt. Patet etiam, quod nullam animi affectionem habet, sicuti paulo superius diximus. Nōne igitur lōge stultiores sunt, qui modum infinitiuū affirmant habere & numerorum distinctionē, & personarum, quæ simul concurrentes enumerantur: τὸ ἐμὲ γράφειν, σὲ γράφειν, ἐκεῖνον γράφειν. τὸ ἡμᾶς γράφειν, ὑμᾶς γράφειν, ἐκείνους γράφειν. Sed erit locus in sequentibus, vbi de his tractabimus seorsum: atque tunc causam quæremus, cur ad accusandi casum ferātur; præsertim cū infiniti modi, quos ait Trypho sine articulis proferri, possint etiam cum articulis pronuntiari: τὸ φιλοσοφεῖν βούλομαι, ἤπερ τὸ πλουτεῖν, *malo philosophari, quam ditescere.* Patet igitur cōstructionem articuli, qui iūgitur cum infinitis modis, eandem esse ac illam quam vidimus in elementorū constructione. Tenendū tamen illud est, articulum adiungi bifariam. nā modo adiungitur ea ratione qua supra demōstrauimus, ad quamlibet orationis partem:

modo rei adiũgitur ad quam est additus. Prioris generis exemplum; τὸ γράφειν est primæ cõiugationis: τὸ γράφειν scribitur per ει diphthongum, & alia id genus quæ dici possunt de voce. Posterioris exẽplum; τὸ γράφειν, ἐπίπονόν ἐστι, (scribere, laboriosum est:) τὸ γράφειν φιλοπόνου ἀνδρός ἐστι, scribere, est hominis laborum studiosi.

ὅτε δὲ, ὡς πρὸς τὸ πρᾶγμα. καὶ τοῦ μὲν προτέρου, τὸ γράφειν, προτέρας ἐστὶ συζυγίας· τὸ γράφειν, διὰ τῆς ει διφθόγγου γράφεται· καὶ ὅσα οὕτω δύναται κατὰ τῆς φωνῆς λέγεσθαι. τοῦ δὲ δευτέρου, τὸ γράφειν, ἐπίπονόν ἐστι· τὸ γράφειν, φιλοπόνου ἀνδρός ἐστιν.

9, *Articulos verbis appositos, non aduerbia esse, sed articulos.*

θ', Τὰ προσκείμενα τοῖς ῥήμασιν ἄρθρα, οὐκ εἰσὶν ἐπιρρήματα, ἀλλ' ἄρθρα.

Atque in huiusmodi constructionibus non fuerit superuacaneum, si demonstremus, articulos, qui verbis hoc modo adiunguntur, non aduerbia esse, sed articulos: & quoniam cõtraria ratio non nihil probabilitatis habere videtur, quę negat huiusmodi articulos esse articulos, sed potius aduerbia, ea etiam de parte hac tractemus. Neutri casus nominatiuus, qui verbis sæpius præponitur, vt aduerbium potius accipitur, q̃ vt nomen, si sic enunties; τάχιον παρελθὼν, *ocius aduenisset.*
Il. ι. Ἀλφειοῦ, ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης·
Od. υ. Οὐ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον· τάχιον διαλέγου, *celerius dissere.* Hoc ipsum potest etiam in articulis mobilibus accidere. nam si τὸ δεῖν ταχὺ λέγειν, ἢ ταχὺ βρέχειν, ἐν ἴσῳ ἐστὶ τῷ δεῖν ταχέως λέγειν, ἢ ταχέως βρέχειν, (i. si ea oratio, quæ ait celeriter differẽdum, vel celeriter currẽdum esse, articulo præposito, & genere neutro ταχὺ interposito, valet idem atque illa δεῖν ταχέως λέγειν, ἢ ταχέως βρέχειν) etiã neutri articulus, qui verbũ antecedit, eãdem vim suscipiet, quam habet constructio paulo ante memorata; poterit videlicet accipi vt aduerbium in arti-

†Οὐκ ἔστι μέντοι παρέλκον ἐν ταῖς τοιαύταις συντάξεσιν ἀποδεῖξαι, ὅτι τὰ οὕτω προστιθέμενα τοῖς ῥήμασιν ἄρθρα, [οὐ μὴν] ἐπιρρήματά ἐστιν. ἐπεὶ δὲ οὐκ ἀπίθανος ὁ λόγος παρυφίσταται, τοῦ, μὴ τάχιστα τὰ ἄρθρα τὰ τοιαῦτα ἀρθρικῶς νοεῖσθαι, ἐπιρρηματικῶς δὲ, φέρε διαλάβωμεν καὶ περὶ τοῦ τοιούτου. ἡ κατὰ τὸ οὐδέτερον θέσις, συνεχέστερον πρὸ τοῦ ῥήματος τιθεμένη, ἐπιρρηματικῶς ἀκούεται, ἤπερ ὀνοματικῶς· εἰ οὕτως ἀποφαινοίμεθα, τάχιον παρελθοῦ· [Ἀλφειοῦ,] ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης· οὐ μὲν καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον· τάχιον διαλέγου. ὅπερ δύναται καὶ ἐπὶ προσηγορίας τῶν ἄρθρων εἰσχωρεῖν. εἰ γὰρ τὸ δεῖν ταχὺ λέγειν ἢ ταχὺ βρέχειν, ἐν ἴσῳ ἐστὶ τῷ δεῖν ταχέως [λέγειν ἢ ταχέως] βρέχειν, καὶ τὸ παρεμπῖπτον οὐδέτερον ἄρθρον πρὸ τοῦ ῥήματος, τὸ αὐτὸ ἀναδέξεται τῇ προειρημένῃ συντάξει, ἐπιρρηματικῶς νοούμενον κατὰ ἀρθρικὴν ἀναφο-

τάχα

γρ.

τειχινείας ἰσχωρεῖν

ἀναφοραί. ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτον φάναι, ὅτι τὰ συντάξεως ἐπιρρηματικῆς τυχόντα πτωτικὰ, τὸν τόπον ἀπενεγκάμενα τοῦ ἐπιρρήματος, ἄκλιτα καθίσταται, μιμούμενα τὸ μοναδικὸν τῶν ἐπιρρημάτων. φέρε γὰρ οὕτω φάναι ἐπ' ὀνοματικῆς συντάξεως, ταχὺ ἐλθὸν παιδίον, ὤνησεν ἡμᾶς· ταχέος ἐλθόντος παιδίου, ὠφελήθημεν· κἀπὶ τῶν ἑξῆς πτώσεων, συμπαραλαμβανομένης τῆς συντάξεως τῆς δεούσης. ἡνίκα δὲ ἐπιρρηματικῶς, καθ' ἕνα σχηματισμὸν λέγομεν· οἷον, ταχὺ ἐλθόν[τι] παιδίον· ταχὺ ἐλθόντος παιδίου· ταχὺ ἐλθόντι παιδίῳ. εἰ δὲ τοῦτο ἀληθὲς, ἔδει τὸ ἄρθρον, εἴπερ ἐπιρρηματικῶς παρέκειτο, ἄκλιτον καθίστασθαι. νυνὶ δὲ κλίνεται· καὶ κλιθὲν, ἀμετάστατόν ἐστι τῆς συντάξεως. καὶ φαίνεται ὅτι ὁ προκείμενος λόγος οὐ μᾶλλον παρέστησε τὰ ἄρθρα ἐπιρρήματα, ἤπερ τὰ ῥήματα ὀνόματα τῆς τῶν ἐγκλίσεων μεταλήψεως, καθὼς προεδείξαμεν· ὅτι τῶν ἐγκλίσεων τὰ ὀνόματα, αὐτὰ τὰ ἀπαρέμφατά ἐστι. δι' ὃ κατ' ἐξαίρετον αὐτοῖς πρόσεισιν ἡ τῶν ἄρθρων παράθεσις· καὶ τὰ ὀνόματα τῶν ἐγκλίσεων δι' αὐτῶν δηλοῦται, καθὼς προαπεδείξαμεν. Κἀκεῖνο δὲ προσθετέον, ὡς τὰ ὀνοματικὰ ἐπιρρηματικῶς νοούμενα, τῇ ἐξ αὐτῶν παραθέσει, εἰς τὴν ὀνοματικὴν ὑποστρέφει σύνταξιν. τὸ γὰρ ταχὺ

ἴσ. ἐκφοραὶ D. — ταχέως — ἴσ. προαπεδείξαμεν — ἴσ. καθὸ D.

culi voce. Verumtamen hæc ratio, refutari potest. nā casualia quæ assecuta sunt constructionem aduerbii, & sedem eius occuparunt, fiunt indeclinabilia, & referūt aduerbii vnicam vocē. Exempli gratia, in nominis constructione dixeris, ταχὺ ἐλθὸν παιδίον ὤνησεν ἡμᾶς, *velox veniens puer, iuuit nos*: ταχέος ἐλθόντος παιδίου, ὠφελήθημεν, *cum celer venisset puer, vtilitatem cepimus*: & in ceteris casibus eodem modo; adhibita cōstructione idonea. At cum trāsit in aduerbium, vnica tantum voce dicimus, ταχὺ ἐλθὸν παιδίον, ταχὺ ἐλθόντος παιδίου, ταχὺ ἐλθόντι παιδίῳ. Quod si esset vera ratio cōtraria, oportuerat articulum adiunctum, tamq̃ aduerbium, indeclinabilem fieri. iam vero declinatur, & declinatus suam cōstructionem nō deserit. Patet igitur, propositam istam rationem demonstrare, non magis articulos aduerbia, quam verba esse nomina modorū mutationis, quēadmodum ante probauimus, cum modos infinitiuos asseruimus modorum nomina esse; itaque articulos eis adiungi præcipue, & nomina modorum per eos explicari, quemadmodum id quoq; superius probauimus. Quamquā illud etiam hoc loco addendū est, nomina quæ tamq̃ aduerbia accipiūtur, ad nominū constructionē adiunctis articulis reuerti. nā illa oratio, ταχὺ

ἐλθὸν παιδίον, cum possit accipi pro ταχέως ἐλθὸν παιδίον, articulo assumpto, aduerbii constructionem amittit: τὸ ταχὺ ἐλθὸν παιδίον, ὠφέλησεν ἡμᾶς: & si in illo Homeri, εὐρὺ ῥέει, articulo apposito dixeris, τὸ εὐρὺ ῥέει, nomen feceris τὸ εὐρὺ ῥέει. Nonne igitur coactum fuerit, eã orationis partem pro aduerbio accipere, quæ aduerbia in nominum cõstructiones transfert?

10, *Qui genitiui sine articulis explicent sententiam.*

Quilibet genitiuus cuiuslibet nominis, si distributionem habeat, continet omnino articulum. Exempla proponemus; τῶν ἀνθρώπων οἱ μὲν, εἰσὶν Ἕλληνες, οἱ δὲ, βάρβαροι, *hominum alii Græci, alii sunt barbari*: τῶν Αἰάντων ὁ μὲν, ἐπικαλεῖται Τελαμώνιος, ὁ δὲ, Λοκρὸς, *Aiacum alter vocatur Telamonius, alter Locrensis*: τῶν ἀδελφῶν μου ὁ μὲν, ῥήτωρ ἐστὶν, ὁ δ' ἕτερος, γραμματικὸς, *fratrum meorum alter, rhetor; alter, est grammaticus*. In vnitatis etiã numero, eorum tamen nominum quæ distributionẽ possunt admittere, vt in auro, argento, &aliis id genus, quę possunt eodem modo accipi, hoc est, quæ possunt distribui: quandoquidem licet etiam sine articulo genitiuum dici, si nullã distributionem habeat; ἀνθρώπων ἀκούω, φίλων προνοοῦμαι. nam non dixeris, φίλων ὃς μὲν, ἀγαθός ἐστιν, ὃς δὲ, πονηρὸς, *amicorum alter, bonus; alter, vir est improbus*. hic enim omnino articulus est adiungendus. Ergo in illo carmine Homeri, Νεστορίδαι δ', ὁ μὲν, οὔτασ' Ἀτύμνιον, non solum casus immutatus est, sed etiã articulus

Il. π.

ἐλθὸν παιδίον, δυνάμενον ἀκούεσθαι ταχέως ἐλθὸν παιδίον, προσλαβὸν τὸ ἄρθρον, ἀποβαλεῖ τὴν ἐπιρρηματικὴν σύνταξιν, τὸ ταχὺ ἐλθὸν παιδίον, ὠφέλησεν ἡμᾶς. καὶ ἐάν τις, εὐρὺ ῥέει, προσθείη τις τὸ ἄρθρον, φήσας, τὸ εὐρὺ ῥέει, ὄνομα ποιήσειεν ἂν τὸ εὐρύ. πῶς οὖν οὐ βίαιον, τὸ μεταποιεῖν μόριον τὰς ἐπιρρηματικὰς εἰς ὀνοματικὰς συντάξεις, ἐπιρρηματικῶς παραλαμβάνειν;

ι΄ Τίνες τῶν γενικῶν ἄνευ ἄρθρων καταλέγουσιν ἔννοιαν.

Πᾶσα γενικὴ παντὸς ὀνόματος ἐπιμεριζομένη, πάντως συνέχει τὸ ἄρθρον. ἐκκείσθωσαν δὲ ὑποδείγματα· τῶν ἀνθρώπων οἱ μὲν, εἰσὶν Ἕλληνες, οἱ δὲ, βάρβαροι· τῶν Αἰάντων ὁ μὲν, ἐπικαλεῖται Τελαμώνιος, ὁ δὲ, Λοκρός· τῶν ἀδελφῶν μου, ὁ μὲν, ῥήτωρ ἐστὶν, ὁ δὲ ἕτερος, γραμματικός. καὶ ἐφ' ἑνικῶν τῶν δυναμένων τμῆσιν ἀναδέξασθαι, ὡς ἐπὶ τοῦ χρυσοῦ, ἀργύρου, καὶ τῶν οὕτω παραλαμβανομένων· φημὶ δὲ ἐπιμεριζομένων· ἐπεὶ οἷόν τε γενικὴν, οὐ τὸ τοιοῦτον ἐπιδεχομένην, καὶ χωρὶς ἄρθρων λέγεσθαι· ἀνθρώπων ἀκούω, φίλων προνοοῦμαι· οὐ μὴν, φίλων ὃς μὲν, ἀγαθός ἐστιν, ὃς δὲ, πονηρός. πάντως γὰρ σὺν τῷ ἄρθρῳ. οὐ μόνον οὖν ἐπ' ἐκείνων ἡ πτῶσις [ἐνηλλάγη,] Νεστορίδαι δ', ὁ μὲν, οὔτασ' Ἀτύμνιον ἀλλὰ προφανὲς

ὅτι καὶ

ὅτι καὶ τὸ ἄρθρον λείπει· καὶ σαφὲς ὅτι [καὶ] τὸ σχῆμα ἐξηγήσατο τὸ ἀσύστατον τοῦ λόγου. γενικῆς γὰρ οὔσης, οὐκ ἂν ἔλειψε τὸ ἄρθρον. τὸ μέντοι, οἱ δὲ δύο σκόπελοι, αὐτὸ μόνον τὴν πτῶσιν ἐνήλλαξεν. ἔχει δὲ τὰ τῆς συντάξεως ἀπολογίαν τοιαύτην· τὰ ἐπιμεριζόμενα, ἐκ προϋφεστῶτός ἐστι πλήθους, ἐν γνώσει παραλαμβανομένου· εἴγε τὸ μέρος τῶν πρός τι καθέστηκε, καὶ ἔχει πρὸς τὸ ὅλον τὴν ἀπότασιν. ἀνάγκη οὖν ἐστι προσγίνεσθαι τὸ ἄρθρον τῷ ἐμπεριληπτικῷ τοῦ μέρους, ἵνα τὴν προϋφεστῶσαν γνῶσιν δηλώσῃ. ἔστι δὲ καὶ ἐκ παρεπομένων παραστῆσαι, ὡς τὰ καλούμενα πληθυντικά, ἀδιάκριτα ὄντα τοῦ ἀριθμοῦ, προσδιακρίνεται οὐ μόνον κατὰ τὴν πρόσθεσιν τοῦ ἀριθμοῦ· φέρε γὰρ οὕτω φάναι, φίλων πέντε ἐλθόντων, φίλων δέκα ἐλθόντων· ἀλλὰ καὶ κατὰ τὴν τοιαύτην σύνταξιν· καὶ εἰ μὴ κυρίῳ ἀριθμῷ, ἀλλ' οὖν γε τῷ ἐπ' ἔλαττον ἐπαριθμουμένῳ. εἰ γὰρ τὰ ἐπιμεριζόμενα ἐλάττονά εἰσι τῶν ὅλων, φανερὸν ὅτι τὸ, τῶν φίλων, καθέστηκε πλέον τοῦ, οἱ μὲν, εἰσὶν ἀγαθοί· οἱ δὲ, φαῦλοι. εἰ γοῦν πάλιν τὰ τῆς συντάξεώς τις ἀφέλοι, οὐ μᾶλλον τὸ φίλοι ἔλαττόν ἐστι τοῦ φίλων, ἤπερ τὸ ἐναντίον. Περιφανῶν [οὖν] οὐσῶν τῶν τοιούτων συντάξεων, οἴονται τινες, κἂν μὴ παραλάβωσι τὸν λόγον, διασώζειν τὰ τῆς συντάξεως. οὗτοι

ταύτην

ἐξαριθμουμένῳ

φαῦλοις.

τῷ φ.

ſine dubio deeſt. quin etiam perſpicuũ eſt, figurã verborũ indicare incõgruam orationem. nam ſi eſſet genitiuus, articulus nimirũ ei nõ deeſſet. At in illo carmine, οἱ δὲ δύο σκόπελοι, caſus tantummodo immutatus eſt. Habet autem huiuſmodi conſtructio defenſionem iſtam, qua ſe tueri poteſt: Diſtributiua nomina conſtant ex multitudine antecedente, quæ ſumitur vt cognita; ſiquidem pars ex ordine relatiuorum eſt, & ad totum reſpicit. itaq; neceſſe eſt adiungere articulum toti, quod partem continet, vt antecedentem declaret cognitionem. Item a conſequentibus licet idem probare. nam ea quę vocãtur pluralia, quoniam nullam diſtinctionem quantitatis habent, diſtinguuntur non ſolum adiecto numero, ſi forte ita dixeris, φίλων πέντε ἐλθόντων, φίλων δέκα ἐλθόντων: verum etiam huiuſmodi cõſtructione: & ſi non numero multitudinis, numero ſaltem vnitatis. nã ſi, quæ diſtribuuntur, ſunt pauciora toto, cuius ſit diſtributio; patet patriũ caſum τῶν φίλων plureis ſignificare, quam illos rectos caſus, οἱ μὲν, εἰσὶν ἀγαθοὶ, οἱ δὲ, φαῦλοι. itaque ſi conſtructionem iſtam ſuſtuleris, nõ feceris nominandi caſum φίλοι numero inferiorem patrio caſu τῶν φίλων: & vice verſa. Quamq̃ igitur minime dubitãdum ſit de iſtiuſmodi conſtructionibus; tamẽ non deerunt qui ſe rectam conſtructionem ſeruare poſſe exiſtiment etiam non admiſſa ratione. Sed iis

Od. μ.

cette idem accidet, quod illis qui verborum figuras vsu & exercitatione tãtum didicerunt, non vi præceptorũ quę sunt a Græcis tradita, nec analogia quæ præceptorũ socia & comes est. iisdem etiam accidit vt, si qua in figura verborum lapsi fuerint, eã corrigere nesciant imperitia sua. Quemadmodum igitur permagnum vsum afferunt pręcepta Hellenismi, cũ ad poetatũ carmina recte & emendate legenda, tum ad quotidianum loquendi vsum, tum etiam ad verba diiudicanda, quę a priscis imposita fuerũt: ita etiam proposita orationis congruæ quæstio, quoslibet orationis lapsus ratione emendabit. Quamquam sunt etiam nonnulla quæ, etsi a maioribus tradita sunt, tamẽ non habent distinctam definitamq; pronuntiationem. Siquidem sunt qui ambigũt an εἴρηκας per α sit Græcũ potius, quam εἴρηκες per ε: & an Ἑρμῆ cũ diphthongo sit scribendum, an potius per η, ratione hoc ipsum exigente. In quibus constat, consequentem orationis seriem, quod vitiose dicitur, esse refutaturam. Tale igitur quidpiã etiam in proposita quæstione cõsequetur. nam siquid fuerit ambiguum, id ratio adhibita cum naturali quadã obseruatione corriget; & quidquid in cõstructione erit incongruum, id ipsa emendabit: quamquam alias quoq; demõstrauimus, nõ omnem genitiuũ postulare articulũ.

δὲ, ὅμοιόν τι πείσονται τοῖς ἐκ τριβῆς τὰ σχήματα τῶν λέξεων παρειληφόσιν, οὐ μὴν ἐκ δυνάμεως τῆς κατὰ τὴν παρά- τῆς D. δοσιν τῶν Ἑλλήνων, καὶ τῆς συμπαρεπομένης ἐν αὐτοῖς ἀναλογίας. † οἷς παρακολουθεῖ τὸ, εἰ διαμάρτοιέν τινι σχήματι, μὴ δύνασθαι διορθοῦν τὸ ἁμάρτημα, διὰ τὴν παρακολουθοῦσαν αὐτοῖς ἀπειρίαν. καθάπερ οὖν πάμπολλός ἐστιν ἡ εὐχρηστία τῆς κατὰ τὸν ἑλληνισμὸν παραδόσεως, κατορθοῦσα μὲν τὴν τῶν ποιημάτων ἀνάγνωσιν, τήν τε ἀνὰ χεῖρα ὁμιλίαν, καὶ ἔτι ἐπικρίνουσα τὴν παρὰ τοῖς ἀρχαίοις θέσιν τῶν ὀνομάτων· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ προκειμένη ζήτησις τῆς καταλληλότητος, τὰ τὸν ὁπωσδήποτε διαπεσόντα ἐν λόγῳ κατορθώσει. ἤδη μέντοι καί τινα τῶν κατὰ παράδοσιν οὐ διεσταλμένην ἔχει τὴν προφοράν· τῶν μὲν διστάζοντων, εἰ τὸ μέντοι εἴρηκας ἑλληνικὸν, ἤπερ [τὸ] εἴρηκες διὰ τοῦ ε ἢ, ὥς τινες ἀποφαίνονται, Ἑρμῆς διὰ διφθόγγου, τοῦ λόγου αἰτοῦντος τὴν διὰ ἀπαιτοῦντος τοῦ η γραφήν. καὶ φαίνεται ὅτι † ἡ τοῦ λόγου συνέχεια, τὸ ἐν κακίᾳ εἰρημένον παραιτεῖται. τοιοῦτον οὖν πάλιν τοι παρα- παρακολουθήσει κἀπὶ τῆς προκειμένης βέται. ἢ τηρήσεως. ἀμφιβαλλομένων γάρ τινων, τὰ τοῦ λόγου ἐλεγχόμενα μετά τινος φυσικῆς παρακολουθήσεως, ἀποστήσει τὸ οὐ δέον τῆς συντάξεως. ὥσγε ἐδείξαμεν, ὡς οὐ πᾶσα γενικὴ τὸ ἄρθρον ἀπαιτεῖ.

ια΄, Πότε τὸ ἄλλοι πάντως ἄρθρον προσλήψεται, καὶ πότε οὔ.

Εἰ δὲ ἐν τῇ προκειμένῃ συντάξει, εἴποι τις ὅτι ποιητικὴ ἄδεια ἐξαιτουμένη, ποιεῖ τὸ πλεονάζειν καὶ ἐλλείπειν, καὶ παραλείπειν τι τῶν τοιούτων, τὸ αἰτιπαραπεπηγμένον τοῦ λόγου παραστήσει καὶ τὸ λεῖπον καὶ τὸ πλεονάζον. φέρε γὰρ πάντα τὰ τῆς τοιαύτης συντάξεώς τινα παραλαμβάνειν· Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο· Ἄλλοι μὲν ῥα θεοί τε· Ἄλλοι μὲν χαλκῷ· Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ· Ἡ δ' ἄλλους μὲν ἔασεν· Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι· Ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· καὶ ἐπ' ἄλλων πλείστων· πότερον [οὖν] ἐλλείπει τῇ τῶν ἄρθρων παραθέσει, ἢ ἐντελής ἐστι· καὶ πότερον ἅπαντα τὰ τοιαῦτα, ἤ τινα αὐτῶν; οὐχὶ οὖν ἄχρηστος ὁ λόγος, ἀναπληρῶν μὲν τὸ λεῖπον, οὐ πλεονάζων δὲ ἐν τῷ μὴ δεομένῳ. ἢ ἐκεῖνο ἀπόδειξίς ἐστι, τὸ ἀναμεῖναι τὴν Ζηνοδότου γραφὴν, ἐν τῷ, ὧλλοι μὲν ῥα θεοί τε· καὶ σαφὲς ὅτι ἐκεῖ πάλιν οὐ προσοίσομεν, ὅπου οὐδὲ ὁ Ζηνόδοτος, Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο. ἀλλὰ τὰ τοιαῦτα παρείσθω, παρολκὴν μᾶλλον παρέχοντα ἢ παράδοσιν πραγμάτων. Πάντοτε οὖν τὸ ἄλλοι συντάξει τὸ ἄρθρον, ἡνίκα τοῦ κατηγορουμένου πλήθους ὅλον ἐστὶν ἐμπεριληπτικὸν,

ἡνίοχος P.

εὔχρηστος

ἄλλοι

ὅλου

11, *Quando nomen ἄλλοι articulum omnino admittat, & quando non admittat.*

Quod si quis in proposita constructione dixerit, licentiam poetarum precario fere id impetrare, vt modo abundet, modo deficiat articulis; opposita & certa ratio docebit vbi desit, & vbi articulus abundet. Fac enim aliquẽ exẽpla omnia colligere, quæ pertinenr ad hoc genus constructionis; Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο: Ἄλλοι μέν ῥα θεοί τε: Ἄλλοι μὲν χαλκῷ: Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ: Ἡ δ' ἄλλους μὲν ἔασε: Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι: Ἄλλος δ' ἡνίοχος ἰνδάλλεται: & alia quamplurima: vtrum dixerit constructionem istam carere articuli appositione, an nõ carere? & vtrum omnia hęc exempla, an eorum nonnulla? ergo ratio non erit hic inutilis: nam & quod deerit, supplebit; & reiiciet quod supererit. Nisi forte illud pro demõstratione afferatur, quod a Zenodoro traditum est. is enim scribit ὧλλοι μέν ῥα θεοί τε. atqui etiam sic patet, in illo exemplo nullum esse adhibẽdum articulum, in quo ne Zenodotus quidem ipse adhibet; Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο. Il. α. Sed missa hæc faciamus, quæ moram potius afferũt, quam vsum præceptorũ, & rerum tradẽdarum perceptionem. Nomẽ igitur distributiuum istud ἄλλοι, habebit semper sibi adiũctum articulum, cum vniuersam multitudinem, de qua est sermo, continet,

Il. α.
Il. β. Il. κ.
Il. ε.
Il. ο.
Il. ψ.
Il. ψ.

&eam in parteis diuidit. nam nisi tale sit, ne articulum quidem omnino sibi adiunctum habebit. Proponamus exempla hæc sermonis vsitati; οἱ μὲν ἄλλοι Ἕλληνες (i. ceteri Græci) *vocales, quæ in verborum sunt principio, aspirant: Æoles tantũ eas attenuant.* Æoles enim sunt Græcorum pars. Vel, si quis potius hoc modo enuntiet; *ceteri Dores retinent θ, Lacones vero eam etiam in σ mutant.* hic enim rursus nomen distributionis, continet multitudinem Dorum, qui in parteis distribuuntur. Eadem erit ratio in omnibus id genus distributionis, si viam istã teneas, quæ modo monstrata est. Alterius sermonis qui caret articulo, exempla illa sunt; ἄλλοις ἀνθρώποις ὁμίλει, μὴ τοῖς περὶ τὸν Τρύφωνα: hoc est, *cum aliis agito, non cum Tryphone.* nam illud ἄλλοις iã non complectitur omneis homines. Item, ἄλλοι μὲν γὰρ καὶ χαρίζονται ἡμῖν, σὺ δὲ, καὶ προσαφαιρῇ: i. *alii vel beneficiũ nobis faciunt; tu etiam de nostro aliquid aufers:* ἄλλους ὕβριζε, μὴ ἡμᾶς, *alios afficito contumelia, non nos.* In his enim exemplis nõ est necesse adiungere articulum: quandoquidẽ loquendi formula est vsitata, & facile ꝓbatur: at superior, obscura & difficilis intellectu fuerit, si sine articulo enuntietur; ἄλλοι μὲν Ἕλληνες δασύνουσι τὰ φωνήεντα, Αἰολεῖς δὲ οὐδαμῶς: hoc est, *alii Græci aspirãt vocales; Æoles minime.* Hac eadem via & ratione distinguemus illud ἄλλοι, quod est apud poetam: nam si contineat deos & homines, Iouem excipiat non dormientem, articulum omnino

νὴ τὼ σιώ

τήν τε διαίρεσιν πάλιν μερικὴν ποιεῖται. οὐ γὰρ τῇδε ἔχον, οὐ πάντως ἕξει καὶ τὸ ἄρθρον παραλαμβανόμενον. ἐκκείσθω δὲ ὑποδείγματα τὰ μὲν κατὰ τὸ ἔθος προφορᾶς, τάδε· Οἱ μὲν ἄλλοι Ἕλληνες, δασύνουσι τὰ ἐν τῇ λέξει φωνήεντα· Αἰολεῖς δὲ, μόνοι ψιλοῦσι. τμῆμα γὰρ τῶν Ἑλλήνων οἱ Αἰολεῖς. καὶ εἰ τῇδέ τις μᾶλλον ἀποφαίνοιτο· Οἱ μὲν ἄλλοι Δωριεῖς, τηροῦσι τὸ θ· Λάκωνες δὲ, βίποια καὶ εἰς σ μεταβάλλουσι. πάλιν γὰρ ἐμπεριεκτικὸν γέγονε πλήθους, τῶν ἐμπεριληπτικὸν ὑποτεμνομένων Δωριέων. Ὁ αὐτὸς λόγος παρακολουθήσει κατὰ τὴν παροῦσαν ἔφοδον ἐπὶ πάντων τῶν τοιούτων. Τοῦ δὲ ἑτέρου, Ἄλλοις ἀνθρώποις ὁμίλει, μὴ τοῖς περὶ Τρύφωνα. οὐ γὰρ δὴ γενικῶς τὸ ἄλλοι, πάντων ἀνθρώπων περιεκτικόν ἐστιν. ἄλλοι μὲν γὰρ καὶ περιληπτικόν χαρίζονται ἡμῖν· σὺ δὲ, καὶ προσαφαιρῇ· ἄλλους ὕβριζε, μὴ ἡμᾶς. οὐδεμία γὰρ ἀνάγκη προσνέμειν τὸ ἄρθρον, ὅπου γε καὶ ῥητή ἐστιν ἡ φράσις, καὶ εὐπαράδεκτος· ἡ μέντοι προκειμένη, † ἀσύνετος, εἰ δίχα τοῦ ἄρθρου λέγοιτο, Ἄλλοι μὲν Ἕλληνες, δασύνουσι τὰ φωνήεντα· Αἰολεῖς δὲ, οὐδαμῶς. Ταύτῃ γοῦν τῇ ἐφόδῳ διακρινοῦμεν καὶ † τὸ παρὰ τῷ ποιητῇ ἐμπεριεκτικὸν καθεστὼς θεῶν καὶ ἀνθρώπων, τὸ, ἄλλοι, καὶ ἐπιμεριζόμενον εἰς τὸν Δί', ἀπαιτήσει

τὸ ἄρ-

τὸ ἄρθρον. οὐ μὴν τὸ, Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι. οὐ γὰρ τῇδε ἔχει. τό τ', Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, οὐ πάντως ἐξ ἀνάγκης προσλήψεται τὸ ἄρθρον. τί γὰρ, εἰ οὕτω λέγει, ἐνίοις ἐπίτασσε; καθάπερ ἐν τῷ βίῳ φαμὲν, ἄλλοις προσέρχου, μὴ ἐμοί· καὶ ἔτι, ἄλλοις ὕβριζε, μὴ ἐμέ· οὐ τοῦτο προστάσσοντες, ἅπαντας τοὺς ἐν ὑποτάξει ὑβρίζειν, τοὺς δὲ ἐπιτηδείους. ἐκεῖνό γε μὴν πάλιν ἐλλείπει, Ἡ δ' ἄλλοις μὲν ἔασεν, Θέμιστι δὲ καλλιπαρῄῳ Δέκτο δέπας. ἐμπεριεκτικὸν γάρ ἐστιν ἁπάντων τῶν συμπεριεχομένων θεῶν. οὔ γε μὴν τὰ τοιαῦτα ἐλλείπει, Ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ. οὔτε γὰρ τῶν πάντων τὸ ἄλλοι νῦν περιεκτικόν ἐστιν, οὔτε ἐκ τῶν προτέρων ἐπιμερίζεται τὸ ἐπιφερόμενον, ἄλλοι δ' αἴθωνι σιδήρῳ. ἐν ἴσῳ γὰρ ἀριθμῷ σχεδὸν τὰ τῆς συντάξεως ἐγένετο. προσκείσεται γὰρ καὶ τὸ, Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ, Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος· διὰ τὴν τοῦ ὅσοι σύνταξιν· καθὸ προέλαβε τὴν ἀρχήν. δεδείξεται γὰρ ὅτι τῷ ἀοριστώδει ἐμποδίζει τὰς τῶν ἄρθρων παρεμπτώσεις.

[Margin: τοῖ μὴ οἰκ. — προτέρων — προσκείσεται γὰρ καὶ τῷ — ἀοριστώδει ἐμποδίζειν D.]

exiget. at non ita illud, Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι. est enim dissimile. Il. ψ. Illud etiam, Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, nõ necessario assumet articulum. Il. α. quid enim vetat ita dicere, ἐνίοις ἐπίτασσε, *nonnullis impera?* quẽadmodum in sermone quotidiano vsurpamus, ἄλλοις προσέρχου, μὴ ἐμοί, *alios adito, non me*: &, ἄλλους ὕβριζε, μὴ ἐμὲ, *alios contumelia afficito, non me*: illud nimirum imperantes, vt alios qui sunt in eius dicione ac potestate, afficiat contumelia; neq; hoc faciat necessariis & amicis. In illo tamen exemplo vice versa deest articulus; Ἡ δ', ἄλλοις μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρῄῳ Δέκτο δέπας. Il. ο. nam illud ἄλλους cõtinet omneis deos qui erant simul in cœnaculo. At illa, Ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ, Il. ψ. articulo non carent. nam illud ἄλλοι iam non continet omneis: nec illud quod sequitur, ἄλλοι δ' αἴθωνι σιδήρῳ, patitur distributionẽ a superioribus. nam in vtraque constructione par est numerus. Illud etiam iis addendum: eiusdem enim naturæ est: Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ, Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος: Il. ε. propter cõstructionem nominis ὅσοι, quatenus hæc vox anticipauit priorem illam θεοί: nam infra demonstrabimus, articulos esse submouendos, si partem aliquam orationis, quæ infinitam habeat vim, adhibeamus.

12. *Datiuos nominum adiectiuorum in epistolarum inscriptione non posse recte sine articulis enuntiari.*

Præterea quilibet datiuus adiectiui nominis, in epistolari constructione habet articulum adiunctum; Διονύσιος Τρύφωνι τῷ ἀγαθωτάτῳ χαίρειν, *Dionysius Tryphoni optimo salutem*: item τῷ τιμιωτάτῳ. nam si sine articulo scribatur, erit obscurior. Hæc autem articuli adiunctio, habet rationẽ huiusmodi. nomina propria incidunt in ambiguitatem: quæ tolli non potest, nisi nomen adiectiuum adhibeas; Τρύφων ὁ γραμματικός, Δίων ὁ φιλόσοφος: vel aliud quod gentem distinguat, Ἀπολλόδωρος ὁ Ἀθηναῖος, Ἀπολλόδωρος ὁ Κυρηναῖος. quo fit vt nomina propria distinguantur a pluribus personis, ad quas referri poterat eadem appellatio. eamque ob causam in Epitheti superiore constructione cõmode quadrauit articulus: & Menelaus cum arcessit Aiacem, cum duobus epithetis ab altero Aiace distinguit, in

B.μ. illo loco; Ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, *At veniat natus Telamone acerrimus A-*

Il.π. *iax*. & alibi, Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ, *Ast ingẽs Aiax vnum petit Hectora fortem*. Illud etiam perspicuum est, superiorem constructionem exigere epitheta boni ominis, propter verbum quod declarandæ beneuolentiæ ergo assumitur, χαίρειν inquam: de cuius verbi constructione, & congruo cõtextu, dicetur suo loco. Ac ne illud quidem obscurũ est,

ιβʹ. Ὅτι ἀσύντακτον χωρὶς ἄρθρου ἐκφέρεσθαι τὰς ἐν ἐπισταλτικῇ δοτικὰς τῶν ἐπιθετικῶν ὀνομάτων.

Ἔτι πᾶσα δοτικὴ ἐπιθετικοῦ ὀνόματος, κατ' ἐπισταλτικὴν σύνταξιν σύνεστι τὸ ἄρθρον· Διονύσιος Τρύφωνι τῷ ἀγαθωτάτῳ χαίρειν· τῷ τιμιωτάτῳ. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου λεγόμενον. Ἔχει δὲ λόγον ἡ συνέχεια τοῦ ἄρθρου τοιοῦτον· ἐν τοῖς κυρίοις ὀνόμασι παρεμπίπτει ἡ ὁμωνυμία· ἧς τὸ ἀμφίβολον οὐκ ἀπολύεται δίχα τῆς ἐπιτρεχούσης τὰ ὀνόματα ἐπιθετικῆς προσθέσεως· [ὡς φαμὲν,] Τρύφων ὁ γραμματικός, Δίων ὁ φιλόσοφος· ἢ κατ' ἐθνικὴν σύνταξιν, [Ἀπολλόδωρος ὁ Ἀθηναῖος,] Ἀπολλόδωρος ὁ Κυρηναῖος. καὶ οὕτω τὰ κύρια ὑπεκλύεται τῆς εἰς πλείονα πρόσωπα συνελθούσης ἐννοίας. διὸ καὶ τῇ προκειμένῃ συντάξει τὸ αὐτὸ ἐνεχώρησεν. ἔνθεν καὶ ὁ Μενέλαος, μεταπεμπόμενος τὸν Αἴαντα, οὐκ ἀπιθάνως διὰ δύο ἐπιθέτων τὸν Αἴαντα τῆς ὁμωνυμίας ἀπέλυσεν, ἐν τῷ, Ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας· καὶ ἐν ἑτέροις, Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι. Σαφὲς δ' ὅτι καὶ ἡ προκειμένη σύνταξις, καὶ εὐφημότερα τὰ ἐπιθετικὰ ἀπαιτεῖ, ἕνεκα τοῦ διὰ φιλοφροσύνην παραλαμβανομένου ῥήματος· λέγω τοῦ χαίρειν· περὶ οὗ τῆς συντάξεως, καὶ ὅλως τῆς συνεπείας, κατὰ τὸ δέον εἰρήσεται. ἀλλ' ὡς πάλιν τὰ ἐπιθετικὰ τῶν ὀνο- (margin: συνιούσης)

τῶν ὀνομάτων † διὰ πλείονος ὕλης χωρεῖ, τὸ προϋπῆρχον. ἵν' οὖν καὶ τὸ τοιοῦτον ἀποστῇ τῆς συντάξεως, ἀναγκαίως προστίθεται τὸ ἄρθρον, σημαῖνον ἔσθ' ὅτε καὶ μοναδικὴν ἀναφοράν, καθὼς καὶ ἐν τοῖς προκειμένοις ἐδιδάξαμεν. (ἐδείξαμεν.) ἔστι καὶ οὕτω φάναι, τὰ ἄρθρα ἔσθ' ὅτε προστιθέμενα, ἰδιότητα ὀνόματος παρίστησιν. οὕτω γάρ, ἐκ Δήλου τὸ πλοῖον εἰς Ἀθήνας παραγόμενον (παραγενόμενον) κατέπλευσεν, εἶχε τὸ συνέχεσθαι τοῦ ἄρθρου, ἐν τῷ, τὸ πλοῖον κατέπλευσε. καθὸ (καθότι) καὶ ὡς τό, ὁ ποιητής, ὑπαγορεύει τὸν Ὅμηρον. δεόντως ἄρα καὶ κατὰ τὸ τοιοῦτον ἡ προσθετικὴ ἐστὶ τοῦ ἄρθρου (πρόσθεσις), συνιδιάζουσα τὸ ἐπιθετικὸν τῷ κυρίῳ ὀνόματι.

ιγ' Ὅτι καὶ τό, τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, ἀναγκαίως προσέλαβε τὸ ἄρθρον.

Ὑπὸ τὸν αὐτὸν λόγον πίπτει καὶ ἡ τοιαύτη σύνταξις, Βασιλεὺς Μακεδόνων Φίλιππος, Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἔστι γὰρ τὸ συμφραζόμενον τοιοῦτον, Ἀθηναίοις χαίρειν. κἀπειδὴ οὐχ ἅπασι ταὐτὸ παρείπετο, (ἦσαν γὰρ οἱ μέν, δημόται, οἱ δέ, βουλευταί) ἐδέετο δὲ τοῦ διαστέλλοντος ἐπιθέτου, ἡ ἐπισταλτικὴ σύνταξις, ἀπεμέρισε τοὺς μὲν βουλευτάς, διὰ τό, τῇ βουλῇ· τοὺς δὲ δημότας, διὰ τό, τῷ δήμῳ. ὥστε τὸ πᾶν τὸ συμφραζόμενον εἶναι, τοῖς βουλευταῖς καὶ δημόταις. καὶ σαφὲς

epitheta pluribus substantiuis tribui posse. itaque, vt ab eiusmodi quoq; cōstructione tollatur ambiguitas, articulum adiungi; qui significat interdum vel vnicam personam, aut rem notam; sicut in superioribus demonstrauimus. Licet etiam hanc rationem afferre; articuli interdū additi, peculiare aliquod nomen referunt, hunc in modū videlicet; ἐκ Δήλου τὸ πλοῖον εἰς Ἀθήνας παραγενόμενον, κατέπλευσεν: i. *ex Delo nauigium profectum Athenas delatum est*. hic enim articulus adiunctus in illo, τὸ πλοῖον κατέπλευσεν, fecit vt significaret nauigium peculiare; quemadmodum ὁ ποιητὴς subindicat Homerū. Recte igitur etiam sic articulus adiicitur, & facit vt epithetū habeat eandem proprietatem, quam habet nomē proprium.

13, *In illo etiam*, τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, *necessario additum esse articulum.*

Sub eadem præcepta cadit illa quoque constructio, Βασιλεὺς Μακεδόνων Φίλιππος, Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν, *Philippus rex Macedonū, senatui & populo Atheniēsium salutem*. nam sensus qui in ea continetur, ille est, Ἀθηναίοις χαίρειν, *Atheniensibus salutem*. & quoniam nō omnibus eadem erat conditio, (alii enim erāt populares & plebeii; aliī senatores) & inscriptio epistolæ opus habebat adiectiuo, quod hos ab illis distingueret; seiunxit senatores a populo, cum dixit τῇ βουλῇ καὶ τῷ δήμῳ. vt summa illius inscriptionis sit, τοῖς βουλευταῖς καὶ δημόταις, *senatoribus & plebi*. Hinc patet,

nomina collectiua eiusmodi collectionem sibi vindicasse: quãdoquidem numero vnitatis proferuntur, & tamen multitudinem significant. itaque facile illud est, Ἀγρόμενοι πᾶς δῆμος. refertur enim ad illud quod subauditur. Demonstratum ergo est, articulum adiunctum etiam in isto exemplo, τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν, esse necessarium.

14, *Genitiuum admittere articulum.*

Illud etiam quærendũ est, curnam ista constructio in alio casu non procedit, præsertim in datiuo, cuius est cõstructio; sed in genitiuo tantum procedit? An quia quæ distribuuntur, sunt partes totius collectæ multitudinis; eamque ob causam exigunt cõstructionem possessiuam; possessio autem solo genitiuo, non alio casu indicatur. Sed hactenus de articulis, qui semper nomina comitãtur: iam veniendum deinceps est, ad eas quoq; partes quæ articuli societatem admittere non possunt. *Pars secunda.*

15, *Pronomen ἀλλήλων non recipere articulum.*

At pronomen hoc ἀλλήλων renuit omnino articuli societatem. Hoc patet cũ vsu auctorum omnium, tum ratione, quæ vocem istam comitatur. cõiunctum enim cum verbo, significat actionẽ reciprocam personarum, quæ transitione facta, agunt aliquid: Ἀλλήλοις ζώοντε: Ἀλλήλοις δ' ἐλπίσαι: Ἀλλήλων ἀμείνοντες βέ- *Il. ρ.*

ὅτι τὴν τοιαύτην ἀριθμὸν ἀπηνέγκατο τὰ ἀθροιστικὰ ὀνόματα· ἅπερ ἑνικῶς μὲν λέγεται, † πληθυντικῶς δὲ νοεῖται. καὶ διὰ τοῦτο εὐμαρὲς τό, Ἀγρόμενοι πᾶς δῆμος, πρὸς τὸ ὑπακουόμενον τὸ σχῆμα ὑπήκουσεν. *ιε. Ὅμηρος* Ἐδείχθη ἄρα, ὡς κατηναγκασμένη ἐστὶν ἡ σύνταξις τοῦ ἄρθρου καὶ τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

ιδ' † Περὶ πτωτικῶν [τῶν] δυναμένων ἄρθρον παραδέξασθαι.

Κἀκεῖνο δὲ ἐπιστατέον, τί δήποτε οὐκ ἐν ἄλλῃ πτώσει † προσεχώρει τὰ τῆς συντάξεως· καὶ μάλιστά γε τῇ δοτικῇ, ἧς ἐστι σύνταξις, μόνῃ δὲ τῇ γενικῇ. ἢ ὅτι τὰ ἐπιμεριζόμενα, μέρη ὄντα ὅλου ἀθροίσματος, κτητικὴν σύνταξιν ἀπαιτεῖ. *ἀπῄτει* δι' ἄλλης δὲ πτώσεως οὐκ ἐμφανίζεται κτῆσις, ἢ διὰ μόνης τῆς γενικῆς. καὶ τοσαῦτα περὶ τῶν ἀεὶ συνυπαρχόντων ἄρθρων τοῖς πτωτικοῖς. † Ἑξῆς χωρητέον καὶ ἐπὶ τὰ ἀδυνατοῦντα μόρια τὴν σύνταξιν τῶν ἄρθρων παραδέξασθαι. *τμῆμα β'.*

ιε' Ὅτι τὸ ἀλλήλων οὐ παραδέχεται ἄρθρον.

Ἀνέφικτον γὰρ τὸ ἀλλήλων εἰς ἄρθρου παράθεσιν. καὶ προφανές ἐστιν ἐκ τῆς παρὰ πᾶσι χρήσεως, καὶ τοῦ συμπαρεπομένου λόγου. μετὰ ῥήματος γάρ, διαβατικὴν προσώπων † διάθεσιν σημαίνει· Ἀλλήλοις ζώοντε· Ἀλλήλοις δ' ἐλπίσαι· Ἀλλήλων ἀλεείνοντες βέ-

λεα

λεα συνόεντα. αἱ δὴ τοιαῦται συντάξεις, ἐν ὀρθῇ καὶ πλαγίᾳ πτώσει νοοῦνται. ἔστι δὲ τὸ προκείμενον ὄνομα, † ἐν ὀρθῇ, καὶ τὸ ἑπόμενον ἐν πλαγίᾳ. ἄλλοι γὰρ ἄλλων, καὶ ἄλλοι ἄλλοις, καὶ ἄλλοι ἄλλους. ὁποτέρᾳ οὖν πτώσει ἐπιδοθὲν προσέλθῃ τὸ ἄρθρον, ἀκαταλληλότητα παρέξει. εἰ γὰρ τῇ λεγομένῃ ὀρθῇ, τὸ ἐγκείμενον τῆς πλαγίας οὐ παραδέξεται· καὶ εἰ τῷ τῆς πλαγίας, τὸ ἐγκείμενον τῆς ὀρθῆς ἀντικείσεται. ἑνὶ γὰρ ὀνόματι δύο προτακτικὰ ἄρθρα συντάσσεσθαι, ἀμήχανον. καὶ οὕτως ἡ σύνταξις ἀνέφικτος ἐγένετο.

ιϛ´ † Ὁμοίως καὶ τὸ ἀμφότεροι οὐ παραδέχεται ἄρθρον.

Ὁμοίως ἀνέφικτον τὸ ἄρθρον πρὸς σύνταξιν τὴν τοῦ ἀμφότεροι, καὶ τῆς † χρήσεως τὸ τοιοῦτον ἀπαγορευούσης, καὶ τοῦ συμπαρεπομένου λόγου. ἐξ οὗ δείκνυται ὡς οὐ ταὐτόν ἐστι τῷ δύο τὸ ἀμφότεροι. εἴγε, κατὰ τὸν δέοντα λόγον, τῷ δύο καὶ τὸ ἄρθρον προστίθεται, καθὸ καὶ τοῖς ἑξῆς ἅπασιν ἀριθμοῖς, οὐ μὴν τῷ προκειμένῳ μορίῳ. ἔστι δὲ αἰτία ἥδε· ἐπὶ δυάδος ἐγνωσμένης τὸ ἀμφότεροι παραλαμβάνεται. ἔστιν οὖν φάναι, δύο ἄνθρωποι τρέχουσιν· ὡς ἂν τοῦ δύο πρώτην γνῶσιν τὴν κατὰ τῶν ἀνθρώπων ὑπαγορεύοντος, τοῦ δὲ ἀμφότεροι δηλοῦντος τὴν πάλαι γνῶσιν. ἔνθεν οὐδὲ ἔστι προσθεῖναι μετὰ τὴν τοῦ δύο

τὸ δύο τῷ ἀμ.

λεα συνόεντα: h. e. alii alios vulnerestis: alii alios predati sunt: alii aliorum vitantes luctuosa tela. cõstructiones igitur eiusmodi existũt in recto casu & obliquo. nam alii aliorũ dicitur, alii aliis, & alii alios. Ad vtrum itaque casum accesserit articulus, incongruam orationẽ efficiet. nam si nominatiuo adiũgatur, eum qui sequitur obliquus, non admittet: sin obliquo, rectus repugnabit. nam cum vno eodemq; nomine duo articuli præpositiui coniungi nullo modo possunt: atq; ita constructio erit incongrua, nec poterit consistere.

16. Ne ἀμφότεροι quidem nomen, recipere articulum eodem modo.

Eodem modo articulus congrue nõ construitur cum nomine ἀμφότεροι nam huiusmodi cõstructionem & vsus reiicit, & ratio quæ vocem comitatur vnde patet, nomẽ ἀμφότεροι esse diuersum a nomine numerali δύο. quandoquidem nomini δύο additur articulus recta ratione id exigente, sicuti ceteris nominibus numeralibus; at non ita nomini superiori. Ratio est illa: nomen hoc ἀμφότεροι sumitur, cum duas res aut personas notas significare volumus. itaque licet dicere, δύο ἄνθρωποι τρέχουσιν duo homines currunt: qua in oratione δύο indicat primã cognitionem hominum: at ἀμφότεροι pristinã declarat cognitionem. Hinc fit, vt post nomen δύο

non liceat articulum addere ante nomen ἄνθρωποι, & dicere δύο οἱ ἄνθρωποι τρέχουσιν. esset enim primæ cognitionis expositio. & tamen demõstratum est, articulum adiũctum repetere memoriam rerum iam cognitarum. At post ἀμφότεροι licebit; ἀμφότεροι οἱ ἄνθρωποι τρέχουσιν, *vtrique homines currunt*: ἀμφότεροι οἱ φίλοι τρέχουσιν, *vtriq; amici currunt*. etenim binus numerus in ἀμφότεροι erat antea cognitus: eãq; ob causam articulus adiungi recte non potest. Sed si in constructione nominis δύο, numeri memoria repetatur, articulus tum recte adiungi poterit; οἱ δύο ἄνθρωποι τρέχουσιν. Patet igitur, cõstructionem in ἀμφότεροι vsum articuli recusare, & societatem eius vt superfluam reiicere. nã illud
Il. ν. Homeri, Ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι, indicat personas notas carminibus superioribus; Hectorẽ inquam
Il. γ. & Alexandrum: Ὣς εἰπὼν, πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ: & Τῷ δ' ἅμ' Ἀλέξανδρος κί' ἀδελφεός. Neq; vero illud me fugit, verba substantiua in orationis constructione admittere nomina coniuncta cum ἀμφότεροι, sine articulo; ἀμφότεροι φίλοι εἰσιν: ἀμφότεροι ἄνθρωποί εἰσιν: ἀμφότεροι γραμματικοὶ ὀνομάζονται. nam nomini ἀμφότεροι numerus binus inest: nomen consequens verbi constructio sibi vindicat: id quod in sequẽtibus accuratius demonstrabitur.

σύνταξιν, περὶ τοῦ ἄνθρωποι, τὸ ἄρθρου, δύο οἱ ἄνθρωποι τρέχουσι. περιττὴ γὰρ ἡ ἀφήγησις· ἡ δὲ πρόσθεσις τοῦ ἄρθρου, ἐδείχθη ἀναπολοῦσα τὰ προδεδηλωμένα. μετὰ μέντοι τὸ ἀμφότεροι, ἀμφότεροι οἱ ἄνθρωποι τρέχουσιν, ἀμφότεροι οἱ φίλοι τρέχουσι. προέγνωστο γὰρ ἡ τοῦ ἀμφότεροι δυάς· καὶ διὰ τοῦτο † ἀνέφικτος ἡ τοῦ ἄρθρου παράθεσις. ἀναποληθεῖσα γοῦν ἡ τοῦ δύο σύνταξις, δεκτικὴ γίνεται τοῦ ἄρθρου, οἱ δύο ἄνθρωποι τρέχουσι. περιττὸν οὖν ὅτι ἡ τοῦ ἀμφότεροι σύνταξις τὸ † ἄχρηστον τοῦ ἄρθρου † ἀπαγορεύουσα, ὡς περισσὴν, τὴν τούτου σύνταξιν ἀπεώσατο. τὸ γὰρ, Ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι, κατηγορεῖ τῶν ἐγνωσμένων, διὰ τῶν προκειμένων λόγων· λέγω δὲ Ἕκτορος καὶ Ἀλεξάνδρου [Ὣς εἰπὼν, πυλέων] ἐξέσσυτο φαίδιμος Ἕκτωρ· καὶ. Τῷ δ' ἅμ' Ἀλέξανδρος κί' ἀδελφεός. Οὐ λέληθέ με ἡ ὑπαρκτικὴ τῶν ῥημάτων σύνταξις, παραδεχομένη μετὰ τοῦ ἀμφότεροι τὰ συνόντα ὀνόματα, χωρὶς ἄρθρου· ἀμφότεροι φίλοι εἰσίν· ἀμφότεροι ἄνθρωποί εἰσιν· ἀμφότεροι γραμματικοὶ ὀνομάζονται. καθὸ ὑπέκειτο μέν τις † δυὰς ἡ τοῦ ἀμφότεροι· τὸ δ' ἐπιγεγενημένον ταύτῃ, ἡ ὑπαρκτικὴ σύνταξις ἀφηγεῖται· ὡς ἐν τοῖς ἑξῆς τὸ τοιοῦτον ἀκριβέστερον † φανήσεται.

περίτ- εις

ιζ΄, Ὁμοίως

ιζ', Ὁμοίως ὅτι καὶ αἱ κλητικαὶ ἀνέφικτοι εἰς ἄρθρων παράθεσιν.

Μετὰ μέντοι τὰς εἰρημένας συντάξεις τῶν ἄρθρων, ἀκολούθως σκεπτέον, εἰ καὶ αἱ κλητικαὶ τῶν ὀνομάτων, κατὰ τὴν κοινὴν δόξαν, δεκτικαί εἰσιν ἄρθρων. διαστολὴν γὰρ ἐξ αὐτῶν φησι γίνεσθαι τῶν συνεμπιπτουσῶν εὐθειῶν τε καὶ κλητικῆς· ὁ Θέων, ὦ Θέων· ὁ Ἑλικών, ὦ Ἑλικών. εἰ γοῦν καὶ αἱ φωναὶ ἐναλλαγεῖσαι τῶν ὀνομάτων κατά τι ἐθνικὸν ἔθος, πάλιν ἡ παράθεσις τοῦ ἄρθρου τὸ σχῆμα διελέγξει. κλητικῆς μὲν γάρ ἐστι τὸ Θυέστα· ἀλλ' ὁπηνίκα προσλαμβάνει τὸ ὁ ἄρθρον, τὸ τηνικαῦτα συντάξεως τῆς κατ' εὐθεῖαν τυγχάνει· Αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι. καὶ εἰ εὐθείας εἴη, πάλιν ἡ παράθεσις τοῦ ἄρθρου κλητικὴν σύνταξιν ἀποτελεῖ· Ὦ φίλτατ' Αἴας· καὶ ἔτι, Ὦ φίλος, οὔ σε γ' ἔολπα. διστάζεται δὲ παρὰ Μενάνδρῳ, ὦ Λάχης Λάχης, πότερον ἐν σχήματί ἐστι τῷ προκειμένῳ, ἢ δεόντως μετὰ τοῦ ἄρθρου καὶ τὴν πτῶσιν ἔχει τῆς κλητικῆς. καὶ ἔστιν εἰς τὸ τοιοῦτο πάμπολλα παραθέσθαι.

[Margin: φασὶ διῄρηνται / συμπιπτουσῶν κλητικῶν]

[Margin: ἴσον οὖν εἰς τὸ π.]

ιη', † Ὅτι τὸ ὦ οὐκ ἄρθρον ἐστίν.

Ὁ μὲν οὖν Τρύφων ἐκ τῶν παρεπομένων † τῇ φωνῇ ὦ, ἥ ἐστι κατὰ πολὺ ἀφεστῶσα τῆς ἀκολουθίας τῶν ἄρθρων, περιγράφει τὸ μόριον τῆς τούτων ἰδέας. ἀλλὰ καὶ ἔτι διὰ τῆς ἐννοίας, ἐν οἷς τὰ

17, Vocatiuos item non pati societatem articuli.

Post demonstratas iã constructiones articuli, consequẽs est vt videamus, an vocatiui nominum, vt communis est opinio, articulos admittant. articulis enim aiunt istiusmodi distingui vocatiuos a nominatiuis; qui in eãdem vocem incurrunt: vt ὁ Θέων, ὦ Θέων: ὁ Ἑλικών, ὦ Ἑλικών. Itaque etsi vox nominis immutetur ex instituto gentis alicuius, tamen articulus adiũctus figuram refutabit: nã Θυέστα, vocatiui casus est: sed cum assumit ὁ articulũ, tum obtinet nominatiui cõstructionem; Αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι. [Il. β.] Et vice versa, si recti casus sit, articulus adiunctus efficit vocatiui constructionẽ; ὦ φίλτατ' Αἴας: [Verba Teucri apud Sophoclem in Aiace flag.] præterea ὦ φίλος, οὔ σε ἔολπα κακὸν ἔσ' ἀνδρῶν ἔσεσθαι. [Od. γ.] Illud tamẽ, quod est apud Menandrum, in dubium vocatur, ὦ Λάχης Λάχης, vtrum figuram superiorem retineat, an vna cum articulo, ratione id efflagitãte, etiam casum vocatiui habeat. sed cõtra istam opinionem multa possunt afferri.

18, Ὦ vocatiuis præpositum, non esse articulum.

Trypho itaque, cum propter ea quæ comitantur vocem ὦ, quæ admodum dissimilis est articulis, tollit istam particulam ex ordine articulorum; tum propter vim & sensum eius; siquidem

ad secundam personam feratur, cũ ceteri articuli ad tertiam referantur. Hæc Trypho: quæ tamen, communi opinione deceptus, aliâs refutat: & contra illud argumentum quod est a voce ductum, ait, nõ esse conseruandum ordinem in articulis: siquidem alia quoque multa non conseruant casus & genera sibi adhærentia: neque rationi consentaneum existimat, vnam articulorũ vocem deflexisse, ne in vna dictione pars orationis discerperetur. Ad argumẽtum autem, quod a vi vocis & sensu ductũ fuerat, quod videlicet ὦ in tertia persona non versatur, sic occurrit: negat vocatiuum esse nomẽ, propterea quod fertur ad secundam personam; cum ceteri casus construãtur cũ tertia. Quod si absurdum est vocatiuum pro nomine non accipi, absurdum quoque fuerit articulum vocatiui negare esse articulum, quoniam cum secunda construitur persona.

19, *Articulos seruare consecutionem in casibus.*

Sed contra istam quoque Tryphonis argumentationẽ dicendum est, primum illud non esse vèrum; i. articulos non conseruare ordinem. retinent enim conuenientem ordinem; illo tantũ excepto, quod rectus casus patitur defectum. Quod autem oporteat eos cõseruare ordinem, inde patet, quod cum nominibus, & participiis, pronominibus etiam, in quibus omnibus ordo conseruatur, coniungi solent. itaq;

μὲν ἄλλα ἄρθρα τὴν ἐν [τοῖς] τρίτοις προσώποις σύνταξιν ἀνεδέχετο, τὸ δὲ ὦ, τὴν ἐν δευτέροις. ἅπερ πάλιν ἀνασκευάζει, εἰς τὸ κοινὸν τῆς δόξης παραγενόμενος· καὶ πρὸς μὲν τὸν ἀπὸ τῆς φωνῆς λόγον φησί, μὴ δεῖν τὰ ἄρθρα ἐν ἀκολουθίᾳ εἶναι, καθότι καὶ ἄλλα πολλὰ ἀνακόλουθα κατὰ πτώσεις καὶ τὰ συνόντα γένη· συνάγοντα οὐκ εὔλογόν τε ἡγεῖται, † μιᾶς φωνῆς ἡγεῖσθαι κεκλίσθαι τὸ ἄρθρον· ἵνα μὴ ἐν μιᾷ ρ. λέξει μέρος λόγου καταχωρίζηται. πρὸς δὲ τὸν ἀπὸ τῆς ἐννοίας λόγον, ὡς οὐκ ἐν τρίτῳ προσώπῳ καταγίνεται τὸ ὦ, ἐκεῖνό φησιν, ὡς οὐδὲ ἡ κλητικὴ ὄνομα εἴη· ἐπείπερ πρὸς δεύτερον πρόσωπον [τὴν σύνταξιν ποιεῖται,] τῶν ἄλλων πτώσεων τὴν ἐν τρίτοις προσώποις σύνταξιν ποιουμένων· καί, εἰ ἀπεμφαῖνον τὴν κλητικὴν ὄνομα μὴ παραδέχεσθαι, ἀπεμφαῖνον ἄρα καὶ τὸ τῆς κλητικῆς ἄρθρον μὴ φάναι ἄρθρον, ὅτι σύνταξιν τὴν πρὸς τὸ δεύτερον πρόσωπον ποιεῖται.

ιθʹ, † Ὅτι ἀκόλουθα τὰ ἄρθρα κατὰ πτῶσιν.

Ἀλλ᾽ ἔστι καὶ πρὸς ταῦτα φάναι, ὡς τὸ πρῶτον οὐκ ἀληθεύει, τὸ, μὴ ἐν ἀκολουθίᾳ εἶναι τὰ ἄρθρα. ἐν γὰρ τῇ δεούσῃ ἀκολουθίᾳ καταγίνεται· αὐτὸ μόνον, τῆς εὐθείας ἐμπαθοῦς γινομένης. ἀλλ᾽ ὅτι ὀφείλει καὶ ἐν ἀκολουθίᾳ εἶναι, δῆλον ἐκ τοῦ ἐναρτῆσθαι αὐτὰ τοῖς κατὰ ἀκολουθίαν πτωτικοῖς· καὶ ἕνεκα τοῦ-

του

του συνελεύσεται τῇ τούτων ἀκολούθῳ κλίσει. ἐπεὶ πῶς ἂν ἄρθρον γένοιτο; ἀλλ' οὐδ' ἐκεῖνό ἐστιν ἀναγκαστικὸν τοῦ πάντως ἐν θέμασιν αὐτὸ καταγίνεσθαι, ἵνα μὴ διὰ μιᾶς λέξεως ἀκολούθου, μέρος λόγου καταχωρίζηται, ὅτε μὴ ἐν πλήθει λέξεων τὰ μέρη τοῦ λόγου διακρίνεται, ἐν δὲ ἐννοίᾳ ἰδίᾳ. ἀλλ' εἰ καὶ τὸ τοιοῦτόν τις μὴ δῴη [τὸ ἐν ἀκολουθίᾳ εἶναι) τὰ ἄρθρα] καθὸ καὶ μέρη λόγου ὄντα ἀνακόλουθα, οὐ μὴν διαφθείροντα τὸν μερισμὸν τῆς ἐννοίας, ὑπὸ τὴν αὐτὴν ἰδέαν τοῦ μερισμοῦ [παραλαμβάνεται) εἴγε τὸ ἐγὼ τοῦ νῶϊ διέστηκε κατὰ πολύ, καὶ ἔτι τὸ ἡμεῖς· καὶ μενούσης τῆς ἐννοίας, μένει ἡ ταυτότης τοῦ μερισμοῦ· ἐκεῖνό γε ἀληθεύσει,] ὡς τὰ ἐκτὸς γινόμενα τῆς ἰδίας ἐννοίας, κἂν πάνυ τῆς δεούσης ἀκολουθίας ἔχηται), κατὰ φωνὴν, ὡς ἔχει τὰ τῆς ὁμοφωνίας, οὐκ εἰς τὸν αὐτὸν μερισμὸν καταλήψεται). Πῶς οὖν οὐ μᾶλλον παραγραφήσεται, τοῦ εἶναι ἄρθρον τὸ ὦ, ἀπονεῦσαν καὶ τὴν ἀκολουθίαν τῶν φωνῶν κατὰ πάντα τρόπον, καὶ ἔτι τὴν ἔννοιαν τοῦ ἄρθρου; Ὑποτεμνέσθω δὲ ὁ λόγος εἰς τὸ τοιοῦτον, ὡς οὔτε παρὰ τὸ ἀκόλουθον τῶν φωνῶν, οὔτε μὴν παρὰ τὸ ἀνακόλουθον τὰ τοῦ λόγου παραστήσεται μέρη· ὡς δὲ πρόκειται, ἐκ τῆς παρεπομένης ἰδιότητος. Φησὶ γοῦν ὁ Τρύφων, καθότι ἡ κλητικὴ, κἂν δεύτερον πρόσωπον ᾖ, καὶ τὸ ὦ ἄρθρον

(Margin: παραλαμβάνηται διὰ τὸ διακεκρίσθαι — παραγραφήσεται — παρὰ — παρὰ καταστήσει)

sequũtur eorum ordinatam declinationem: alioqui articuli non essent. Præterea, ne illud quidem ratio cogit, articulos hærere suppositis, ne in vnica dictione ordinata pars orationis discerpatur. Partes enim orationis nõ dictionum numero, sed proprietate sensus distinguũtur. Verum fac aliquem hoc non concedere, articulos videlicet non cõseruare ordinem, quatenus partes etiam nonnullæ orationis non conseruant, & tamen retinent proprietatem sensus; eamque sequuntur continenter: siquidem multum interest inter ἐγὼ, & νῶϊ, atque adeo ἡμεῖς: & tamen manente sensu, manet etiam eadem proprietas. Sed fac (inquam) aliquẽ hoc non concedere: illud tamen minime dubium fuerit, eas orationis partes, quæ a proprio sensu desciscunt, etiam si legitimum ordinem conseruent, quod ad vocem attinet, vt sunt quæ voce similes sunt; non continuo eundem sensum esse occupaturas. Ergo particula hæc ὦ multo magis ex numero articulorũ explodetur; quandoquidem & vocum ordinem omnino, & sensum articuli declinat. Verũ contrahatur in huiusmodi compendium oratio: Partes orationis non constituuntur vel vocum consecutione, vel vitio consecutioni contrario; sed quẽadmodum superius positũ est, proprietate quæ eas sequitur. At Trypho ait, articulum ὦ comitari vocatiuũ, cui adiunctus est, quatenus hic.

casus ad secundam refertur personam. Atqui nomen retinet suam proprietatem in quolibet casu: siquidem non accidit nomini illud propriū, vt personis nitatur; quandoquidem etiam in prima & secūda persona assumitur; *sum Vlysses*: & in secunda, *Vlysses es*. habet enim inhærentem propriam qualitatem. at articulus appositus, vnam tantum habet proprietatē, tertiarum personarū *reciprocationem: præsentem autem personā, habet maxime cōtrariam: quandoquidē illud ἐμός ἐστι, *meus est*, etsi articulū assumit in tertia persona, tamen nō assumit item in illo, ἐμὸς εἶ, *meus es*; quia cōstruitur cum secunda persona. Ergo si eadem pars orationis, propter diuersam personam, & assumit, & non assumit articulum, multo magis ea quæ etiam voce diuersa est, non patietur articulū sibi apponi; præsertim cum vox ipsa indicauerit, in ceterorum casuū consecutione articulos cum vocatiuo nullā habere posse societatē. Cum igitur vocatiuus requirat secundam personam, superuacaneum est quærere, an ὦ sit articulus. Sed dixerit quispiam, cur igitur ab omnibus inter articulos hæc vox numerata fuit? Equidem dixerim, imitatione ceterorum casuum; quoniam voces illis adhærentes, articuli vocabātur; quemadmodum syllabæ etiā eæ quæ vnicam habent literam: erat aūt ὦ propria vox vocatiui.

*relatione

συνόδου δύο ὄν ἐστι τῇ συνηρτημένῃ κλητικῇ. ἀλλὰ τὸ μὲν ὄνομα διασώζει τὸ ἴδιον κατὰ πᾶσαν πτῶσιν· εἴ γε οὐκ ἴδιον αὐτῷ παρέπεται τὸ κατὰ πρόσωπα ἐγγίνεσθαι· ὅπου γε καὶ ἐν πρώτῳ καὶ δευτέρῳ παραλαμβάνεται, εἰμὶ Ὀδυσσεύς· καὶ ἐπὶ δευτέρου προσώπου, Ὀδυσσεὺς εἶ. συνοῦσαν γὰρ ἔχει τὴν ἰδίαν ποιότητα. ἥ γε μὴν τοῦ ἄρθρου παράθεσις, ἓν ἰδίωμα ἔχει, τὸ τῶν τρίτων προσώπων ἀναπόλησιν· ἐναντιώτατον δὲ ἔχει τὸ ὑπ' ὄψιν παραλαμβανόμενον πρόσωπον· ὅπου γε καὶ τὸ, ἐμός ἐστι, προσλαμβάνον τὸ ἄρθρον κατὰ τὸ τρίτον πρόσωπον, οὐκέτι προσλαμβάνει ἐν τῷ, ἐμὸς εἶ, διὰ τὴν πρὸς τὸ δεύτερον πρόσωπον σύνταξιν. Εἰ γὰρ οὖν ταὐτὸ μόριον παρὰ τὸ ἀδιάφορον πρόσωπον καὶ ἄρθρον προσλαμβάνει, καὶ οὐ προσλαμβάνει, πῶς οὐ μᾶλλον καὶ τὸ τῇ φωνῇ παραλλάξαι ἐκστήσεται τῆς τοῦ ἄρθρου παραθέσεως· μάλιστά γε τῆς φωνῆς ἐνδειξαμένης διὰ τῆς παμπόλου ἀκολουθίας τὸ ἀκοινώνητον τῶν ἄρθρων. * ζητούσης ἄρα τῆς κλητικῆς δεύτερον πρόσωπον, περισσὸν ζητεῖν εἰ τὸ ὦ ἄρθρον ἐστι. Πῶς οὖν καὶ ἐλέχθη πρὸς πάντων; φαίην ἂν συνεκδρομῇ τῶν ἄλλων πτώσεων· ἐπεὶ τὰ ταύταις συνιδιάσαντα ἄρθρα ἐκαλεῖτο, ᾧ λόγῳ συλλαβαὶ καὶ αἱ μονογράμματοι. ἦν δὲ ἴδιον κλητικῆς τὸ ὦ.

ἐναντιότητα ἐπ' ὄψει

διάφορον

κ', Ὅτι

κα', Ὅτι αἱ εὐθεῖαι τῶν ἄρθρων ἀναγκαίως ἐπὶ τὸ τ ἀπέβαλον, καὶ τὸ ὦ ἐπιρρηματικόν ἐστι.

Οὐ παρέλκον δ' ἐστὶ καὶ διὰ τῆς φωνῆς παραστῆσαι τὸ ἀκόλουθον τῶν ἄλλων, ὡς πρὸς τὴν ἀντιπαράθεσιν τοῦ ὦ, τὸ μὲν τῆς εὐθείας ὁ, ἀποβαλὸν τὸ τ, ἀναγκαίως καὶ ἕτερον πάθος ἀνεδέξατο· λέγω τὴν ἀποβολὴν τοῦ ς· ἔμελλε γὰρ ταὐτὸ γίνεσθαι τῷ ὑποτακτικῷ· οὐ τὸ τῆς συντάξεως, οὐ ταὐτὰ ἀπαιτεῖ τῷ προτακτικῷ· ὡς δέδεικται ἐν τῷ περὶ ὑποτακτικῶν. καὶ ἐνθένδε ἔμελλε τὰ τοῦ λόγου ἀκαταλληλότερα φαίνεσθαι. ὅτι γὰρ καὶ τὸ ς λείπει, σαφὲς ἐκ τοῦ τὴν αὐτὴν εἶναι κατάληξιν προτακτικῶν καὶ ὑποτακτικῶν. ἔστι δὲ τὸ ὑποτακτικὸν, ὅς· καθότι καὶ ἐπὶ τοῦ οὗ, καὶ τοῦ· καὶ ᾧ, καὶ τῷ· καὶ ὄν, καὶ τόν. σαφὲς κἀκ τοῦ πληθυντικοῦ. τὰ γὰρ εἰς οι πληθυντικῶν τὰ ἑνικὰ, εἰς ος, κἂν ἐκ συνῃρημένων ᾖ· ὡς ἐπὶ τοῦ χρυσοῖ, καὶ τῶν ὁμοίων. συμφανὲς δὲ κἀκ τῶν πλαγίων πτώσεων· εἴγε ἅπασαι αἱ τοιαῦται, τῶν εἰς ος εὐθειῶν εἰσι. καὶ ἔτι ἡ Θεσσαλικὴ διαίρεσις, κατὰ τὴν ἑνικήν· λέγω ἐπὶ τῆς τοῖο, ὡς καλοῖο. θηλυκοῦ τε τοῦ η. πάλιν γὰρ τοῖς εἰς ος λήγουσι τὸ τοιοῦτον γένος παράκειται. οὐ γὰρ εἰς η ἔληξεν, εἰ μὴ συντάξεως εἴχετο τῆς τοῦ τ· καθότι καὶ τῷ νοητός, τὸ νοητὴ παράκειται.

20, *Rectos articulorum casus necessario abiecisse τ: & ὦ esse aduerbium.*

Non est autem a proposita disputatione alienum, si voce etiam probemus consecutionem ceterorum articulorum, comparantes eos cum ista voce ὦ. nam articulus recti casus, abiecta necessario litera τ, alterum quoque defectum tulit, abiecta litera ς: quam si retinuisset, erat futurus idem ac relatiuus; cuius constructio non exigit eandem rationem quam articulus qui nomini præponitur: id quod demonstrabitur in disputatione de articulis relatiuis. Hinc erat euenturum, vt oratio incongrua videretur. Perspicuū vero est ς deesse, ex eo quod eadē est terminatio articulorū qui præponuntur nominibus, ac eorum qui subiiciuntur. est autem articulus subiunctiuus ὅς, cuius genitiuus οὗ, vt τοῦ: datiuus ᾧ, vt τῷ: accusatiuus ὅν, vt τόν. Idem ex numero multitudinis potest perspici. nam numerus vnitatis nominum in οι terminantium in nominatiuo multitudinis, desinit in ος, etiam si sit ex numero contractorum; vt in nomine χρυσοῖ, & aliis id genus. Apparet idē ex obliquis eorundem nominum. siquidem omnes eiusmodi casus sunt nominatiui terminātis in ος. Facit præterea fidem Thessalorum *διαίρεσις* (i. *diductio*) in genitiuo (inquam) τοῖο: & fœmineum genus in η terminans. nam genus eiusmodi est finitimum maribus terminantibus in ος. neq; enim terminaretur η, nisi sequeretur constructionem τοῦ τ. quemadmodum nomini mari νοητός, finitimum est νοητή.

21, Dores, secutos analogiam, dicere τοὶ ἄνθρωποι, ταὶ γυναῖκες.

Eustath. 1385, 42

Ecce vero, Dorum consuetudo suppleuit τ, quod deerat, τοὶ ἄνθρωποι, ταὶ γυναῖκες: non sine ratione probabili. etenim lingua Dorum vsurpat frequenter τ: vt in ποτί, λέγοντι, φαντί, τύρυτι, τύ, & aliis quam plurimis. nam si vsus iste fluxit ex varietate, multo magis attrahet id quod deerat. Spiritus etiam idem planum facit: nam articuli non aspirantur, nisi τ abiecerint. Licet probare idem genere neutro, quod incipit a τ, & definit in ο, sicuti exigebat genus deductum a nominibus maribus in ος terminantibus. Apparet vero hunc defectum non sine ratione probabili accidisse, vt tolleret cõfusionem generis, quæ exstitisset in huiusmodi accusatiuis. Itaq; pronomina, quæ nullũ habẽt articuli appositi subsidiũ, imitata sunt in neutris articuli terminationem; ἐκεῖνο, τοῦτο: & istorum imitatione αὐτό, cum ita dicimus. nam Attici, secuti magis analogiam, & reddito articulo pronomini, in nomine ταὐτόν, suppleuerunt ν, assumptá vt produceret defectum. Licet igitur illud affirmare, quot argumentis articulorum consecutio probatur, totidem repugnare vocem ὦ. Si articulorum inclinamenta, imitantur inclinamentum nominum, numquam vero vocatiuus superat rectum casum syllabæ quantitate; cur ὦ superat quantitate

κα', Ὅτι ἀναλόγως οἱ Δωριεῖς τοὶ ἄνθρωποι, ταὶ γυναῖκες λέγουσιν.

†Ἰδοὺ καὶ τὸ λεῖπον τ ἀνεπλήρωσε τὸ Δώριον ἔθος, τοὶ ἄνθρωποι, ταὶ γυναῖκες. οὐκ ἀπιθάνως. ἡ γὰρ διάλεκτος κατάπυκνός ἐστι περὶ τὴν τοῦ τ χρῆσιν, ποτί, λέγοντι, φαντί, τύρυτι, τύ, ἄλλα μυρία. εἰ γὰρ ἐκ μεταπλάσεώς ἐστι τὰ τῆς χρήσεως, πολλῷ μᾶλλον ἐφείλκυσται τὸ λεῖπον. σαφὲς καὶ ἐκ τοῦ πνεύματος. οὐ γὰρ ἄλλως δασύνεται τὰ ἄρθρα, εἰ μὴ ἀποβάλλῃ τὸ τ. ἔστι πιστώσασθαι καὶ ἐκ τοῦ οὐδετέρου, ἀρξαμένου μὲν ἀπὸ τοῦ τ, λήξαντος δὲ εἰς ο, καθὸ ἀπῄτει ὁ παρασχηματισμὸς τῶν εἰς ος ληγόντων ἀρσενικῶν. †Καὶ φαίνεται ὅτι εἰς ἀφανισμὸν τοῦ συγκεχυμένου γένους κατὰ τὰς τοιαύτας αἰτιατικάς, τὸ πάθος οὐκ ἀπιθάνως ἐγένετο. αἱ γοῦν ἀντωνυμίαι, οὐ βοηθούμεναι τῇ τοῦ ἄρθρου παραθέσει, ἐμιμήσαντο κατὰ τὸ οὐδέτερον τὸ λῆγον τοῦ ἄρθρου, ἐκεῖνο, τοῦτο· καὶ κατὰ συνεκδρομὴν τούτων, ὅτε φαμὲν αὐτό. ἀναλογώτερον οὖν ὁ Ἀττικός, ἀποδοὺς τὸ ἄρθρον τῇ ἀντωνυμίᾳ, ἀπεπλήρου τὸ εἰς παρολκὴν πάθους παραλαμβανόμενον ἐν τῷ ταὐτό. Ἔστιν οὖν ἐκεῖνο φάναι, ὅτι δι' ὅσων συνάγεται λόγων ἡ ἀκολουθία τῶν ἄρθρων, διὰ τοσούτων ἀντιστατεῖ ἡ τοῦ ὦ φωνή. εἰ αἱ ἐγκλίσεις τῶν ἄρθρων μιμοῦνται τὴν ἐν τοῖς ὀνόμασι κλίσιν, κλητικὴ δὲ οὐδέποτε πλείονι χρόνῳ χρῆται εὐθείας, πῶς τὸ ὦ πλέον

ἀνεπλήρου — παραλαμβανόμενον ἐν τῷ ταὐτόν.

πλεῖόν ἐστι τοῦ ο. τί γὰρ μᾶλλον οὐκ εἰς ο ἔληξεν· ὡς πρὸς ἀκολουθίαν γενικῆς, τῆς τοῦ· καὶ αἰτιατικῆς, τῆς τόν; καὶ ἐν θηλυκοῖς δὲ, διὰ τί οὐχ ὁμοφωνεῖ ἡ εὐθεῖα τῇ κλητικῇ; καὶ ἔτι ἐν οὐδετέροις, πῶς οὐ κατὰ τὴν πληθυντικὴν προφορὰν αἱ εὐθεῖαι ταῖς κλητικαῖς ὁμοφωνοῦσιν; ὅπερ ἐστὶν ἐπὶ παντὸς πτωτικοῦ παραδέξασθαι, τοῦ συνέχοντος κλητικήν. πῶς δασυνομένων τῶν δίχα τοῦ τ ἐκφερομένων ἄρθρων, αὐτὸ ψιλοῦται; πῶς δὲ οὐχ ὁμοτονεῖ ταῖς εὐθείαις; οὐ γὰρ ἀνέφικτον τὸ ω εἰς ὀξεῖαν τάσιν, καθότι ἔνιαι τῶν συλλαβῶν. τί δὲ, εἰ περισπᾶται, οὐκ ἐνεκλίθη κατὰ τὰς Αἰολικὰς ἀναγνώσεις τοῦ Ἀριστάρχου· καθὸ καὶ τὰ ἄλλα τῶν περισπωμένων ἄρθρων; ἢ ἐν ὑπονοίᾳ καὶ αὐτὸς οὐκ εἶχε τὸ μόριον. διὰ τί οὐκ ἀπὸ τοῦ τ ἤρξατο, ὡς τὰ ἄλλα τῶν προτακτικῶν; οὐ γὰρ ἀφορμὴ τῆς ἀποβολῆς τοῦ τ, διότι ὑποτακτικὸν οὐκ ἔχει. ἢ, καθότι οὐδὲ προτακτικὸν ἄρθρον ἐστι, πρὸς τὴν συνέμπτωσιν τῶν γενῶν, φησὶ Τρύφων, μηδὲ τὸ τῶν ἄρθρον χρὴ παραδέχεσθαι, ὅτι τριγενές. εἰ δὲ τὸ τῶν ἄρθρον, καὶ τὸ ὦ ἄρθρον, τὴν αὐτὴν σύμπτωσιν παραδεξάμενον. ληρῶδες δὲ τὸ τοιοῦτον. πάνυ γὰρ ἄρθρον τὸ τῶν, διὰ τὴν συνέμπτωσιν· εἴγε συναπήχθη τῷ

articulũ nominatiui ὁ? & cur non potius ε litera terminatur; quemadmodum in consecutione genitiui τοῦ, & datiui τῷ, & accusatiui τόν? In fœmineis etiam generibus; cur nominatiuus non habet eandem vocem, ac vocatiuus? atque etiam in generibus neutris, cur in plurali numero nominatiui non conueniunt voce cum vocatiuis: id quod est concedẽdum in qualibet orationis parte, quę casus habet, & vocatiuum continet? Præterea cur articuli, q̃ proferuntur sine τ, aspirantur; ipsum ὦ attenuatur? & cur nõ habet eũdem tonum, quem nominatiui? neq; enim acuto tono interdictum est particulæ ὦ, quemadmodum nõnullis syllabis. Et cur, si circũflexũ recipit, non inclinatur; sicuti legit Aristarchus secũdum Æoles: quẽadmodum faciunt alii quoque articuli, qui circumflectũtur. An ipse quoq; de particula hac non ambigebat? Præterea quamobrem nõ exorsa est a τ, quẽadmodum alii articuli? nam quod τ abiecerit, causa illa nõ est, quia nõ habet articulum subiunctiuum; vel quia præpositiuus articulus non est. Trypho ait, ne articulũ quidem τῶν in numerum articulorum admittendũ esse, propter concursum qui fit in ea voce trium generũ, ad vitandum generũ concursum. Atqui τῶν articulus est: ergo ὦ etiam articulus est, qui eũdem generum concursum recepit. Sed ista ratio nugatoria est. omnino enim articulus est τῶν, propter generum concursum: siquidem secutus est nomen

quo cum coniunctus est: & imitatus illud est, τῶν φίλων, τῶν μουσῶν, τῶν καλῶν: ac propemodum quilibet cõcursus generis, est imago quædam concursus nominũ in generibus, etiamsi figurate fiat; quemadmodum in illo, μὰ τὼ θεώ: quod est illius simile, τὼ καλυψαμένω. (Hesiod.) Eoq; magis confirmatur eos esse articulos. Hoc si verũ est, exploditur omnino ὦ: quippe qđ nullo modo nominum concursum susceperit. Præterea, quæ cum diuerso numero ac genere cõstruũtur, articuli numquam sunt, sed orationis partes indeclinabiles; vt sunt coniunctiones, aduerbia, & præpositiones. Patet igitur, in quo neq; coniunctio est, neque præpositio; in eo esse aduerbium vocandi indeclinabile. At cur construitur cum nomine? Quia est vox vocandi; sicuti iurandi aduerbia cum accusandi casu; νὴ inquam, & μά: quæ non sunt omnino articuli. Horum autem aduerbiorum cõstructio incertam & confusam cõstructionem particulæ ὦ assequitur: nam cum quolibet numero ac genere construuntur. Atq; etiam demonstrabimus, coniunctiones coniungi cum diuersis casibus; ἕνεκεν Ἀπολλωνίου: ἕνεκεν Διονυσίου: εἵνεκ' ἐμῆς ἔριδος, & (Il. γ.) Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς. Et tamẽ hæc non est præcipua conditio casus; sed illa, quod admittit coniunctionem ἕνεκα. Ergo partes orationis non desciscent a proprio sensu, propter cõstructiones *p̃cipuas. (*quæ patiuntur aliquam exceptionem.)

προσὸς ὃ ἤρτηται. μέμνηται γὰρ τῶν φίλων, μουσῶν, καλῶν. καὶ σχεδὸν πᾶσα συνέμπλωσις *γενῶν, μίμημά ἐστιν *ὀνοματικῆς συμπλώσεως κατὰ γένη· καὶ ἐν σχήματι καταγένηται, ὡς ἐν τῷ, μὰ τὼ θεώ. ὅμοιον γάρ ἐστι τὼ καλυψαμένω. καὶ τοσούτῳ μᾶλλον ἐπιτέταται τὸ, ἄρθρα εἶναι. καὶ εἰ τὸ τοιοῦτον ἀληθὲς, κατὰ πολὺ διώκεται τὸ ὦ, κατὰ μηδένα τρόπον συνέμπλωσιν ὀνοματικὴν ἀναδεδεγμένον. τὰ μετὰ διαφόρου ἀριθμοῦ καὶ διαφόρου γένους συμφερόμενα, ἄρθρα μὲν οὐδέποτ' ἐστὶν, ἄκλιτα δὲ μόρια, ὑποτ. σύνδεσμοι, ἐπιρρήματα, καὶ προθέσεις. καὶ σαφὲς ὅτι ἐν ᾧ οὐ σύνδεσμος, οὐ πρόθεσις, ἐν τούτῳ ἐπίρρημα κλητικὸν ἄκλιτον. Ἀλλὰ διὰ τί συμφέρεται ὀνόματι; ὅτι κλητικὸν ἐπίφθεγμα, ὡς τὰ ὀμοτικά, λέγω δὲ νὴ [ἢ] μὰ, τῇ αἰτιατικῇ πτώσει· καὶ οὐ πάντως ἄρθρα ὤν· καὶ ἡ σύνταξις ἐπὶ τὰ συγκεχυμένα τοῦ ὦ συντείνει. παντὶ γὰρ ἀριθμῷ συμφέρεται, παντὶ γένει. δείξομέν τε ὡς καὶ σύνδεσμοι ἐπὶ πτώσεις φέρονται διαφόρους· ἕνεκεν Ἀπολλωνίου· ἕνεκεν Διονυσίου· Εἵνεκ' ἐμῆς ἔριδος, καὶ Ἀλεξάνδρου [ἕνεκ' ἀρχῆς.] καὶ οὐ τοῦτο δὲ ἐξαίρετον τῆς πτώσεως, ἀλλ' ὅτι ἐπιδέξεται τὸν ἕνεκα σύνδεσμον, οὐκ ἄρα παρὰ τὰς ἐξαιρέτους συντάξεις ἀποστήσεται τὰ μόρια τῆς ἐννοίας.

(ἴσ. μεμίμηται τῶν φίλων, τῶν μουσῶν, τῶν κ. — *γένους — *ὀνοματικῆς)

(ὀνόματα οὐ προσ-δέχεται) κβʹ. Ὁμοίως ὅτι τὰ πευστικὰ τῶν ὀνομάτων οὐ προσλαμβάνει ἄρθρον.

Ὁμοίως δὲ καὶ τὰ πευστικὰ ὀνόματα ἀπρόσδεκτά ἐστι τῆς τῶν ἄρθρων παραθέσεως· ἐπεὶ ἃ μὲν, ἐμφανίζει πρόσωπον προδεδηλωμένον· ἃ δὲ, ἐν ἀγνοίᾳ καθέστηκε προσώπου· καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἐδείχθη.

κγʹ. [Ὅτι ἀναγκαίως ἡ δασεῖα πρὸ τοῦ π ἐπὶ τῶν τοιούτων ἀνεχώρησεν· καὶ] ὅτι ἐν τῷ ὁποῖος τὸ ὁ οὐκ ἄρθρον ἐστίν.

(ὁ ἐπ. καὶ τ' ὅσος καὶ ὁπόσος, τὸ ὁ οὐκ ἄρθρον ἐστίν.) Οὐχὶ οὖν οἰήσεταί τις ἐν τῷ ὁποῖος ἄρθρον εἶναι τὸ ὁ· ἔκ τε τῆς φωνῆς, καθὸ δασύνεται, οὐ δυναμένου τοῦ ο δασύνεσθαι πρὸ τοῦ π· καὶ καθότι ἐπί τι ἀναφέρεται ἡ σύνταξις πρόσωπον αὐτοῦ, ἐν τῷ, ὁποῖός ἐστι Θέων, τοιοῦτός ἐστι καὶ ὁ Τρύφων. Ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτον φάναι, ὅτι οὐ τῷ ποῖος τὸ ὁ προσῆλθεν, ἀλλ' ἔστιν ἁπλοῦν ἓν μέρος λόγου τὸ ὁποῖος, σημαῖνον, οὐ τὴν ἐν τοῖς ἄρθροις ἀναφοράν, ὡς φαμὲν, ὁ ἄνθρωπος παρεγένετο· ὁ ἵππος ἔδραμεν. ἐπί τινι γὰρ ἐγνωσμένῳ κατὰ τὴν ἰδίαν ποιότητα τὸ τοιοῦτον παραλαμβάνεται. ἥγε μὴν διὰ τοῦ ὁποῖος ἀναπόλησις, ὁμοιωματικὴν ἀνταπόδοσιν ζητεῖ, καθάπερ ἐπὶ τοῦ οἷος. Ταὐτὸ παρακολουθεῖ κἀπὶ τοῦ ὅσος καὶ ἡλίκος. οὐ γὰρ δήπου κἀπὶ τούτων ἄρθρων ἔννοιά τίς ἐστιν.

(δή γε κἀπὶ)

22. Nomina interrogatiua non admittere articulum.

Item nomina interrogatiua non admittunt articulorum appositioné: quoniam articuli indicant personá ante cognitam; hęc vero nomina, personæ ignorationem præ se ferunt: queádmodum in superioribus demonstratum est.

23. In ὁποῖος, ὅσος, & ὁπόσος, ὁ non esse articulum.

Nemo ergo existimauerit, ὁ in nomine ὁποῖος esse articulum; tum propter vocem; aspiratur enim; & tamen ο ante π non potest aspirari: tum etiam quatenus eius cóstructio refertur ad aliquá personam; vt in isto exemplo; ὁποῖος ἐστι Θέων, τοιοῦτός ἐστι καὶ ὁ Τρύφων. Quamquam hoc potest refutari: quoniam ὁ non accessit ad ποῖος, sed est simplex orationis pars nomen ὁποῖος, significans non personæ relationem, quæ est peculiaris articulis; vt in illo, ὁ ἄνθρωπος παρεγένετο, *homo accessit*: ὁ ἵππος ἔδραμεν, *equus cucurrit*. etenim articulus in istiusmodi exemplis assumitur de re aliqua ante cognita propter qualitatem sibi inhęrentem. at *reciprocatio in nomine ὁποῖος, exigit redditionem similitudinis, quemadmodum in οἷος. Idem accidit nominibus ὅσος & ἡλίκος. nullus enim in istiusmodi nominibus articuli intellectus est. relatio

H 2

Ergo quæ referuntur ad nomina quæ ab ο & τ incipiunt, sunt rursus eiusmodi. dicimus enim, οἷός ἐστι Τρύφων, τοιοῦτός ἐστι καὶ Θέων, *qualis est Trypho, talis est & Theo*. Idem dicimus etiam in nominibus ὅσος, & ὁπόσος, & aliis id genus. Quin etiam genera, quæ his accidunt, casus etiam, & numeri, aperte indicant, non esse articulum in istiusmodi nominibus. articuli enim inclinãtur cum nominibus, pronominibus, & participiis. cur igitur dicimus ὁποίου, ὁποίῳ, & ὁποῖον, sine articulo? Præterea genere mutantur ὁ ἵππος, & ἡ ἵππος: cur igitur dicimus ὁποῖος, & ὁποία? nam in nominibus interdum genus promiscuũ est: at non ita in articulis. dicimus etiam οἱ ἵπποι, & τοὺς ἵππους, numerum multitudinis articulo tribuentes, sicuti facimus nomini: cur igitur dicimus ὁπόσοι, & ὁπόσους? Præterea ne cõpositum quidem quis existimauerit articulũ. nam articuli nõ componuntur: & si componerentur, tamen cũ istis nominibus componi nullo modo possunt: siquidem ante demonstrauimus, interrogationem repugnare articulorum sensui.
Idẽ probari potest per ipsam quoq; vocem. nam nomina quę in penultima vel acuuntur, vel circumflectuntur, si quam admittãt compositionem, acuuntur in antepenultima; κοῦρος, ἄκουρος, ἐπίκουρος: δόλος, ἄδολος: πόνος, ἄπονος: πλησίος, παραπλήσιος. cur igitur dicimus ὁποῖος & ὁπόσος? Atq; etiam per genus idem probatur; siquidẽ nomina com-

Ἀδιαφόρως οὖν πάλιν τὰ ἀνταποδιδόμενα τοιαῦτ' ἐστὶ τοῖς ἀπὸ τοῦ ο καὶ τ ἀρχομένοις. καὶ γὰρ οὕτω φαμέν· οἷός ἐστι Τρύφων, τοιοῦτός ἐστι καὶ Θέων. τὸ αὐτὸ κἀπὶ τοῦ ὅσος καὶ ὁπόσος, καὶ τῶν ὁμοίων. Καὶ τὰ παρεπόμενα δὲ γένη, καὶ ἔτι αἱ πτώσεις, καὶ οἱ ἀριθμοί, ἐμφανῶς ἐνδείκνυνται τό, μὴ τὰ τοιαῦτα ἄρθρα εἶναι. συγκλίνεται γὰρ τοῖς πτωτικοῖς τὰ ἄρθρα. πῶς οὖν ὁποίου, καὶ ὁποίῳ, καὶ ὁποῖον; κατὰ γένος ἀμείβεται ὁ ἵππος καὶ ἡ ἵππος. πῶς οὖν ὁποῖος καὶ ὁποία; τοῖς μὲν γὰρ ὀνόμασιν ἔσθ' ὅτε καὶ τὸ γένος ἐπικοινωνεῖ, οὐ μὴν τοῖς ἄρθροις. φαμὲν οἱ ἵπποι, καὶ τοὺς ἵππους, [συμπληθύνοντες τῷ ὀνόματι τὸ ἄρθρον] πῶς οὖν φαμὲν ὁπόσοι, ὁπόσους; Ἀλλ' οὐδ' ἐν συνθέσει τις ὑπολάβοι τὸ ἄρθρον· καθὸ τὰ ἄρθρα οὐ συντίθεται. ἀλλ' εἰ καὶ συνετίθετο, ἐπὶ τῆς τοιαύτης συνθέσεως ἀδυνατεῖ· εἴ γε ἐδείξαμεν τὰ πύσματα μαχόμενα τῇ τῶν ἄρθρων ἐννοίᾳ. Ἔστι κἀκ τῆς φωνῆς παραστήσασθαι. τά τε [γὰρ] παροξυνόμενα ἢ περισπώμενα, σύνθεσιν ἀναδεξάμενα, προπαροξύνονται· κοῦρος, ἄκουρος, ἐπίκουρος· δόλος, ἄδολος· πόνος, ἄπονος· πλησίος, παραπλήσιος. πῶς οὖν ὁποῖος φαμὲν καὶ ὁπόσος; Ἀλλὰ κἀκ τοῦ γένους· εἴ γε τὰ σύνθετα

παράδηλον

πρόδηλον ἔχει τὴν κοινότητα τῶν ὀνομάτων. ὅπερ οὐ παρέπεται τῷ ὁποῖος καὶ ὁπόσος. Ἔτι δὲ καὶ ἐπιρρήμασιν ἑνικὰ ἄρθρα προστίθεται, ἐμφανίζοντα γένος ἀρσενικόν· ποῦ, ὅπου· πῇ, ὅπῃ. ἀλλ' ὡς γελοῖον τὰ τοιαῦτα ἄρθρα φάναι, εὐήθης κἀκεῖνα παραδέξασθαι ἄρθρα.

κδ΄ Ὅτι καθαρὰ ὄντα, δασύνονται· ἔχοντα δὲ τὸ τ, ἢ π, οὔ.

Καθὼς οὖν προείρηνται, αἱ τοιαῦται φωναὶ, ἁπλαῖ λέξεις εἰσὶ, κατὰ τὰς ἀνταποδόσεις διάφορον πνεῦμα ἀπαιτοῦσαι. τὸ οἷος, ἀπὸ δασείας ἤρξατο· καὶ πάλιν τὸ τούτου σύζυγον, καὶ τὸ φωνῆεν παρῃτήσατο, καὶ τὸ πνεῦμα τὸ ἐν τῷ φωνήεντι. καὶ ἐνθένδε παρεδέξατο τὸ ψιλὸν ἀντίστοιχον τὸ τ, τοῖος. καὶ ἔτι τὸ ποῖος, ἀρξάμενον πάλιν ἀπὸ ψιλοῦ ἀντιστοίχου, ἔσχε τὸ σύζυγον ἀναγκαίως ἀπὸ φωνήεντος ἀρχόμενον ἐν τῷ πνεύματι, τῷ τοῦ οἷος.

[Margin: τοῦτο]

κε΄ Ὅτι οἱ Ἴωνες εἰς κ τὸ π τρέπουσιν.

Διὰ τοῦτο καὶ ἡ Ἰωνικὴ μετάθεσις ἐξηλλάγη [ἐπὶ τούτων] τῶν μορίων· ἐπεὶ τὰ ψιλὰ εἰς δασέα μετατιθέασιν οἱ Ἴωνες, καὶ τὰ δασέα εἰς ψιλά· † ὡς ἐπὶ τοῦ τάφος, τεθηπότες, ἐνταῦθα· καὶ ἐπὶ τῶν συναλοιφῶν, καθορᾶς πόλιν. Οὐ μὴν ἐπὶ τοῦ ποῖος, καὶ τῶν ὁμοίων· εἴγε κοῖος φασὶ καὶ κόσος. οὐ γὰρ διὰ τοῦ φ ἐδύνατο τὰ τοιαῦτα μόρια ἐκφέρεσθαι, διὰ τὸ ἀνταποδιδόμενον φωνῆεν δασύ.

[Margin: γρ. τοῦ τ, τὸ τεθηπότες. ἴσ. ὡς ἐπὶ τοῦ πάφος ἢ τεθηπότος, ἐν ᾧ τὸ τ ἢ ἐπὶ τῶν συναλοιφῶν, καθορᾶς πόλιν. ἴσ. καθορᾶς]

posita habent cõmunionem nomine minime dubiã. hoc vero non accidit nominibus ὁποῖος & ὁπόσος. Prętereà articuli singulares præponũtur aduerbiis, qui indicãt genus masculinum; ποῦ, ὅπου: πῇ, ὅπῃ. At quẽadmodum ridiculum est articulos istos appellare; ita stultũ fuerit, illud ὁ, quod antecedit nomina ὁποῖος & ὁπόσος, in numerum articulorum admittere.

24, Nomina redditiua, si primam literam vocalem habeant, aspirari: si consonantem τ, vel π, attenuari.

Ergo voces istiusmodi ita prolatæ, simplices dictiones sunt, diuersum in redditione spiritum exigentes. οἷος, orditur a vocali: itaque aspiratur. e conuerso, redditiuum eius, & vocalem, & spiritum vocalis reiecit: itaque consonantem tenuem eiusdẽ ordinis admisit, τ videlicet, τοῖος. Item ποῖος, exorsum vice versa a tenui eiusdem ordinis, habet necessario suum redditiuum, quod incipit a vocali aspirata, οἷος.

25, Iones vertere π in κ.

Iones etiam eã ob causam mutatione literarum in huiusmodi orationis partibus, varii sunt. mutant enim tenues in aspiratas, & aspiratas in tenues; vt in illis, τάφος, & τεθηπότες, in quibus θ in τ mutant: & in synalœphis, καθορᾶς πόλιν. At non ita in nomine ποῖος, & aliis eiusmodi: siquidem κοῖος & κόσος dicunt. nam eiusmodi particulæ non poterant pronuntiari per φ, propter vocalem aspiratã, quę est in eius redditiuo.

Quin nō poterat aliam consonantem admittere, quam solam κ. demōstratum enim est superius, redditiua, etiam si tenuem consonantem exigant, tamē nullam aliam eis conuenire, quam τ, quæ adhibetur nominib. τοῖος & τόσος.

26, Scripta & compositiones Græcorum, non pati articulorum appositionem.

Præterea ne Græcorū quidem cōpositiones recipiunt articulorum appositionem: siquidem ex communi notione scriptorum, vel carminum, primam distinctionem præ se ferunt: *πρῶτον Alcæi, Phœnissæ Euripidis*. nam si poemata hæc cadant sub cognitionem, consequenter articulum assumunt; *αἱ Φοίνισσαι Euripidis continent bellum Thebanum: legi τὸ πρῶτον τοῦ Ἀλκαίου*. Hactenus de iis partibus orationis, quæ nō enunciantur sine articulo, & de iis quę articulum assumere non possunt.

27, Pronomina etiam admittere articulos.

Pars tertia. Dicendū deinceps de constructione articulorum cum pronominibus, quæ nōnulli præcipue συνάρθρους & ἀσυνάρθρους appellarunt; hoc est, *coniuncta cum articulis*, & *non coniuncta*: quoniam nomina ante memorata, non possunt vocari ἀσυνάρθρα, hoc est, *abhorrentia ab articulis*. Ac fortasse istiusmodi positio fuerit potius propterea, quod eæ partes orationis, quę articulos non assumunt, nullo modo possunt admit-

ἀλλ' οὐδ' ἄλλό τι σύμφωνον ἐδύνατο παραδέξασθαι, ἢ μόνον τὸ κ. δέδεικται γὰρ ὅτι καὶ αἱ ἀνταποδόσεις ψιλὸν ἀπαιτῇ σύμφωνον, ἀλλ' οὐδὲν ἐλλείπετο ψιλὸν ἢ τὸ τ· ὅπερ καὶ ἐτέτακτο εἰς τὸ τοῖος καὶ τόσος. ἐλλείπει, vel ἐλλείπτο, vel ἄλλο ἀπτό

κϛ', Ὅτι οὐδ' αἱ τῶν Ἑλλήνων συντάξεις *ἄρθρον προσλαβεῖν δύναιντο.

Ἀλλ' οὐδὲ αἱ τῶν Ἑλλήνων συντάξεις ἀναδέξονται τὴν τῶν ἄρθρων παράθεσιν· εἴγε ἐκ κοινῆς ἐννοίας, λέγω τῆς τῶν συνταγμάτων ἢ ποιημάτων, διάκρισιν πρώτην δηλοῦσι· πρῶτον Ἀλκαίου· Φοίνισσαι Εὐριπίδου. ἐν γνώσει γὰρ τὰ τοιαῦτα γινόμενα, ἀκολούθως τὸ ἄρθρον προσλαμβάνει· αἱ Φοίνισσαι Εὐριπίδου, περιέχουσι τὸν Θηβαικὸν πόλεμον· τὸ πρῶτον Ἀλκαίου ἀνέγνων. Καὶ τοσαῦτα μὲν περὶ τῶν χωρὶς ἄρθρου οὐ δυναμένων ἐκφέρεσθαι, καὶ ἔτι τῶν μὴ δυναμένων ἄρθρον προσλαβεῖν. ἀναδέξοιντ) * παράθεσιν τῶν ἄρθρων.

κζ', Ὅτι οὐδὲ αἱ ἀντωνυμίαι *τὰ προτακτικὰ ἄρθρα γινώσκουσι. ἀπαράδεκτοι ἄρθρων,

Ἑξῆς ῥητέον περὶ τῆς τῶν ἄρθρων συντάξεως πρὸς τὰς ἀντωνυμίας· ἅς τινες ἐξαιρέτως συνάρθρους καὶ ἀσυνάρθρους ἐκάλεσαν· ὡς οὐ δυναμένων τῶν προκαταλελεγμένων ὀνομάτων ἀσυνάρθρων καλεῖσθαι. καὶ ἴσως ἂν εἴη μᾶλλον ἡ τοιαύτη θέσις· καθὸ τὰ μὴ προσλαβόντα οὐδ' ὅλως ἀπαράδεκτά τμῆμα γ'

προσ- θετέον εἰσιν εἰς τὴν παράθεσιν τῶν ἄρθρων· τὰ δὲ [μὴ] προσλαμβάνοντα, οὐδέποτε χωρὶς τούτων. καὶ γὰρ τὰ ἐν στερήσει λεγόμενα, ἐν ἐπιβάλλοντος ἀταξίᾳ νοεῖται. ἡνίκα γὰρ λέγομεν ἄτεχνον αὐλητήν, ἐπιβαλλούσης τῆς τέχνης ἀταξίαν παρεισάγομεν. καὶ οὕτω φαμέν· οὗτος ἄφιλος. δέον ἴσ. θεῖ F.P. γὰρ φιλικὸν εἶναι. ἦν καὶ τοῖς ὀνόμασι συμπαρεπόμενα τὰ ἄρθρα· καὶ τοῖς ἀτακτήσασι παρείπετο ἂν τὸ καλεῖσθαι ἀσυνάρ- συνάρθροις θροις ὀνόμασιν. Εἴπερ οὖν ἀναφορᾶς μὴ οὔσης παρέπεται ἡ τοιαύτη θέσις, ἐξ ἰδίας ἐννοίας ἀναγομένου τοῦ ὀνόματος, πῶς οὐ μᾶλλον τοῖς μηδὲ ὅλως δυναμένοις μορίοις ἐν παραδοχῇ τοῦ ἄρθρου γενέσθαι, ἡ τοιαύτη θέσις παρακολουθήσει; ὥσπερ ἐκ τῶν εἰρημένων δεδείξεται. Οὐχὶ οὖν ἄπορον ἔσται, πῶς τὰ μὲν ὀνόματα μετὰ τῶν ἄρθρων ἐκφέρεται· αἱ δὲ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, ἀπεώσαντο τὴν τῶν ἄρθρων παράθεσιν; ἢ τάχα καὶ τῆς φωνῆς ἐπιζητούσης τὴν τῶν ἄρθρων σύνταξιν, ἕνεκα τοῦ συγκεχυμένου κατὰ τὴν φωνὴν γένους. ἔστιν οὖν πρὸς τὸ τοιοῦτον φάναι, ὅτι ὥσπερ αὐτὰ τὰ ὀνόματα, διά τινα παρεπόμενα, οὐδὲ ὅλως δύναται ἄρθρον παραδέξασθαι, ὡς ἐδείχθη· τὸν αὐτὸν ἄρα τρόπον καὶ τὰ μόρια τὰ ἀντὶ τούτων παραλαμβανόμενα, ὑφέξει αἰτίαν τῆς ἀποστολῆς τῶν ἄρθρων.

tere articulorum appositionem; quæ autem assumunt, numquã carere his possunt. Etenim nomina quæ priuationem habent, significant officium vel artificiũ deesse, quod adesse debuerat. nam cum dicimus tibicinem ἄτεχνον, i. *imperitum sui artificii*, demonstramus, artem quæ debuerat ei adesse, non adesse. Eodem modo dicimus, *iste* ἄφιλος, i. *caret amicis*; is scil. cui minime carendum erat amicis. Ac si nominibus articuli accidunt, accideret etiam iis, quæ ordinem desertũ significant, vt vocarẽtur nomina ἀσυνάρθρα, i. *a societate articulorũ abhorrentia*. Quare si, cum nulla sit relatio, accidit eiusmodi positio, quoniam nomen ex sui sensus vi refertur: quî fieri poterit, vt eiusmodi positio non magis accidat iis orationis partibus, quæ articulum omnino accipere nõ possunt? id quod demõstrabimus, ducta probatione ex rebus antedictis. Nonne igitur ambigi poterit, cur nomina cum articulis enuntientur; pronomina, quæ pro nominibus sumuntur, articuli societatem reiiciant; fortasse etiam ipsa voce requirente societatem istiusmodi, vt genus, quod in pronominum voce est incertũ, distinguatur? Sed isti quęstioni potest occurri, hunc in modum: quemadmodũ nomina ipsa, ꝓpter nõnulla accidẽtia, nullũ omnino articulũ possunt admittere; sicuti demonstratũ est: ita etiã particulæ, q̃ pro nominibus accipiũtur, reddent rationẽ de eo, quod recusent articulorũ societatẽ.

perſonas enim incertas pronomina diſtinguunt. itaque perſonæ, quę ex iis intelligũtur, ꝓ certis ac definitis percipiuntur: perſpicuumq; eſt, demonſtrationes quæ fiunt pronominibus, primas eſſe cognitiones perſonarũ ſubiectarum, quæ articulorum cõſtructione non egẽt. neq; enim perſonæ abſentes referũtur, ſed præſentes demonſtrantur. Certa ergo ratione reiicitur conſtructio articulorum; quæ locum obtineret prępoſterum. nam quemadmodum in elementis licet animaduertere, ea quæ aliis ſubiiciuntur, numquam anteire iis quib. ſubiiciuntur; ita in partibus orationis, quæ elementis cõparantur, eadem demonſtratur ratio. prępoſitiuum enim pronomen eſt, quod primã perſonarum poſitionem pollicetur: articulorum vero appoſitio, ſecundo loco ſumitur: ſiquidẽ articuli ſubiiciuntur pronominibus; ἐγὼ ὁ λαλήσας. in hoc enim exemplo, articulus reuocat primam poſitionem pronominis ἐγώ. Eſt autem veriſimile, aliquem illud eſſe dicturum; Si articuli nõ præponuntur demonſtratiuis ꝓnominibus, debuerãt eorum tantummodo ſocietatem vitare; at cũ iis quæ tertiæ perſonæ ſunt, & quę nullam habent demõſtrationem, nulla re impediente, copulari. Atqui ne iſta quidẽ pronomina indigent articulo. habent enim per ſe relationem: itaq; cum articulis faciũt viciſſim permutationem; quemadmodum planum faciemus.

προσώπων [γὰρ] ἀοριστουμένων διακριτικά ἐστι τὰ μόρια. διὸ καὶ τὰ ἐξ αὐτῶν πρόσωπα νοούμενα, ἐν ὁρισμῷ καταλαμβάνεται. καὶ σαφὲς ὅτι αἱ ἐξ αὐτῶν ἀποδείξεις, πρῶται ἔφοδοί εἰσι τῶν ὑποκειμένων προσώπων, οὐ δεόμεναι τῆς τῶν ἄρθρων συντάξεως. οὐ γὰρ ἀναφέρεται τὰ πρόσωπα, ὑπ᾽ ὄψιν δὲ δείκνυται. ἀναγκαίῳ ἄρα λόγῳ κεκώλυται τὰ τῆς συντάξεως, τρόπον ἔχοντα τῶν ἀντεστραμμένων. ἴσ. τόπον ὃν γὰρ τρόπον κἀπὶ τῶν στοιχείων ἐστὶν ἐπινοῆσαι τὰ ὑποτακτικὰ οὐ ποτὲ προτακτικὰ γινόμενα τῶν οἷς ὑπετάγη, τὸν αὐτὸν τρόπον στοιχείου λόγον ἐπέχοντα τὰ μέρη τοῦ λόγου, τὸ τοιοῦτον ἐπιδείκνυται. προτακτικὴ γάρ ἐστιν ἀντωνυμία, ἡ προτέραν θέσιν ἐπαγγελλομένη τῶν προσώπων. ἡ δὲ τῶν ἄρθρων παράθεσις, ἐν δευτέρᾳ τάξει παραλαμβάνεται, ὑποτασσομένων τῶν ἀντωνυμίαις· ἐγὼ ὁ λαλήσας. τὴν γὰρ προτέραν θέσιν τοῦ ἐγὼ, ἀνεπόλησε τὸ ἄρθρον. Εἰκὸς τινὰ φήσειν, εἰ περὶ τῶν δεικτικῶν μορίων τὰ ἄρθρα οὐ τίθεται, ἐχρῆν αὐτὰ μόνον ταῖς δεικτικαῖς ἀντωνυμίαις μὴ συνεῖναι· τῶν γε μὴν κατὰ τὸ τρίτον πρόσωπον, πάλιν ὑποστελλομένων τῶν δεικτικῶν, ἀκωλύτως προσαρτᾶσθαι. ἀλλ᾽ οὐδὲ αὗται δέονται τοῦ ἄρθρου. δι᾽ αὐτῶν γάρ εἰσιν ἀναφορικαί. ὥστε καὶ ἐπιδείξομεν, ἀμοιβὴν γινομένην αὐτῶν τε καὶ τῶν ἄρθρων.

κα΄, Ὅτι

κη', Ὅτι μόνη ἡ αὐτός, τὸ ἄρθρον προσέλαβεν.

Ἀλλὰ πῶς πάλιν ἡ αὐτός, τὸ ἄρθρον προσέλαβεν, εἴπερ αἱ ἀναφοραὶ οὐ προσλαμβάνουσι; καὶ πρὸς τοῦτο δὲ ἐστὶ φάναι, ὡς καὶ ἐν ἄλλοις μορίοις τὸ τοιοῦτόν ἐστιν εὑρέσθαι. εἴγε ἔγκειται ἐν τῷ Πελαμίδης, ὁ υἱός· καὶ ἀναγκαίως πρόσκειται ἐν τῷ, Πελαμίδην νόθον υἱόν. ἀλλὰ καὶ ἐν τοῖς συγκριτικοῖς ἔγκειται τὸ μᾶλλον· καὶ πολλάκις συμπαραλαμβάνεται ἡ τοῦ μᾶλλον σύνταξις· Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε. τὸν αὐτὸν δὴ τρόπον ἔγκειται μὲν ἐν τῇ αὐτός, ἡ ἀναφορά· ὁπηνίκα δὲ ἑτέρα προσγίνεται, τὸ ἐγκείμενον τῆς ἀναφορᾶς ἐν τῇ αὐτός, συμπαραλαμβάνεται διὰ τοῦ ὁ ἄρθρου, δηλοῦντος καὶ αὐτοῦ ἀναφοράν· καὶ οὕτω δὶς ἀναφέρεται· ὡς δὶς καὶ ἐπιτέταται τὸ, Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε.

Πρόφανὲς δὲ ὅτι τῇ συνηθεστέρᾳ ἀντωνυμίᾳ προσεχώρησε τὸ τῆς συντάξεως. ἥτε [γὰρ] οἷ, καὶ ἡ ἕ, καὶ ἡ μίν, καὶ αἱ σύζυγοι, οὐδὲ ῥηταί, ὅτι μὴ παρὰ ποιηταῖς. ἀλλὰ καὶ αἱ σύζυγοι ταῖς κατὰ τὸ πρῶτον καὶ δεύτερον· ὧν ἡ σύνταξις εὐπαράδεκτος. Μὴ δὲ ἐκεῖνό γε παραλελείφθω, ὡς ἐξαιρέτως ἡ Ἀττικὴ χρῆσις, † οὐ δεόντως ἐπὶ μόνης αἰτιατικῆς τὸ ἄρθρον παρελάμβανεν· ὡς ἐν τῷ, τὸν ἐμέ, τὸν σέ. αὐτίκα γοῦν

αἱ ἀναφορικαὶ ἤ. αἱ ἀναφοραί

χρ. οὐκ ἀναγκαίως.

ἀπαραδέκτως

28. *Solum pronomen αὐτός, assumere articulum.*

Sed rursus cur pronomen αὐτὸς articulum assumit, si relatiua non assumunt? Ad hoc est respondendum; hanc rationem posse reperiri etiam in aliis orationis partibus. Siquidem in hac voce, Πελαμίδης, inest nomen filii. itaque necessario additum est in illo, Πελαμίδην νόθον υἱόν. & in Il. λ. nominibus comparatiuis inest particula μᾶλλον: Ῥηΐτεροι γὰρ Il. ω. μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε. Eodē modo in pronomine αὐτὸς, inest relatio: & cum altera accesserit, relatio quæ erat insita pronomini, simul assumitur cum articulo ὁ, qui & ipse relationem indicat. atque ita pronomen habet relationem duplicē; sicuti propositum exemplum, Ῥηΐτεροι γὰρ μᾶλλον, habet duplicem intensionem. Patet autem, articuli constructionem accessisse pronomini, quod est magis in vsu. nam pronomen οἷ, & ἕ, & μίν, & alia, quæ sunt eiusdem ordinis, ne dicuntur quidem, nisi a poetis. Atque etiam ea quæ coniugata sunt pronominum primæ ac secundæ personæ; quorum constructio potest admitti facile. Illud etiam non est prętermittendum, quod *extra ordinem Atticorum vsus in solo accusatiuo, quod factum non oportuerat, articulum assumit; vt in illis, τὸν ἐμέ, τὸν σέ ac, ne longius ab-

ἐξαιρέτως, extraordinarie, eximie

eam, apud Callimachum est, τὸν δὲ Κρωτωπιάδην. nisi forte articulus repræsentat excellentiam in illo, τὸν δὲ Κρωτωπιάδην. siquidem rursus eiusmodi constructio ad articuli societatem procliuis est. Articulos autem etiam excellentiæ causa significandæ vsurpari, declaratum est a nobis antea.

29, *In pronomine possessivo ὁ ἐμὸς, articulum non esse pronominis.*

Ac fortasse quis existimauerit, pronomina, etiam quæ *ἀντωνυμίαι συνάρθροι* vocantur, id est, *pronomina coniuncta cum articulis*, & quæ in prima & secunda persona possessiue vsurpantur, admittere articulos; vt in illis, ὁ ἐμὸς, ὁ σὸς, vel ὁ ἡμέτερος. at articuli constructio, non pertinet ad pronominis personam; ad personam inquam possessoris; sed ad personam quę subauditur, rei possessæ; serui inquam, aut domus, aut alterius id genus rei: Abron tamen in libello De pronomine, negat articulos esse rerum subauditarum; & affert argumentum eiusmodi: Si articuli feruntur ad res subauditas, eandem omnino retinerent congruitatem præpositi nominibus. atqui non est idem ὁ ἐμὸς πατὴρ, atque illud, ἐμὸς ὁ πατήρ. Quod si in huiusmodi exemplis suppletus est nominis articulus, vt in illo ὁ πατήρ: cur etiā pronomen ὁ ἐμὸς, articulū assumit, vt in isto, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ: nisi pronomen sequitur articulum, atq; ita propter eiusmo-

καὶ παρὰ Καλλιμάχῳ, τὸν δὲ Κρωτωπιάδην. [χωρὶς εἰ μὴ τὸ ἄρθρον ἐξοχὴν παρείσησιν ἐν τῷ, τὸν δὲ Κρωτωπιάδην.] εἴγε πάλιν ἡ τοιαύτη σύνταξις ἐπίφορος πρὸς τὴν τοῦ ἄρθρου παράθεσιν· προείρηται δὲ ἡμῖν ὡς καὶ ἐξοχῆς ἕνεκα τὰ ἄρθρα παραλαμβάνεται). παρά-δοσιν

κβ', Ὅτι ἐν τῷ ὁ ἐμὸς, οὐκ ἔστι τὸ ἄρθρον τῆς ἀντωνυμίας.

Ἀλλὰ καὶ τὰς καλουμένας συνάρθρους ἀντωνυμίας, ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ δεκτικῶς παραλαμβανομένας, οἰήσεταί τις παραδέχεσθαι τὰ ἄρθρα, ἐν τῷ, ὁ ἐμὸς, ὁ σὸς, ἢ ὁ ἡμέτερος. ἵνα ᾖ ἡ σύνταξις οὐ τοῦ ἀντωνυμικοῦ προσώπου, λέγω τοῦ κατὰ τὸν κτήτορα· τοῦ δὲ ὑπακουομένου κατὰ τὸ κτῆμα· λέγω τὸ δοῦλος, ἢ τὸ οἶκος, ἢ τινὸς τῶν τοιούτων. κτητικῶς Ἄβρων μέντοι ἐν τῷ Περὶ ἀντωνυμίας, οὐκ εἶναί φησι τὰ ἄρθρα τῶν ὑπακουομένων· λόγῳ τοιούτῳ· εἰ γὰρ τὰ ἄρθρα ἐπὶ τὰ ὑπακουόμενα φέρεται, πάντως ἂν τὴν αὐτὴν καταλληλότητα ἐφύλαξαν ὑπερβιβασθέντα περὶ τῶν ὀνομάτων. οὐ ταὐτὸ δέ ἐστι τὸ, ὁ ἐμὸς πατὴρ, τῷ, ἐμὸς ὁ πατήρ. καὶ εἰ ἐν τοῖς τοιούτοις ἀνεπληρώθη τὸ ἄρθρον τοῦ ὀνόματος, ἐν τῷ, ὁ πατὴρ, πῶς ἔτι ὁ ἐμὸς ἄρθρον προσλαμβάνει, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ· εἰ μὴ ἡ ἀντωνυμία ἄρθρου εἴχετο; καὶ ἕνεκα τῆς τοιαύ-

τῆς συντάξεως, ἔδοξε καὶ τῇ τοιαύτῃ ἀντωνυμίᾳ ἴδιον ἄρθρον προσνέμειν, καὶ τῷ ὑπακουομένῳ κτήματι.

Ἔστι δὲ παραπέμπεσθαι τὴν τοιαύτην πιθανότητα, πρῶτον· εἰ ἑκατέρῳ μορίῳ πρόσεστιν ἄρθρον, τί οὐκ ἤρξατο ἀπὸ τοῦ, ὁ ἐμὸς, καὶ ἐπενήνεχε δὲ, ὁ πατὴρ, μετὰ τοῦ ἄρθρου; καὶ φαίνεται ὅτι ἐν ἴσῳ τὰ τοῦ λόγου ἐγίνετο. ἐπὶ μὲν γὰρ τῆς προτέρας, δύο ἦν τὰ ἄρθρα· ἐπὶ δὲ τῆς δευτέρας, ἀδύνατον ἦν δύο ἄρθρα παραλαμβάνεσθαι. δεύτερον, οὐ παρὰ τὰς μεταθέσεις τῶν ἄρθρων, καὶ τὰς ἐξ αὐτῶν γινομένας διαφορὰς τῆς φράσεως, ἀποστήσεται τοῦ μὴ συμφέρεσθαι τοῖς ὀνόμασι τὰ ἄρθρα· εἴγε διαφέρει τὸ, οἱ νῦν ἄνθρωποι, ἀγαθοί εἰσι, τοῦ, νῦν οἱ ἄνθρωποι ἀγαθοί εἰσι· καὶ οὐκ ἔστιν ὅστις τολμήσει φάναι, ὅτι οὐ τὸ οἱ, τοῦ ἄνθρωποι ἐστὶν ἄρθρον. οὐκ ἄρα παρὰ τὴν ἐξαλλαγὴν τῆς φράσεως, κατὰ τὴν μετάθεσιν, οὐχὶ τοῦ κτήματός ἐστι τὸ ἄρθρον, ἐν τῷ, ὁ ἐμὸς πατὴρ, καὶ ἐν τῷ, ἐμὸς ὁ πατήρ. τὴν δὲ τούτων διαφορὰν, κατὰ τὸ δέον ἀκριβώσομεν.

†λ', Πότε ἓν ἄρθρον παραλαμβάνεται ἐν ταῖς συντάξεσι, καὶ πότε δύο.

Τὸ μέντοι δύο ἄρθρα κατὰ μιᾶς πτώσεως φέρεσθαι, οὐκ ἔστιν ἀσύστατον. ἔστι γοῦν φάναι, ὁ πατὴρ ὁ ἐκείνου· καὶ προφανὲς ὅτι τῷ πατήρ, τὰ δύο ἄρθρα συντείνει. ἐπεὶ πῶς ἡ ἀπαρα-

ἴσ. ὅτι οὐκ D.

di constructionem placuit etiam istiusmodi pronomini articulum peculiarem attribuere, & rei possessæ, sed subauditæ. Sed refutari potest ista ratio, quamquam probabilis. primum; si vtrique orationis parti debet adesse articulus, cur oratio non cœpit ab ὁ ἐμὸς, adiunxit deinde ὁ πατὴρ cum articulo? apparet autem orationem eandem futuram fuisse. nam in priore constructione, erant duo articuli; in posteriore, nullo modo poterant duo articuli apponi. Deinde, non desinent articuli coniungi cũ nominibus propter transpositionem, & propter diuersa locutionum genera, quæ parit transpositio. Siquidem interest inter istud, οἱ νῦν ἄνθρωποι, ἀγαθοί εἰσιν, & illud, νῦν οἱ ἄνθρωποι ἀγαθοί εἰσι. neq; est qui audeat negare, articulum οἱ, esse articulum nominis ἄνθρωποι. Ergo non propter diuersam locutionẽ, quam transpositio articuli attulit, articulus non est rei possessæ, vt in isto, ὁ ἐμὸς πατὴρ, & in illo ἐμὸς ὁ πατήρ. Sed istius cõstructionis discrimen suo loco accuratius demonstrabimus.

30, *Quando vnicus articulus in constructione, & quando duo assumantur.*

Illud tamen poterit consistere, duos articulos cũ vno casu copulari. nã licet dicere, ὁ πατὴρ ὁ ἐκείνου. neq; est dubiũ quin articulus vterq; ad vocẽ πατὴρ referatur, quandoquidem quî fieri poterit vt pro-

nomē, quod articulum non recipit, hic recti articulum in genitiuo casu admittat? Neq; solū in pronominibus, sed in nominibus etiā idem spectatur: *ὁ δοῦλος ὁ τοῦ Ἀριστάρχου venit ad me*. nam in hoc exēplo & genitiuus obtin t suum articulū, & reliqui duo articuli ad vnum rectum referuntur. Ergo in illo exemplo, *ὁ πατὴρ ὁ ἐμὸς*, non cogitur alter articulus coniungi cum pronomine. At vox ista *ἐμοῦ*, quæ est bis genitiuus, obtinet partim personam possessoris in pronomine; (vnde nomen inuenit, vt vocetur pronomē; quod certæ ac definitæ personæ demonstrationem testatur) & trāsitum preterea ad secundam & tertiam; partim obtinet personam subauditæ rei possessæ, quæ in casus & in varia genera inflectitur, necnon in numeros nominibus cōgruentes. nam pronominis persona, in genitiuo tantum intellecta, in casus nō inclinatur. casus enim genitiui, possessoris intellectum obtinet. Itaque quodlibet pronomen possessiuum, cum re possessa, resoluitur in genitiuum. Ac constat, pronomina primitiua nō inclinari in casus; possessiua contra inclinari in casus, genera, & numeros. cāque ob causam duabus personis propriæ apponuntur particulæ: possessiuo pronomini, articulus; primitiuo, pronomen subiunctiuum ei

δεκτος ἀντωνυμία τῶν ἄρθρων, ἐν γενικῇ πτώσει εὐθείας ἄρθρον παραδέχεται; Ἀλλὰ καὶ ἔτι ἐπ᾽ ὀνομάτων. ὁ δοῦλος ὁ τοῦ Ἀριστάρχου, πρὸς ἐμὲ ἦλθεν. ἰδοὺ γὰρ καὶ ἡ γενικὴ τὸ ἴδιον ἐπέχει ἄρθρον· καὶ τὰ λειπόμενα δύο ἄρθρα εἰς μίαν τὴν εὐθεῖαν ἀναφέρεται. οὐκ ἄρα ἐν τῷ, ὁ πατὴρ ὁ ἐμὸς, κατηνάγκασται τὸ ἕτερον τῶν ἄρθρων ἐπὶ τὴν ἀντωνυμίαν φέρεσθαι. Ἡ οὖν ἐμοῦ, δὶς οὖσα γενικὴ, τὸ μὲν τοῦ κτήτορος ἔχει τὸ πρόσωπον ἀντωνυμικόν· (ἐξ οὗ καὶ τὴν ὀνομασίαν εἶχε, τὸ ἀντωνυμία καλεῖσθαι· ὅπερ ὁμολογεῖ τὴν δεῖξιν τοῦ ὡρισμένου προσώπου) καὶ ἔτι τὴν μετάβασιν τὴν ἐπὶ τὸ δεύτερον καὶ τρίτον· τὸ δὲ ἕτερον, τοῦ ὑπακουομένου κτήματος, ὃ κλίσιν ποιεῖται τὴν εἰς τὰς πτώσεις· μετάθεσίν τε τὴν εἰς τὰ γένη· ἀριθμούς τε τοὺς κατὰ ἀκολουθίαν τοῖς ὀνόμασι. τὸ γὰρ ἀντωνυμικὸν πρόσωπον, ἐν γενικῇ μόνον νοούμενον, ἄκλιτόν ἐστιν εἰς τὰς πτώσεις. ἡ γὰρ πτῶσις ἡ γενικὴ, κρατεῖ τὴν κτητικὴν ἔννοιαν. διὰ τοῦτο καὶ πᾶσα κτητικὴ ἀντωνυμία, μετὰ τοῦ κτήματος, εἰς γενικὴν ἀναλύεται· καὶ φαίνεται ὅτι αἱ μὲν πρωτότυποι, οὐ κλίνονται εἰς τὰς πτώσεις· αἱ δὲ κτητικαὶ, οὐκ εἰς ἄλλο τι, ἢ εἰς πτώσεις [εἰς γένη,] εἰς ἀριθμούς. καὶ ἕνεκα τούτων τοῖς δύο προσώποις ἴδια μόρια παρείσατο) τῷ μὲν ὀνοματικῷ, τὸ ἄρθρον· τῷ δὲ ἀντωνυμικῷ, ἡ συνήθης ἐπιτασσομένη ἐπιταγματικὴ

ἀντωνυ-

ἀντωνυμία, κατὰ μίαν πτῶσιν τὴν γενικήν· ἣν καί φαμεν μόνην ἐγκεῖσθαι ἐν τῇ κτητικῇ ἀντωνυμίᾳ· Ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ· Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν· Ἢ ἑὸν αὐτοῦ χρεῖος. Ἐν δὲ ἁπάσαις πτώσεσι τὸ ἄρθρον, καθὸ ἡ τοῦ κτήματος πτῶσις κλίνεται· ὁ ἐμός, τοῦ ἐμοῦ, τῷ ἐμῷ. συμμεταπίπτει τε καὶ ἐπὶ τοῦ γένους, ἡ ἐμή, τὸ ἐμόν. προφανὲς γὰρ ὅτι ἓν καὶ τὸ αὐτὸ πρόσωπον τοῦ κτήτορος· διάφορα δὲ τὰ κτήματα ἐν γένει. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ ἀριθμοῦ. ἔστι γὰρ πάλιν, εἷς μὲν ὁ κτήτωρ, πλείονα δὲ τὰ κτήματα κατὰ πᾶν γένος· οἱ ἐμοί, αἱ ἐμαί, τὰ ἐμά. κἂν ἀμειφθῇ τὰ τοῦ ἀριθμοῦ, καὶ τὰ τοῦ ἄρθρου συναμείβεται. Φέρε δὲ πλείονας ἑνὸς ἀγροῦ ἐπικρατεῖν· φαίης ἄν, ὁ ἡμέτερος ἀγρὸς σκάπτεται· τοῦ ἄρθρου ἑνουμένου πρὸς τὸ ὑποκείμενον κτῆμα. καθὼς οὖν προκεῖται, ἐν ταῖς τοιαύταις συντάξεσιν, οὐδ' οὕτως ἐπὶ τὴν δεῖξιν φέρεται τῶν ἀντωνυμιῶν τὰ συναρτώμενα ἄρθρα. Καὶ αὕτη δέ ἐστιν ἀπόδειξις τοῦ, τὸ ὦ μὴ εἶναι ἄρθρον· καθότι προστίθεται ἔσθ' ὅτε δεικτικῶς τῆς σύ. Καὶ τοσαῦτα περί τε τῶν μοναδικῶς προσλαμβανόντων τὰ ἄρθρα, καὶ ἔτι τῶν ἀπροσλήπτων.

familiare, in vno eodemque casu, in genitiuo inquam. quem etiam solum in pronomine possessiuo contineri aimus : Ἀλλ' ἐμὸν αὐτοῦ χρεῖ- Od.β.
ος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ: Αὐτῶν Od.α.
γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν: Ἢ ἑὸν Od.α.
αὐτοῦ χρεῖος. Singulis autem casib. adiacet articulus, quoniam rei possessæ casus inclinatur; ὁ ἐμός, τοῦ ἐμοῦ, τῷ ἐμῷ: atque etiam genere variatur; ἡ ἐμή, τὸ ἐμόν. patet enim vnam eandemq; personam esse possessoris, diuersas res possessas in genere. Eadem est ratio in numero. est enim rursum possessor vnus, res possessæ plures in quolibet genere; οἱ ἐμοί, αἱ ἐμαί, τὰ ἐμά. Et, si numerus mutatus fuerit, simul articulus mutatur. Fac plures esse dominos vnius agri: tum dixeris, ὁ ἡμέτερος ἀγρὸς σκάπτεται, *noster ager pastinatur*. ita vt articulus sequatur subiectam rem possessam. Ergo in huiusmodi constructionibus, (quemadmodum ante constitutum est) articuli qui adiunguntur pronominibus, ne sic quidem feruntur ad eorum demonstrationem. Atque eadem hæc ratio facit fidem, particulam ὦ non esse articulum, quatenus interdum præponitur demonstratiue pronomini σύ, ὦ σύ. Hactenus de pronominibus quæ sola articulos assumunt, & de iis quæ non assumunt.

31. *Quando manente eadem constructione, articuli aut apponantur, aut non apponantur.*

At reliqua constructio, cũ vna pars orationis enuntiatur, quæ casus habeat, articulos assumet pro eo quod exigit oratio. Exempli gratia; ἵππος τρέχει. at si de equo agas ante cognito, dicendum erit, ὁ ἵππος τρέχει: sic πλοῖον κατέπλευσε: τὸ πλοῖον κατέπλευσεν. itaque dicimus deesse articulum in illo Homeri, (Od. ι.) ἀρνειὸν δέ μοι οἴῳ ἐϋκνήμιδες ἑταῖροι: quatenus de ariete loquitur, cuius antea fecerat mentionem in illo carmine; (Od. ι.) Ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε: & in illo, (Od. ι.) Ἀρνειὸς γὰρ ἔην μήλων ὄχ᾽ ἄριστος ἁπάντων· τοῦ κατὰ νῶτα λαβών. nam nisi hoc ita sit, non deerit articulus. At in illo carmine absolutius adest articulus; (Od. λ.) τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα. fecerat enim ouium mẽtionem, cum eas Circe naui imponebat. Atque hæc ratio per omnem verborum constructionem permanat; iis exceptis, quæ indicant futuram essentiam. Ecce exempla; Διονύσιος ὁ γνώριμός μου, θέλει φιλολογεῖν, *Dionysius familiaris meus, vult dare operam studiis literarum*: οὗτος ὁ ἄνθρωπος θέλει ἀναγινώσκειν, *iste homo vult legere*. Eadem erit ratio in aliis id genus. Quod si sequatur verbum γενέσθαι, καλεῖσθαι, aut alia eiusdem ordinis, articulus discedet: Διονύσιος θέλει μοι γνώριμος γενέσθαι, *Dionysius vult mihi fieri familiaris*: Θέων γραμματικὸς θέλει καλεῖσθαι, *Theon vult vocari Grammaticus*. Hoc autem rationi valde consentaneum est: futuram enim qualitatem verbum indicat; articulus præteritam a-

λα΄, Γ΄ ὅτι τῆς αὐτῆς συντάξεως οὔσης, προστίθεται τὰ ἄρθρα, καὶ οὐ προστίθεται.

Ἥγε μὴν ὑπόλοιπος σύνταξις, κατὰ μίαν προφορὰν πτωτικοῦ, πρὸς τὸ δέον τοῦ λόγου τὰ ἄρθρα προσλήψεται· ἵππος τρέχει· ἢ ἐπὶ προεγνωσμένῳ τῷ ἵππῳ, ὁ ἵππος τρέχει· πλοῖον κατέπλευσεν, [τὸ πλοῖον κατέπλευσεν.] ἔνθεν φαμὲν λείπειν τὸ ἄρθρον, ἐν τῷ, Ἀρνειὸν δέ μοι οἴῳ ἐϋκνήμιδες ἑταῖροι· καθὸ περὶ ἐκείνου διαλέγεται τοῦ προκατειλεγμένου, ἐν τῷ, Ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε· [καὶ ἐν τῷ, Ἀρνειὸς γὰρ ἔην μήλων ὄχ᾽ ἄριστος ἁπάντων·] Τοῦ κατὰ νῶτα λαβών. εἰ γὰρ μὴ οὕτως εἴη, οὐ λείπει τὸ ἄρθρον. πληρέστερον γὰρ ἐκεῖ πρόσκειται· τὰ δὲ μῆλα λαβὼν, ἀπεδειροτόμησα. προκατείλεκτο γὰρ, καθ᾽ ὃν καιρὸν ἐνεβιάζετο ὑπὸ τῆς Κίρκης. Διήκει ὁ λόγος ἐπὶ πάσης τῆς τῶν ῥημάτων συντάξεως, ὑπεξῃρημένων τῶν ἐσομένην ὕπαρξιν δηλούντων. ἔστω [δὲ] ὑποδείγματα· Διονύσιος ὁ γνώριμός μου, θέλει φιλολογεῖν· οὗτος ὁ ἄνθρωπος, θέλει ἀναγινώσκειν. καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος. εἰ μέντοι ἐπιφέροιτο τὸ γενέσθαι, ἢ κληθῆναι, τὰ τούτοις σύζυγα, ἀποστήσεται τὸ ἄρθρον· Διονύσιος θέλει μοι γνώριμος γενέσθαι· Θέων γραμματικὸς θέλει κληθῆναι πάνυ εὐλόγως. ἐσομένην γὰρ ποιότητα τὸ ῥῆμα ὑπαγορεύει· τὸ δὲ ἄρθρον, τὴν γενομένην εἰ-δῦν.

(marg.: προκατειλεγμένου; ἐνεβιβάζετο)

δεν. Εἰ γοῦν προστεθείη τις καὶ τὸ ἄρθρον, ἕτερον προσθήσει ἐπιθετικόν· ἐφ᾽ ὃ ἐπενεχθήσεται τὸ ῥῆμα· ἐπεὶ τὸ ἄρθρον ἀπῳκειώσατο τὸ ἕτερον, ὡς ἂν ἐν γνώσει προϋφεστώσῃ· Διονύσιος ὁ γνώριμός μου, θέλει γενέσθαι φιλόσοφος. προφανὲς γὰρ πάλιν, ὅτι εἰ τὸ ἄρθρον τις ὑφέλοι, ἀκατάλληλον τὸ τοῦ λόγου γένοιτο ἄν, τοῦ ῥήματος οὐ δυναμένου εἰς τὰ δύο ἐπίθετα ἐγχωρῆσαι. Καὶ κατ᾽ ἄλλας δὲ συντάξεις, δύο ὀνομάτων εἰς ἓν πρόσωπον συντεινόντων, διαφορά τις ἐστὶ τῶν προκατειλεγμένων ῥημάτων. ἐξ ὧν καὶ ὁ Τρύφων ἤρξατο τὴν ἐν τοῖς ἄρθροις σύνταξιν παραδιδόναι, τῶν προκατειλεγμένων τρόπων οὐδὲ ἔννοιαν παραθέμενος.

ἄρθρον

λς. Πότε τοῖς ἐπιθετικοῖς, καὶ πότε τοῖς κυρίοις ἢ προσηγορικοῖς προστίθεται τὰ ἄρθρα.

Τὰ δὲ ἐπιθετικά, ἐπὰν συντάσσηται κυρίοις ὀνόμασι, πάντως σὺν ἄρθροις λέγεται, εἰ μὴ τὰ ὑπαρκτικὰ τῶν ῥημάτων ἐπιφέροιτο· ὁ γραμματικὸς Τρύφων ἀναγινώσκει· ὁ φιλόσοφος Τρύφων περιπατεῖ. καὶ οὐκ ἄλλως ἀποστήσεται τὸ ἄρθρον, εἰ μὴ ὑπαρκτικὴ μετοχὴ ἐπενεχθείη· γραμματικὸς ὢν Τρύφων, ἀναγινώσκει· φιλόσοφος ὢν Δίων, διαλέγεται· πάνυ εὐλόγως, διὰ τὴν νῦν ἐμφαινομένην ποιότητα, διὰ τοῦ ὤν· οὐδὲ γὰρ ἐν ῥήματι τὸ τοιοῦτον ἐδύνατο παραληφθῆναι,

gnoſcit. Quod ſi articulum etiam addideris, erit præterea addendum alterum adiectiuum, ad quod feratur verbum: quandoquidem articulus alterum ſibi vindicauit, propter cognitionem antecedentem: Διονύσιος ὁ γνώριμός μου, θέλει γενέσθαι φιλόσοφος, *Dionyſius familiaris meus, vult fieri Philoſophus*. Patet enim hic etiam, ſi quis articulum tollat, orationem fore incõgruam: ſiquidem verbum nõ poterit habere locum apud duo epitheta. In aliis quoque conſtructionibus, cum duo nomina vnã perſonam ſpectant, eſt aliquid diſcriminis in verbis ſupra numeratis. Ex quibus Tryphon orſus eſt articulorum conſtructionem tradere, nulla eorũ modorum mentione facta quos ante enumerauimus.

32. *Quando articuli epithetis, & quando propriis nominibus aut appellatiuis apponantur.*

Adiectiua vero ſociata cum nominibus propriis, omnino cum articulis enuntiantur, niſi verba ſubſtantiua ſequantur; ὁ γραμματικὸς Τρύφων ἀναγινώσκει: ὁ φιλόσοφος Τρύφων περιπατεῖ. neque aberit articulus alia de cauſa, niſi ſi participium verbi ſubſtantiui ſequatur; γραμματικὸς ὢν Τρύφων, ἀναγινώσκει: φιλόσοφος ὢν Δίων, διαλέγεται. idque iure optimo, propter qualitatem, quã participium ὢν iam patefacit. Nam in verbo nihil eiuſmodi aſſumi poterat

propter verbum consequēs: quandoquidem duo etiam verba vnam cōstructionem nequeunt recipere; sine particula copulante. Hoc fit autem perspicuum istis exemplis. Exemplum prioris est; ὁ φιλόσοφος Δίων διαλέγεται: alterius, φιλόσοφος ὢν Δίων διαλέγεται: tertii, φιλόσοφός ἐστι Δίων, καὶ διαλέγεται. Verum huiusmodi constructio est explicata accuratius in libro De participiis. in quo simul demōstrauimus in illo Homeri carmine,

Il. λ. Αὐτὰρ ὁ βῆ Ῥῆσόν τε καὶ Ἄντιφον ἐξεναρίξων: si Βήρησον sit nomē, carminis finem omnino referri oportere ad verbum, quod claudat sententiam, illud videlicet ἐξενάριξεν: sin verbum βῆ est positum, verbi constructionem incongruam; participii, congruam esse, ἐξεναρίξων inquam. In superiore autem constructione, articuli sine discrimine adiiciuntur, si verba, quæ sequuntur, (sicuti diximus) de qualitate prædicentur. Sint rursus excēpla prioris; ὁ γραμματικὸς Τρύφων ἀείδει: obscurum enim fuerit si dixeris, ὁ Τρύφων γραμματικὸς ἀείδει. posterioris; ὁ γραμματικὸς Τρύφων καλεῖται: ὁ γραμματικὸς Τρύφων παρεγένετο. Perspicuum est igitur, verba, cum de adiectiuis nominibus dicuntur, articuli constructionem non sine probabili ratione reiicere. Hinc patet, ordinē ver-

ἕνεκα τοῦ ἐπιφερομένου ῥήματος· ἐπεὶ ἐπιφαινο-
καὶ δύο ῥήματα οὐ δύναται μίαν σύνταξιν ἐπιδέξασθαι δίχα συμπλοκῆς. καὶ σαφὲς ἐκ τοῦ ὑποδείγματος, τοῦ μὲν προειρημένου, ὁ φιλόσοφος Δίων διαλέγεται· τοῦ δὲ δευτέρου, φιλόσοφος ὢν Δίων διαλέγεται· τοῦ δὲ τρίτου, φιλόσοφός ἐστι Δίων, καὶ διαλέγεται. οὐ γὰρ συστήσεται δίχα τοῦ καὶ συνδέσμου· φιλόσοφός ἐστι Δίων διαλέγεται. Εἴρηται δὲ ἀκριβέστερον ἡ τοιαύτη σύνταξις ἐν τῷ Περὶ μετοχῶν. ἐν ᾧ καὶ ἐπεδείξαμεν, ὡς τὸ, Αὐτὰρ ὁ βῆ Ῥῆσόν τε καὶ Ἄντιφον ἐξεναρίξων· εἰ μὴ ἔστιν ὄνομα τὸ Βήρησον, ἐπὶ μὲν ῥῆμα πάντως τὸ συγκλεῖον τὴν διάνοιαν, ἀναχθήσεται τὸ τέλος· λέγω τὸ ἐξενάριξεν. εἰ δὲ ἔγκειται τὸ βῆ ῥῆμα, ἀνέφικτον μὲν τὸ τοῦ ῥήματος· κατάλληλον δὲ τὸ τῆς μετοχῆς· λέγω τὸ ἐξεναρίξων. Τῇ προκειμένῃ συντάξει ἀδιαφόρως τὰ ἄρθρα προστεθήσεται, εἰ, ὡς εἴπομεν, τὰ ἐπιφερόμενα ῥήματα περὶ τῆς κατηγορεῖ ποιότητος. Πάλιν δὲ ἔστω ὑποδείγματα τοῦ μὲν προτέρου· ὁ γραμματικὸς Τρύφων ἀείδει· ἦν γὰρ ἀσύνετον φάναι, ὁ Τρύφων ὁ γραμματικὸς ἀείδει. τοῦ δὲ δευτέρου, ὁ γραμματικὸς Τρύφων καλεῖται· ὁ γραμματικὸς Τρύφων παρεγένετο· ὁ Τρύφων γραμματικὸς παρεγένετο. καὶ σαφὲς ὅτι τὰ ῥήματα κατηγοροῦντα τοῦ ἐπιθετικοῦ, εὐλόγως τὴν τοῦ ἄρθρου σύνταξιν παρείλετο. Ἔνθεν δὲ τὰ τῆς

περὶ τῆς κατηγορημένης
ἴσ. εἴπερ, ὡς εἴπομεν, τὰ ἐπιφερόμενα ῥήματα κατηγοροῖεν τῆς ποιότητος.
τοῦ Τρύφων ὁ γραμματικὸς παρεγένετο.
ἴσ. κατηγορήματα

ἀναστροφῆς

ἀναστροφῆς δῆλα· Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα. εἰ γὰρ ἀφέλοι τις τὸ ἠτίμησεν, ἀντιθείη δὲ τὸ ὠνόμασε, διάφορον πάλιν ἕξει τὴν σύνταξιν· Οὕνεκα τὸν Χρύσην ὠνόμασεν ἀρητῆρα. Ἡ αὐτὴ σύνταξις καὶ ἐν προσηγορικοῖς, καὶ ἐν ἐπιθετικοῖς· ὁ λευκὸς ἵππος τρέχει· ὁ ἵππος λευκός ἐστιν. εἰ μέντοι εἴη δύο ἐπιθετικὰ, δύο καὶ τὰ ἄρθρα προσγίνεται. πάλιν τῶν προειρημένων ῥημάτων ὑποστελλομένων· ὁ σεμνὸς, ὁ καλὸς ὑβρίζεται· ὁ φρόνιμος, ὁ ἀγαθὸς ἐξέστη τοῦ καθήκοντος· πρόδηλον τὸ ἀκατάλληλον, εἰ ἀφέλοι τις τὸ ἕτερον τῶν ἄρθρων. καὶ δῆλόν ἐστιν ὡς οὐ τὸ θάτερον ἐγχωρεῖ τοῦ ἄρθρου, καθὸ ἀπὸ μιᾶς ὕλης τῶν ὀνομάτων ἄγεται· τοῦ δὲ ἑτέρου, ὁ σεμνὸς, σοφός ἐστιν· ὁ σεμνὸς, φρόνιμός ἐστιν· ὁ σώφρων, ἀγαθός ἐστιν· ὁ ἀγαθὸς, σώφρων ἐστί. καὶ ἐπὶ τῶν ἄλλων ῥημάτων ὁ αὐτὸς λόγος.

(marg.: ἀφέλοιτό τις — ἠτίμησ' — οὐχ ἕτερον θατέρῳ — ὁ σοφὸς, σεμνός ἐστι)

λγʹ, Περὶ συντάξεως τῶν μετοχῶν καὶ ὀνομάτων, καὶ διαφορᾶς τῶν συνόντων ἄρθρων.

(marg.: Ἐ πότε ἐπιδέχονται ἄρθρα.)

Συμφέρεται τοῖς ὀνόμασι καὶ ἡ τῶν μετοχῶν σύνταξις· καθ' ὃν ἐπεδείξαμεν λόγον ἐν τῷ Περὶ μετοχῶν. μετὰ μὲν οὖν κυρίων, ἡνίκα οὕτω φαμέν· ὁ Πτολεμαῖος γυμνασιαρχήσας ἐτιμήθη· ὁ Διονύσιος τυραννήσας ἐμέμφθη. ὥσπερ καὶ χωρὶς ἄρθρου τὸν αὐτὸν λόγον συγκλείει. καὶ ἡ μὲν τοιαύτη σύνταξις, χρονικῶς νοεῖται·

(marg.: Infr. D.)

borum inuerſum eſſe in illo carmine, Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα. nam ſi verbum ἠτίμησε demas, & aliud reponas ὠνόμασε, diuerſam feceris conſtructionem; Οὕνεκα τὸν Χρύσην ὠνόμασ' ἀρητῆρα. Eadem eſt conſtructio nominum appellatiuorum, atque adiectiuorum: ὁ λευκὸς ἵππος τρέχει: ὁ ἵππος λευκός ἐστιν. Quod ſi fuerint duo adiectiua, duo etiam articuli adiungentur. Rurſus ſi verba paulo ante memorata ſubtrahantur; ὁ σεμνὸς, ὁ καλὸς, ὑβρίζεται: ὁ φρόνιμος, ὁ ἀγαθὸς, ἐξέστη τοῦ καθήκοντος: non poteſt dubitari orationem eſſe incongruam, ſi alterum articulum demas: perſpicuũque eſt, alterum adiectiuum alteri non ceſſurum eſſe articulum, quatenus ex vna nominum materia ducitur. Alterius exemplum eſt; ὁ σοφὸς, σεμνός ἐστιν: ὁ σεμνὸς, φρόνιμός ἐστιν: ὁ σώφρων, ἀγαθός ἐστιν: ὁ ἀγαθὸς, σώφρων ἐστίν. Eadem ratio in aliis eſt verbis.

(marg.: Il. α.)

33. *De constructione participiorum; & quando recipiant articulos.*

Non eſt diſſimilis cõſtructio participiorum conſtructioni nominum, ob eam rationem quam attulimus in libro De participiis. Ergo cũ nominibus propriis ita dicimus; ὁ Πτολεμαῖος, γυμνασιαρχήσας, ἐτιμήθη: ὁ Διονύσιος, τυραννήσας, ἐμέμφθη. quam orationem etiam ſine articulo claudit. Atq; iſtiuſmodi conſtructio ſignificationẽ temporis habet, valetque idem ac ſi dice-

res, *μετὰ τὸ γυμνασιαρχῆσαι ἐτιμήθη: μετὰ τὸ τυραννῆσαι ἐμέμφθη*: i. *postaequã gymnicis ludis praefuit, honore affectus fuit: posteaquam tyrannidem occupauit, vituperatus fuit.* Quod si participia assumant articulos, constructio subindicabit plures Ptolemaeos. Itaq; probabilis fuerit illa oratio; articulos multitudinem etiã indicare. nam si quis ita enuntiet, *ὁ γυμνασιαρχήσας Πτολεμαῖος, ἐτιμήθη*, non vnum, sed plures significabit Ptolemaeos, quorum vnus honorem adeptus est.

34, *Articulum singularem additum, significationem multitudinis prae se ferre, & infiniti vim habere.*

Quod autem articulus faciat vt multitudo significetur, hoc facile cognoscitur, si articulus idem tollatur: *ὁ γυμνασιαρχήσας Πτολεμαῖος, ἐτιμήθη*: & rursus, cum vnus intelligitur Ptolemaeus, *γυμνασιαρχήσας Πτολεμαῖος, ἐτιμήθη.* Eadem est constructio in nominibus appellatiuis. In qua cõstructione etiam tertium quoddam genus exsistit. Primum genus esto eiusmodi, quod temporis discrimen indicat; *ὁ παῖς δειπνήσας κοιμάσθω*, *puer, posteaquam coenauerit, eat cubitum.* Secundum, cum indicatur multitudo; *ὁ δειπνήσας παῖς, κοιμάσθω*, *puer qui coenauit, eat cubitum.* quo in exemplo, articuli cõstructio habet speciem infiniti; eamq; ob causam Stoici huiusmodi particulas appellarunt *ἀοριστώδη μόρια*, id est, *particulas habentes speciem infiniti.* Tertium genus esto, quod eandem habet constructionem, & tamen non omnino infinite accipitur, sed habet relationem. fac enim ali-

μετὰ τὸ γυμνασιαρχῆσαι ἐτιμήθη· μετὰ τὸ τυραννῆσαι ἐμέμφθη. Εἰ δὲ αἱ μετοχαὶ προσλάβοιεν τὰ ἄρθρα, πλειόνων Πτολεμαίων ἐμφάσεις νοεῖται. ὥστε οὐκ ἀπιθάνως ἐστὶ φάναι, ὡς τὰ ἑνικὰ ἄρθρα παρεμφαίνει καὶ πλῆθος. εἰ γὰρ τῇδέ τις ἀποφαίνοιτο, ὁ γυμνασιαρχήσας Πτολεμαῖος ἐτιμήθη, οὐχ ἕνα δηλώσει Πτολεμαῖον, ἀλλὰ πλείονας, ἐξ ὧν ὁ εἷς τιμῆς μετέλαβεν.

λδ'. Ὅτι ἡ προσθέσις ἑνικοῦ ἄρθρου, πλήθους ἔννοιαν παρίστησι· [ἢ ὅτι τὰ ἄρθρα ἀοριστωδῶς ἀκούει]. F. P.

† Ὅτι δὲ τὸ ἄρθρον αἴτιόν ἐστι τῆς παρεμφάσεως τοῦ πλήθους, συμφανὲς ἐκ τοῦ ἀποβαλλομένου ἄρθρου· [ὁ γυμνασιαρχήσας Πτολεμαῖος ἐτιμήθη·] καὶ πάλιν, τοῦ ἑνὸς νοουμένου Πτολεμαίου, γυμνασιαρχήσας Πτολεμαῖος ἐτιμήθη. Ἔστι καὶ ἐν προσηγορικοῖς ἡ τοιαύτη σύνταξις. Ἐφ' οὗ καὶ τρίτος λόγος ἀνακύπτει. καὶ ἔστω ὁ μὲν πρῶτος, τοιοῦτος, χρονικὴν διαφορὰν παρεμφαίνων· ὁ παῖς δειπνήσας, κοιμάσθω. ὁ δὲ δεύτερος, ἡνίκα πλῆθος παρεμφαίνεται· ὁ δειπνήσας παῖς κοιμάσθω. † ἐφ' οὗ καὶ ἀοριστώδης ἡ σύνταξις γίνεται τοῦ ἄρθρου. ἔνθεν καὶ οἱ ἀπὸ τῆς στοᾶς, τὰ τοιαῦτα μόρια ἀοριστώδη ἐκάλεσαν. τρίτος δὲ, ὃς τὴν αὐτὴν μὲν ἔχει σύνταξιν· οὐ μὴν ἀοριστωδῶς πάντως νοεῖται, ἀναφορικῶς δέ. φέρε

γάρ τινα

γάρ τινα δειπνῆσαι τῶν παίδων, καὶ μετὰ τοῦτο γίνεσθαι κατὰ τῆς προστάξεως· καὶ πάλιν τὰ τοῦ λόγου τῇδε καταστήσεται, ὁ δειπνήσας παῖς κοιμάσθω. καθὼς εἰ ἐν παισὶν ἀτακτήσει παῖς, ἐφ' οὗ ἂν φαίη ὁ διδάσκαλος, ὁ ἀτακτήσας παῖς, τυπτέσθω. οὐκ ἔστιν ἡ τοιαύτη σύνταξις ἀκριβ. *ἐντελεστέρα, χωρὶς ἄρθρου λεγομένη, καθάπερ ἐπὶ τῶν κυρίων· εἴγε τὰ κύρια, διὰ τὴν ἐν αὐτοῖς ἰδιότητα, οὐχ οὕτως προσδέεται τοῦ ἄρθρου, καθάπερ τὰ κοινὴν ἔννοιαν ἔχοντα. δυνάμει γὰρ συστέλλεται ἐκ τῆς πολλῆς ποιότητος τῇ παραθέσει τοῦ ἄρθρου· εἴγε ἀοριστῶδες μὲν τὸ, παῖς δειπνήσας ἐκοιμήθη· οὐ μὴν τὸ, ὁ παῖς δειπνήσας ἐκοιμήθη. εὐπαράδεκτον δὲ τὸ, ὁ Πτολεμαῖος δειπνήσας ἐκοιμήθη, οὐχ οὕτως ἀπαι-τοῦντος *ἀπαιτοῦν τὸ ἄρθρον. οἷόν τέ ἐστι τοῖς προσηγορικοῖς ὀνόμασι προσνέμειν ἄρθρον, καὶ ταῖς συνταττομέναις μετοχαῖς· ὁ παῖς ὁ δειπνήσας κοιμᾶται. καθότι καὶ ἐπὶ τῶν προσηγορικῶν καὶ ἐπιθετικῶν· ὁ ἵππος ὁ λευκὸς τρέχει. ὅπερ ταὐτὸ συνάγει τοῖς ἀπὸ τοῦ ἐπιθετικοῦ ἀρχομένοις σὺν τῷ ἄρθρῳ καὶ τοῖς ἀπὸ μετοχῆς· ὁ λευκὸς ἵππος τρέχει· ὁ δειπνήσας παῖς κοιμᾶται. ἃ δὴ καὶ μᾶλλόν καταλληλότερά ἐστι τῶν ὑποκει-μένων. *ὑπερκειμένων.

quem ex pueris cœnasse: fac etiam idipsum a cœna imperari: tum oratio hunc in modū instituetur; *ὁ δειπνήσας παῖς κοιμάσθω, puer qui cœnauit, eat cubitum.* Non aliter si quis puer in cœtu puerorum immoderate sese gerat, de eo magister dixerit, *ὁ ἀτακτήσας παῖς τυπτέσθω, puer, qui immoderate sese gessit, vapulet.* At huiusmodi cōstructio si careat articulis, non est exquisitior, sicuti in propriis nominibus: siquidē propria, propter insitam proprietatem, nō ita indigent articulo, sicut ea quæ de vniuerso aliquo genere dicuntur; quæ potestate sese contrahunt ex multa qualitate, articuli adiectione: quādoquidem illud, *παῖς δειπνήσας ἐκοιμήθη*, habet speciē infiniti: at non ita illud, *ὁ παῖς δειπνήσας ἐκοιμήθη*. illud vero facile probatur & admittitur, *ὁ Πτολεμαῖος δειπνήσας ἐκοιμήθη*: quippe quod non ita postulat articulum. Licet autem nominibus appellatiuis, & participiis, quæ cum illis cōstruuntur, adiicere articulum; *ὁ παῖς ὁ δειπνήσας κοιμᾶται*: quatenus idem licet etiam nominibus appellatiuis, & adiectiuis; *ὁ ἵππος ὁ λευκὸς τρέχει*. quæ cōstructio similis est illius, quæ orditur ab epithetis & participiis articulo sociatis; *ὁ λευκὸς ἵππος τρέχει: ὁ δειπνήσας παῖς κοιμᾶται*. atque hæc constructio videtur esse magis congrua, quam illa superior.

35, *De discrimine verborum, quæ sequuntur articulum & participium.*

Illud etiam non est prætereundum, imperatiuũ verborum modum facere, vt articuli & participii constructio accipiatur ἀορισωδῶς, i. ita vt speciem infiniti præ se ferat: ὁ τυραννοκτονήσας τιμάσθω, *qui tyrannum interfecerit, honore afficiatur.* nam indicandi modus in præsentibus & præteritis, facit vt constructio relationem habeat; ὁ τυραννοκτονήσας τιμᾶται: ὁ τυραννοκτονήσας ἐτιμήθη. Rursus futuri constructio, ipsa quoq; speciem habet infiniti, ob eam rationem quam obseruauimus, & paulo ante memorauimus: ὁ τυραννοκτονήσας τιμηθήσεται. idque probabili admodum ratione. siquidem quæ fiunt, aut facta sunt, certa & minime dubia sunt: futura, sunt incerta. itaque constructio etiam incerta infinitaq; est. Hinc demonstratur aperte, modos imperandi omneis habere insitam futuri significationem, siue preteriti imperfecti, siue plusquamperfecti voce imperemus. idem enim est propemodum ὁ τυραννοκτονήσας τιμάσθω, atque ὁ τυραννοκτονήσας τιμηθήσεται, quod ad sensum temporis attinet; quamq̃ diuersi modi sit. alterum enim exemplum, imperatiui; alterũ, indicatiui modi est.

36, *De Imperatiuis.*

Quid est igitur cur non ridiculi existimẽtur, qui negãt esse verba imperatiua futuri temporis; cũ omnia cogãtur

λε΄, Περὶ διαφορᾶς τῶν ἐπιφερομένων ῥημάτων.

Ἔτι κἀκεῖνο ῥητέον, ὡς ἡ προστακτικὴ ἐκφορὰ τῶν ῥημάτων, αἰτία γίνεται τοῦ ἀοριστωδῶς νοεῖσθαι τὴν σύνταξιν τοῦ ἄρθρου καὶ τῆς μετοχῆς· ὁ τυραννοκτονήσας τιμάσθω. ἡ γὰρ ὁριστικὴ ἔγκλισις, ἐπὶ ἐνεστῶσι καὶ παρῳχημένοις ἀναφορικωτέραν τὴν σύνταξιν ποιεῖται· ὁ τυραννοκτονήσας τιμᾶται· ὁ τυραννοκτονήσας ἐτιμήθη. πάλιν γὰρ ἡ τοῦ μέλλοντος, ἀοριστωδῶς νοεῖται, καθ' ἣν προεκτεθείμεθα τήρησιν· ὁ τυραννοκτονήσας τιμηθήσεται. πάνυ εὐλόγως· εἴγε τὰ γινόμενα καὶ γεγονότα, πάνυ εὐλόγως εὔδηλα· τὰ δὲ ἐσόμενα, ἀδηλότερα. καὶ ἐνθένδε ἀοριστοῦται τὰ τῆς συντάξεως. καὶ προφανῶς ἐκ τοῦ τοιούτου δείκνυται, ὡς ἅπαντα τὰ προστακτικὰ ἐγκείμενον ἔχει τὴν τοῦ μέλλοντος διάθεσιν, προστασσόμενα ἢ εἰς παρατατικὴν διάθεσιν, ἢ εἰς ὑπερσυντελικήν. σχεδὸν γὰρ ἐν ἴσῳ ἐστὶ τό, ὁ τυραννοκτονήσας τιμάσθω, τῷ τιμηθήσεται· [καὶ] κατὰ τὴν χρόνου ἔννοιαν τῇ ἐγκλίσει διηλλαχός· καθὸ τὸ μὲν, προστακτικόν· τὸ δὲ, ὁριστικόν.

γρ. [illegible]

πρόδηλα

λϛ΄, Περὶ προστακτικῶν.

Πῶς οὖν οὐ γελοῖοί εἰσιν οἱ μὴ ὑπολαβόντες ῥήματα προστακτικὰ μέλλοντος χρόνου· ὅπου γε πάντα συνωθεῖται μᾶλλον

εἰς τὴν

εἰς τὴν τοῦ μέλλοντος ἔννοιαν. ἐπεὶ γὰρ μὴ γινομένοις ἢ μὴ γεγονόσιν ἡ πρόσταξις. τὰ δὲ μὴ γινόμενα ἢ μὴ γεγονότα, ἐπιτηδειότητα δὲ ἔχοντα εἰς τὸ ἔσεσθαι, μέλλοντός ἐστιν. εἴγε καὶ τῶν προσταχθέντων τὰ μὴ γινόμενα, λόγον ἔχει μετὰ ἀποφάσεως καὶ τῆς τοῦ μέλλοντος ἐννοίας· οὐ δυνήσομαι· οὐ ποιήσω. καὶ γὰρ οὕτω φαμὲν, οὐ δύναμαι βαστάσαι, ἐν ἴσῳ ἐστὶ τῷ, οὐ δυνήσομαι. Εἰς τὸ γενέσθαι οὖν, ἢ μὴ γενέσθαι, ἡ πρόσταξις γίνεται· ἀποφασκομένη ἀπὸ τῆς τοῦ μέλλοντος ἐννοίας· εἰς μὲν παράτασιν, σκαπτέτω τὰς ἀμπέλους· εἰς δὲ συντέλειωσιν, σκαψάτω τὰς ἀμπέλους.

Τί δ᾽ ἄρα τὸ παράξαν τοὺς παραδεξαμένους μέλλοντος προστακτικά; μόνον τὸ γραψέτω· καὶ τὸ, οἶσε θέϊον γρηῦ. ἅπερ ἀπολύεται ἐντελέστερον ἐν τῷ Περὶ προστακτικῶν. Απαιτοῦντος δὲ καὶ νῦν τοῦ λόγου, ὀλίγα παραθησόμεθα· ὅτι ποιητικώτερον μὲν τὸ οἶσε, κατ᾽ ἐναλλαγὴν εἴρηται τῆς φωνῆς τῆς φέρε, τῆς γραψέτω, καὶ τὰ ὅμοια, οὐ κατὰ διαφορὰν μὲν χρόνον, κατὰ δὲ ἐκλογὴν ὀνόματος, ὁπότερον εἴη, κατορθούμενον. καθάπερ ἤδη προεμελετήθη ἡ τοιαύτη ζήτησις [καὶ] ἐν τῇ ὁριστικῇ ἐγκλίσει, ἔγραψας ἢ ἔγραψες· οὐ
μόνον D. διαφορᾶς οὔσης χρονικῆς αὐτοῖς ἢ μόνης γραφῆς, δυναμένης οὐκ ἀπιθάνως παραλαμβάνεσθαι, ὡς ἐπιδείκνυμεν ἐν τῷ Περὶ ῥημάτων. Αἱ προ-

ad futuri sensum? nam ea imperamus, quæ aut non fiunt, aut nō facta sunt. quę autem non fiunt, aut nō facta sunt, & tamen vt fiant, apta nata sunt; ea temporis futuri sunt: siquidem & ea quæ imperata non fiunt, enunciantur cū negante particula, & sensu futuri; οὐ δυνήσομαι, οὐ ποιήσω. nā etsi dicimus etiam illo modo, οὐ δύναμαι βαστάσαι, idem tamen valet atque οὐ δυνήσομαι. Ergo ex futuri sensu imperamus vt fiat aliquid, aut non fiat, addita negante particula: imperfecte quidem, vt, σκαπτέτω τὰς ἀμπέλους: perfecte vero, vt, σκαψάτω τὰς ἀμπέλους. Quid autem decepit eos qui admiserunt futuri imperatiua? γραψέτω tantum; &, οἶσε θέ- Od. χ. ϊον γρηῦ. quæ quamquam absolutius a nobis in libro De Imperatiuis diluūtur; tamen quia locus etiam hic idem exigit, pauca quædam adiungemus: nimirum illud γραψέτω, & οἶσε, poetica licentia per enallagen fuisse vsurpata pro voce γραψάτω & φέρε: non diuerso tempore, sed delectu verbi, quod, vtra voce velis, recte profertur: quemadmodum in indicatiuo etiam modo quæstio eiusmodi ante orta est; in ἔγραψας inquā, vel ἔγραψες: quandoquidem in istis vocibus nullum temporis discrimen est, sed tantum in scriptura; quæ assumi potest non sine ratione probabili, sicut demonstramus in capite De verbis. Supe-

riores igitur constructiones, *subductis propriis nominibus, possunt absq; discrimine conuerti, sine articulo enuntiatæ; ἄνθρωπος δραμὼν ἐνίκησε, δραμὼν ἄνθρωπος ἐνίκησεν: ἄνθρωπον ἀγαθὸν ὕβρισεν, ἀγαθὸν ἄνθρωπον ὕβρισεν. Ergo illud Homeri, ἄνδρα πολύτροπον, nullum omnino exigit articulum: nisi velimus distinguere virum aliquem excellentem; sicuti iam demonstrauimus articulos habere vim etiam excellentiæ indicandæ: vt cum dicimus, οὗτός ἐστιν ὁ ἀνήρ, οὗτός ἐστιν ὁ γραμματικός. Id potest cognosci etiam in possessiua genitiui constructione. nam si possessio vnius tantum sit, articulum omnino postulat: sin enuntietur sine articulo, nō ita se habebit. Exemplū prioris est, ἡ ψυχή σου, ἀγαθή ἐστιν: ἡ μοῖρα Νέστορος, πολυχρόνιος ἦν: posterioris, θεράπαινά σου, πρὸς ἐμὲ ἦλθε: γνώριμος Ἀριστάρχου, διελέξατό μοι. nam hęc posteriora exempla si velis ita enuntiare, vt vnicā significes rem possessam, articulum addideris hoc modo; ἡ θεράπαινά σου: ὁ γνώριμος Ἀριστάρχου. Item si multæ sint naues, dixeris, ναῦς σου κατέπλευσεν: ναῦς σου ἕστηκεν ἐν τῷ λιμένι. at si ad vnam tantum referatur possessio, articulum adiunxeris. Itaque existimādum est, in illo carmine articulum deesse; Νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν: sicuti demonstrauimus alias: Νῶϊ δ᾽ ὧδε ξυνὼ νηὶ κατήλυθον. significat e-

*remotis

Od. α. (ἄνδρα πολύτροπον)

Od. α. (Νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν)

Od. α. (Νῶϊ δ᾽ ὧδε)

κείμεναι οὕτω συντάξεις, ὑποστελλομένων τῶν κυρίων ὀνομάτων, ἀδιαφόρους ἔχουσι τὰς ἀναστροφὰς χωρὶς ἄρθρου λεγομένας· ἄνθρωπος δραμὼν ἐνίκησε, δραμὼν ἄνθρωπος ἐνίκησεν· ἄνθρωπον ἀγαθὸν ὕβρισεν, ἀγαθὸν ἄνθρωπον ὕβρισεν. οὐκ ἐπιζητήσει οὖν τὸ, ἄνδρα πολύτροπον, πάντως ἄρθρον· χωρὶς εἰ μὴ τὸν κατ᾽ ἐξοχὴν ἄνδρα θέλοιμεν διαστεῖλαι· καθὼς ἐδείξαμεν κἀν ταῖς ἀρχαῖς, ὡς καὶ ἐξοχῆς παραστατικὰ τὰ ἄρθρα, ὅτε οὕτω φαμὲν, οὗτός ἐστιν ὁ ἀνήρ· οὗτός ἐστιν ὁ γραμματικός· καθότι ἔστιν ἐπινοῆσαι κἀν ταῖς κατὰ γενικὴν κτητικαῖς συντάξεσι. μοναδικαὶ γὰρ οὖσαι αἱ κτήσεις, τὸ ἄρθρον ἀπαιτοῦσιν· οὐ τῇδε δὲ ἔχουσιν, εἰ χωρὶς ἄρθρου λέγοιντο. τῆς μὲν προτέρου· ἡ ψυχή σου, ἀγαθή ἐστιν· ἡ μοῖρα Νέστορος, πολυχρόνιος ἦν. τῆς δὲ ἑτέρου, θεράπαινά σου πρὸς ἐμὲ ἦλθε· γνώριμος Ἀριστάρχου διελέξατό μοι. ταῦτα γὰρ εἰ ἐθέλοι τις μοναδικῶς ἐκθέσθαι, προσθήσει ἄρθρον· ἡ θεράπαινά σου· ὁ γνώριμος Ἀριστάρχου. καὶ πολλῶν ὑπουσῶν νεῶν, φαίη τις ἂν, ναῦς σου κατέπλευσε, ναῦς σου ἕστηκεν ἐν τῷ λιμένι· μοναδικῆς δὲ πάλιν τῆς κτήσεως νοουμένης, προσθείη τις πρὸς αὖ τὸ ἄρθρον. καθὼς κἀκεῖνο νοητέον κἀκεῖ λείπειν, Νηῦς δέ μοι ἥδ᾽ ἕστηκε· καθὼς ἐν ἑτέραις ἐδείξαμεν· Νῶϊ δ᾽ ὧδε ξυνὼ νηὶ κατήλυθον· ὑπαγορεύει γὰρ ξυνὼ

ξὺν μιᾷ νηΐ. ξυμφανὲς καὶ τοῦ ὧδε, σημαίνοντος τό, οὕτως ὡς ὁρᾷς· οὐχ ὡς ἐπέβαλλε βασιλεῖ. Προδήλως οὖν κἀκεῖνο λείπει ἄρθρου, [μῆνιν ἄειδε θεά,] τὴν [τοῦ] Ἀχιλλέως οὐλομένην μῆνιν. ἓν γὰρ τὸ πάθος, ὡς μοῖρα, ὡς ψυχή.

λζ', Πότε τοῖς ἐν πεύσει καταγινομένοις τὰ ἄρθρα προσνέμεται, καὶ πότε οὔ.

τμῆμα λ'. δὴ Ἀκολούθως χωρητέον καὶ ἐπὶ τὰς πυσματικὰς συντάξεις. τὸ δὲ τίς συντάσσεται κυρίοις ὀνόμασι μετὰ τοῦ ῥήματος τοῦ λέγεται, ὀνομάζεται, ἢ ἐστίν, ἤ τινος τῶν συνωνυμούντων· ἀνθυποφορὰν δὲ ἔχει τὴν ἐκ τοῦ πύσματος ἀντωνυμικήν· τίς Τρύφων ὀνομάζεται; τίς Τρύφων λέγεται; πρὸς ὃν φαμέν, ἐγώ, ἢ οὗτος, ἤ τι τῶν συζύγων· ἢ ἀντεστραμμένως μετὰ ἀντωνυμίας, ἀνθυποφορᾶς οὔσης ὀνοματικῆς. διὰ μὲν γὰρ ἄγνοιαν καταστήματός φησιν ὁ Νέστωρ, Τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεται οἶος; ᾧ ἀνθυπηνέχθη τό, Γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα. (*Εἴσεαι) ὁ μέντοι Πρίαμος, ὁρῶν τὸν Ἀγαμέμνονα, πεῦσιν ποιεῖται τὴν κατὰ τοῦ κυρίου ὀνόματος. πρὸς ὃν πάλιν ὑπάγεται, Οὗτος δ' Ἀτρείδης· ἀναγκαίως συνενεχθείσης τῷ ὀνόματι τῆς δεικτικῆς ἀντωνυμίας· ἵνα ἀφορίσῃ τὸ τοῦ Ἀγαμέμνονος πρόσωπον, πολλῶν συνόντων. καὶ σαφὲς ἐντεῦθεν, ὡς διὰ μὲν τῆς ὀνοματικῆς συντάξεως τὴν οὐσίαν.

nim cũ vna naui. facit fidem etiam particula illa ὧδε: quæ ſignificat *ita vt vides, non vt decet regem.* Patet igitur, in illo etiã carmine articulum deeſſe; μῆνιν ἄειδε θεά, τὴν Ἀχιλλέως οὐλομένην μῆνιν. (Il. α) eſt enim vnic⁹ defectus, vt in ſuperioribus exemplis, ἡ μοῖρα, ἡ ψυχή.

37, Quando nominibus interrogatiuis articuli attribuantur, & quando non.

Sequitur vt progrediamur ad conſtructionem nominũ interrogatiuorum. (Pars IIII) τίς ergo conſtruitur cum nominibus propriis, & verbo λέγεται, vel ὀνομάζεται, vel ἐστίν, vel alio, quod eandem vim habeat: & poſtulat pronomen, quod reſpondeat interrogationi: τίς Τρύφων ὀνομάζεται; τίς Τρύφων λέγεται; ad quem reſpondemus, *ego*, vel *iſte*, vel alio pronomine eiuſdem ordinis. Conuerſa etiam ratione interrogamus cum pronomine, & reſpondemus nomine. Neſtor ignorat Agamemnonem. itaque ait, Τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεται οἶος; (Il. κ) cui reſpondet, Εἴσεαι Ἀτρείδην Ἀγαμέμνονα. At Priamus, proſpiciens Agamemnonem, quærit nomen proprium. itaque audit, Οὗτος δ' Ἀτρείδης. (Il. γ) vbi nomini proprio adiunctum eſt pronomen demõſtratiuum neceſſario, vt diſtingueret perſonam Agamemnonis a multis aliis quæ aderãt. Hinc poteſt perſpici, quod nominis conſtructione, rei propoſitæ

natura quæritur, quam indicant pronomina tantum. eorum enim demonſtratio ſimul commonſtrat accidentia. Itaque pronomina cum qualibet re ſubiecta recte ſociantur. Pronominis autem conſtructione, aſſequimur nos quidem rei naturam; at non item aſſequimur proprietatem inſitam poſitioni nominis. Perſpicuum eſt igitur, pronomina nominum loco eſſe: ſiquidem eorum percunctatione cognoſcuntur nomina propria: & vice verſa, nominũ propriorum percunctatione, pronomina ſubſtituũtur. At ſi ſolum ſumatur nomen interrogatiuũ *τίς*, poſſunt etiã reliqua verba conſtrui: *τίς περιπατεῖ; τίς ἀναγινώσκει;* in quibus ſi pronomine fiat reſponſio, altera non indiget amplius interrogatione; nempe ſi reſpondeamus *ego*, vel *iſte*: (certas enim perſonas indicant) at ſi nomine fiat reſpõſio, ea non erit ita definita, propter vocis ambiguitatem, quæ comitatur nomina. nam ſi reſpondeas *Αἴας*, ſequetur altera interrogatio *ὁπότερος*; propter vocis ambiguitatem, de qua paulo ante dixim*. Huic interrogationi iterũ occurrere poterimus, & afferre id quod priuatim alteri Aiaci attribuitur, adiecto etiam articulo, quemadmodum iam diximus; nempe illud, *ὁ μέγας*, vel *ὁ Τελαμώνιος*: vt *Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ*. Hoc autem ita fit non ſine valde probabili ratione: quoniam nomina adiectiua cum propriis enũtiata,

Il. π.

ζητουμένου τοῦ ὑποκειμένου. ταύτην γὰρ ἐπιζη- τῆμαν D μόνον αἱ ἀντωνυμίαι ἐμφαίνουσι, τῆς ὑπ' αὐτῶν δείξεως συνεξηγουμένης τὰ ἀδιά- ξεως παρεπόμενα. ἔνθεν ἐπὶ πολὺ ὑποκείμενον συλλείπουσι. διὰ μέντοι τῆς ἀντωνυμικῆς συντάξεως, τῆς μὲν οὐσίας ἐπιλαμβανόμεθα, τῆς δ' ἐπιφερούσης ἰδιότητος κατὰ τὴν τοῦ ὀνόματος θέσιν οὐκ ἔτι. Καὶ δῆλον ὡς ἀντὶ τῶν κυρίων ὀνομάτων εἰσὶν αἱ ἀντωνυμίαι· εἴγε διὰ τῆς ἐξ αὐτῶν πεύσεως τὰ κύρια νοεῖται· κἀκ τῆς τῶν κυρίων πάλιν τὰ ἀντωνυμικὰ ἀνθυπάγεται. εἰ μέντοι γε μόνον παραλαμβάνοιτο τὸ τίς, οἷόν τέ ἐστι καὶ τὰ ὑπόλοιπα ῥήματα συντάσσεσθαι· τίς περιπατεῖ; τίς ἀναγινώσκει; ἐφ' ὧν ἀνθυπαγωγὴ γινομένη, διὰ μὲν ἀντωνυμίας, οὐκέτι δέεται ἑτέρας πεύσεως. εἰ φαίημεν ἐγὼ ἢ οὗτος· ὡρισμένα γὰρ πρόσωπα ἐμφαίνει. ἐπὶ δὲ ὀνομάτων, διὰ τὴν παρεπομένην ὁμωνυμίαν, οὐκ ἐν τῷ αὐτῷ ὁρισμῷ ἀνθυπάγεται ἡ σύνταξις. φαμένου γάρ τινος Αἴας, ἀνθυπαχθήσεται ὁπότερος; διὰ τὴν προειρημένην ὁμωνυμίαν. ᾧ πάλιν ἀνθυπαχθήσεται τὸ ἰδίᾳ παρακολουθῆσαι τῷ ἑτέρῳ, καθὼς προείπομεν. μετὰ συντάξεως ἀρθρικῆς, τὸ, ὁ μέγας, ἢ ὁ Τελαμώνιος· Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι. πάνυ εὐλόγως· ἐπεὶ τὰ ἐπιθετικὰ μετὰ [τῶν] κυρίων ἐκφερόμενα,

σὺν ἄρ-

συνὼν ἄρθρῳ παραλαμβάνεται. ἰδιότον γάρ ἐστι τὸ ὅλον· Αἴας δ' ὁ Τελαμώνιος· Αἴας δ' ὁ Σαλαμίνιος. πάλιν γὰρ ἐκεῖ ἐδείξαμεν λείπειν τὸ ἄρθρον· Ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας. Μετὰ μέντοι προσηγορικῶν καὶ τῶν προειρημένων ῥημάτων, σύνταξις ἀρθρική ἐστι· τίς ὁ ἄνθρωπος καλεῖται; πάνυ εὐλόγως. πάλιν γὰρ τὸ τίς, τὸ ἴδιον ἐπιζητεῖ τοῦ ὀνόματος, τοῦ κοινοῦ προεγνωσμένου.

Μετὰ δὲ τῆς τῶν μετοχῶν καὶ τῶν κλητικῶν ῥημάτων ἐπιφορᾶς, αἱ προθέσεις τῶν ἄρθρων γίνονται, τοῦ λέγεται, ὀνομάζεται, καλεῖται· τίς ὁ παλαίσας λέγεται; τίς ὁ δραμὼν καλεῖται; τίς ὁ νικήσας ὀνομάζεται; εἰ γὰρ μὴ τῇδε ἔχοι, οὐδὲ τὸ ἄρθρον προσίεται· τίς δραμὼν ἐστεφανώθη; τίς παλαίσας ἐδοξάσθη; τίς ἀναγνοὺς ἐτιμήθη; καὶ πρόδηλος πάλιν ἡ αἰτία· εἴγε τὰ μὲν μετ' ἄρθρων εἰρημένα, γνῶσιν τούτου διὰ τῆς μετοχῆς ἐπαγγέλλεται, καθὸ μόνον ἐνήργησεν· οὐ μὴν τὴν ἰδίαν παρακολουθοῦσαν θέσιν τοῦ ὀνόματος. ἡ γὰρ δίχα τοῦ ἄρθρου σύνταξις λεγομένη, ζητεῖ τὸ πρόσωπον διὰ τοῦ τίς τὸ τῆς μετοχῆς. Ἐνθένδε οὖν συνάγεται, ὡς τὸ ἐρωμένη, ὀνοματικὴν ἔχει σύνταξιν. ἰδοὺ γάρ, χωρὶς [τοῦ] ἄρθρου φαμέν, ἐπιφερομένου ῥήματος τοῦ ὀνομάζεται, ἢ ἔστιν, ἤ τινος τῶν τοιούτων, τίς ἐρωμένη ἐστὶ Θέωνος; ὡς εἰ καὶ

ἡ διὰ τοῦ τίς, τὸ μ.

articulo ſociantur. nam ſi integra ſit oratio, erit huiuſmodi, Αἴας δ' ὁ Τελαμώνιος: Αἴας δ' ὁ Σαλαμίνιος. in illo enim carmine articulum deeſſe demonſtrauimus; Ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας. Il. μ.

Cum nominibus tamen appellatiuis, & verbis ſuperius memoratis, conſtruũtur articuli; τίς ὁ ἄνθρωπος καλεῖται; idque fit ratione admodũ conſentanea. rurſus enim nomẽ interrogatiuũ τίς quærit proprietatem nominis, cognito iam genere vniuerſo. Quod ſi participia, & verba vocandi ſubſequantur, λέγεται, ὀνομάζεται, καλεῖται, articuli præponuntur participiis; τίς ὁ παλαίσας λέγεται; τίς ὁ δραμὼν καλεῖται; τίς ὁ νικήσας ὀνομάζεται; nã niſi ita ſeſe habeant, ne articulus quidem participiis præponitur; τίς δραμὼν ἐστεφανώθη; τίς παλαίσας ἐδοξάσθη; τίς ἀναγνοὺς ἐτιμήθη; Itemque patet huius rei cauſa: ſiquidem participia, quæ cum articulis enunciata ſunt, actionis tantum quã egit quis, cognitionem profitentur, non propriam poſitionem nominis, quæ comes participii eſt: ea vero conſtructio, quæ caret articulo, quærit perſonam participii per nomen interrogatiuum τίς. Hinc efficitur, vocem ἐρωμένη nominis locum obtinere. nam ecce, ſine articulo dicimus ſubſequente verbo vel ὀνομάζεται, vel ἐστίν, vel alio eiuſmodi; τίς ἐρωμένη ἐστὶ Θέωνος; perinde ac

si dicas, τίς βουλή ἐστι Θέωνος; quod quidem (ut supra dictum est) in participio non subsequetur; τίς νικωμένη ἐστὶ Θέωνος; atqui dicemus cum articulo, & præpositione ὑπὸ iuncta cum genitiuo agente in eam quæ patitur, τίς ἡ νικωμένη ἐστὶν ὑπὸ Θέωνος; Contra vero, in illa constructione, ἐρωμένη (inquam) ἐστὶ Θέωνος, non adhibetur præpositio: quoniam oratio articulum non recepit. itaque ne reliquam quidem participii constructionem reddidit. Ποῖος autem, si cum nominibus appellatiuis construatur, subsequente verbo ἐστι, admittit articuli constructionem; ποῖος ὁ ἄνθρωπός ἐστιν; Quod si aliud verbum adiiciatur, articulus nō erit anteponendus nomini; ποῖος ἄνθρωπος ἐνίκησεν; Item cetera nomina interrogatiua eodem modo construuntur; πόσος ὄχλος ἐν τῇ ἀγορᾷ διατρίβει, πόσος ὄχλος ἐστὶν ἐν Ἀλεξανδρείᾳ; τηλίκος ἄνθρωπος ἐνίκησε τὰ ὀλύμπια; Atq; hæc ratio constructionis etiam cum articulo enuntiatur; πηλίκος ὁ παῖς; πηλίκος ὁ ἀνήρ ἐστιν; Neque est dubium quin propter verbum ἐστιν hoc ita fiat. Τίς vero & ποῖος, etiam cum genitiuis numeri multitudinis plane iunguntur enūtiatis cum articulo: (excipio pronominum genitiuos) τίς τῶν ἑταίρων παραγίνεται; τίς τῶν τειχῶν ὑπερμαχεῖ; & in nominibus propriis; πότερος τῶν Αἰάντων ἰσχυρότερος; in qua interrogatione

φαίη τις, τίς ἡ βουλή ἐστι Θέωνος; ὅπερ οὐ παρηκολούθησε, ὡς προείρηται, ἐν μετοχῇ, τίς νικωμένη ἐστὶ Θέωνος; μετὰ μέντοι τοῦ ἄρθρου, καὶ τῆς ὑπὸ προθέσεως, κατὰ γενικὴν τὴν συνιοῦσαν διὰ * οὐσίαν τὸ πάθος· οἷον, τίς ἡ νικωμένη ἐστὶν ὑπὸ Θέωνος; ἐφ' ἧς πάλιν συντάξεως οὐ παρείπετο· λέγω ἐπὶ τοῦ, ἐρωμένη ἐστὶ Θέωνος. ἅπαξ γὰρ ἡ σύνταξις οὐ παραδεξαμένη τὸ ἄρθρον, οὐδὲ τὴν ὑπόλοιπον σύνταξιν τῆς μετοχῆς ἀπεδίδου. Τὸ ποῖος, μετὰ προσηγορικῶν συνταττόμενον, ἡνίκα τὸ ἔστιν ἐπιφέρεται, ἐπιδέχεται σύνταξιν τὴν τοῦ ἄρθρου· ποῖος ὁ ἄνθρωπός ἐστιν; ἄλλου δὲ ῥήματος ἐπιφερομένου, ἀνέφικτος ἡ πρόθεσις τοῦ ἄρθρου· ποῖος ἄνθρωπος ἐνίκησε; Καὶ τὰ ὑπόλοιπα δὲ πευστικὰ, περὶ τὰς αὐτὰς συντάξεις γίνεται· πόσος ὄχλος ἐν τῇ ἀγορᾷ διατρίβει; πόσος ὄχλος ἐστὶν ἐν Ἀλεξανδρείᾳ; πηλίκος ἄνθρωπος ἐνίκησε τὰ ὀλύμπια; καὶ μετὰ τοῦ ἄρθρου ἡ τοιαύτη σύνταξις· πηλίκος ὁ παῖς; πηλίκος ὁ ἀνήρ ἐστι; πρόδηλον ὡς διὰ τὴν τοῦ ἐστι σύνταξιν. Τὸ τίς, τὸ ποῖος, καὶ ἐπὶ τὰς πλαγίας πληθυντικὰς φέρεται πάντως σὺν ἄρθροις λεγομένας· χωρὶς εἰ μὴ ἀντωνυμικαὶ εἴησαν· τίς τῶν ἑταίρων παραγίνεται; τίς τῶν τειχῶν ὑπερμαχεῖ; καὶ ἐπὶ τῶν κυρίων πότερος τῶν Αἰάντων ἰσχυρότερος; ἐφ' ὧν πάλιν ἡ προαποδε-

ἀποδεδομένη ἀνθυπαγωγὴ παραλαμβάνεται. καὶ [ἔτι] ἐπ᾽ ἀντωνυμιῶν· τίς ὑμῶν; πότερος ὑμῶν; πότερος αὐτῶν; πῶς οὖν οὐ γελοῖοι, οἱ καὶ τὸ ἄλλος ἀντωνυμίαν παραδεξάμενοι; ἰδοὺ γὰρ σὺν ἄρθροις φαμὲν, τίς τῶν ἄλλων ἀνθρώπων;

λη', Ὅτι τὰ ὀνόματα μετὰ τῶν ἐπιρρημάτων παραδέχονται ἄρθρα.

Τῶν προειρημένων συντάξεων αἱ μὴ δυνάμεναι τὰ ἄρθρα προσλαβεῖν, ἀμείψασαι τὸ πευστικὸν πύσμα, εἰς ἐπιρρηματικὸν, δεκτικαὶ γίνονται ἄρθρου· ποῖος ἄνθρωπος ἐνίκησε; πῶς ὁ ἄνθρωπος ἐνίκησε; τίς δραμὼν ἐνίκησε; πῶς ὁ δραμὼν ἐνίκησε; πόσος ὄχλος
Ἰλ. κ' παραγίνεται; πῶς ὁ ὄχλος παραγίνεται; Ἔστω οὖν καὶ ἡ τοιαύτη σύνταξις, ποῖαι τῶν Τρώων φυλακαὶ φυλάσσονται; καὶ κατὰ τὴν προκειμένην αἰτίαν μεταλαμβανέσθω τὸ ἐπίρρημα· καὶ πάντως ἄρθρον ἀπαιτήσει. πῶς αἱ τῶν Τρώων φυλακαὶ φυλάσσονται; †Τί οὖν οὐχὶ προσεπλωνέχθη [καὶ] ἐκεῖ πρὸς τοῦ Ἀριστάρχου· Πῶς δαὶ τῶν ἄλλων Τρώων; καὶ τοῦ λόγου ἀπαιτοῦντος τὸ ἄρθρον, καὶ τῆς φωνῆς ἐγκειμένης τοῦ ἄρθρου. πρὸς οἷς οὐ μόνον μετὰ τὸ πύσμα τὸ ἄρθρον ὀφείλει παραλαμβάνεσθαι, ἀλλὰ καὶ καθὸ αἱ γενικαὶ, μετὰ ἄρθρου λεγόμεναι, κατὰ σύνταξιν τὴν τῶν κτημάτων, ἔχουσι καὶ τὰ κτήματα σὺν ἄρθροις

rursus vtimur ea responsione, quæ superius tradita est. In pronominibus vero, sine articulo; τίς ὑμῶν, πότερος ὑμῶν; πότερος αὐτῶν; Quid igitur est, quamobrem non ridiculi existimentur, qui nomen ἄλλος vt pronomen acceperunt? nam ecce cum articulo dicimus, τίς τῶν ἄλλων ἀνθρώπων;

38, *Nomina cum aduerbiis iuncta admittere articulum.*

Ex superioribus vero constructionibus, quæ articulũ assumere non possunt, ex commutato nomine interrogatiuo cum aduerbio, possunt recipere articulum; ποῖος ἄνθρωπος ἐνίκησε; πῶς ὁ ἄνθρωπος ἐνίκησε; τίς δραμὼν ἐνίκησε; πῶς ὁ δραμὼν ἐνίκησεν; πόσος ὄχλος παραγίνεται; πῶς ὁ ὄχλος παραγίνεται; Ergo huc porerit referri etiam illa constructio, ποῖαι τῶν Τρώων φυλακαὶ φυλάσσονται; & loco nominis aduerbiũ sumatur ob eam causam, quã paulo ante attigimus. sic omnino cõstructio articulum postulabit; πῶς αἱ τῶν Τρώων φυλακαὶ φυλάσσονται, Cur igitur in illo carmine, Πῶς δαὶ τῶν ἄλλων Il. κ.
Τρώων φυλακαί τε καὶ εὐναὶ, non additur ab Aristarcho articulus? quamquam & ratio eũ exigat, & articuli vox insita non desideretur? Præterea non solùm post interrogationem articulus assumendus est, sed etiam in constructione possessiua post genitiuos. nam in huiusmodi constructione, genitiui cum articulo enuntiati, habẽt ipsam quoque rem possessam iunctam

articulo; αἱ τῶν Ἑλλήνων πόλεις ἐπανέστησαν τοῖς βαρβάροις. hic enim, si demas articulum αἱ, sensus intelligi non poterit: vterq; enim articulus est ad rem notam referendus. itaq; si desit articulus nominis πόλεις, oratio continebit τινὲς, (i. nomen significans *aliqua*) & rebellio nõ ad omneis, sed ad aliquas pertinebit; τῶν Ἑλλήνων τινὲς πόλεις ἐπανέστησαν. Eadem igitur erit ratio in illo carmine, Πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί. nam continet articulum. Apparet autem, Aristarchũ adductum fuisse, vt tolleret articulum, consuetudine Poetæ, qui solet articulis deficere, & interrogationibus adiicere con-
Od.α. iunctionẽ δαί: Τίς δαὶς, τίς δαὶ
Od.ν. ὅμιλος ὅδ' ἔπλετο; Ποῦ δαὶ νῆες ἔστηκε; nam hic rursus deest articulus secundum superiorem constructionẽ, & adest coniunctio δαί: desideratur autẽ articulus singularis ἡ. Perspicuum autẽ est, orationem dilucidiorem futuram fuisse, si huius constructionis ratio fuisset habita, & articulus defuisset, cõiunctio δαὶ mãsisset. ita enim Homeri institutum accuratius fuisset demonstratum. nam in aliis etiam exemplis licet eam recipere constructionem, quam ratio postulat, & tamen anteponitur ei consuetudo. ec-
Il. Λ. ce illud, Σὺ δ' ἥσσων Ἀθηναίῃ ἐπιτέλλαι. poterat dici ἐπίτελλαι, voce imperãdi, tono antepenultimę imposito: sed erant alia quædã exẽpla, quæ docebant voce infiniti modi legendum esse potius. ac, ne longius abeam, il-

λεγόμενα· αἱ τῶν Ἑλλήνων πόλεις, ἐπολέμησαν τοῖς βαρβάροις. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου· χρὴ γὰρ ἀμφότερα συναναφέρεσθαι. ἐπεί τοι, εἰ λείποι τὸ ἄρθρον τοῦ πόλεις, ἔσται ὁ λόγος περιλαμβάνων τὸ τινές· μερικωτέρας τῆς ἐπαναστάσεως γινομένης· τῶν Ἑλλήνων τινὲς πόλεις, ἐπολέμησαν. καὶ κατὰ τὸ τοιοῦτον ἄρα τὸ, Πῶς δαὶ τῶν ἄλλων Τρώων, ἄρθρον συνάξει. ἀλλὰ φαίνεται ὅτι τὸν Ἀρίσταρχον ἐκίνει τὸ ἔθιμον τοῦ ποιητοῦ· ὃς συνήθως μὲν ἐλλείπει τοῖς ἄρθροις, συνάπτει δὲ μετὰ τὰ πύσματα τὸν δαὶ σύνδεσμον· τίς δαὶς; τίς δαὶ ὅμιλος ὅδ' ἔπλετο; Ποῦ δαὶ ναῦς ἔστηκε; κατὰ γὰρ τὴν προειρημένην σύνταξιν, ἐπὶ τούτου πάλιν λείπει τὸ ἄρθρον· καὶ ἦν ἐγκείμενος ὁ δαὶ σύνδεσμος· λείποντος ἑνικοῦ ἄρθρου, λέγω τοῦ ἡ. καὶ σαφὲς ὅτι κατὰ τὴν τοιαύτην σύνταξιν, πρόδηλα τὰ τοῦ λόγου καθέστηκε· λέγω ἡ λῆψις μὲν τοῦ ἄρθρου, παράθεσις δὲ ἡ τοῦ δαὶ συνδέσμου. καὶ οὕτως ἀκριβέστερον τὸ Ὁμηρικὸν ἔθος ἀπεδείκνυτο. καὶ γὰρ ἐπ' ἄλλων τὸ δέον ἦν παραδέξασθαι, καὶ τὸ σύνηθες προὐκρίνετο· σὺ δ' ἥσσων Ἀθηναίῃ ἐπίτελλον. λέγω κατὰ προστακτικὴν ἐπιτ-λαι προφορὰν προπαροξυνών. ἀλλ' ἦν ἄλλα τινὰ, τὰ διδάσκοντα ἀπαρεμφάτως ἀναγνῶναι· εὐθέως ἐκ τοῦ παρα-κειμένου,

συνάξει·

κειμένου, [τοῦ,] πεφρᾶν δ' ὥς κεν Τρῶες· καὶ ἐκ τοῦ, τὰ δ' ἄποινα † δεδέχθαι· καὶ πλείστων ἄλλων. αἰτία δ' ἐστὶ τοῦ, τὰ πευστικὰ ἐπιρρήματα εὐπαράδεκτον ποιεῖσθαι τὴν τῶν ἄρθρων ἐπένθεσιν· καθὸ οὐκέτι τὰ συνόντα πτωτικὰ πάντως ἐν ἀγνοίᾳ ἐστίν. ἡ γὰρ ἐκ τῶν πυσμάτων ἄγνοια, ἐπιρρηματικὴ οὖσα, ἐπὶ τὰ ῥήματα φέρεται· εἴγε ὁ οὕτω λέγων, ποῖος ἄνθρωπος ἐνίκησε; τὸν μὲν ἄνθρωπον ἀγνοεῖ, τὸ δὲ πρᾶγμα κατελάβετο, ὅτι ἐνίκησεν. ὁ δὲ οὕτω λέγων, ὅτι, πῶς ὁ ἄνθρωπος ἐνίκησεν; ὁμολογεῖ μὲν εἰδέναι τὸν ἄνθρωπον, τὴν δὲ γινομένην πρᾶξιν εἰς τὸ νικῆσαι ἀγνοεῖ.

κατα-λαβὼν τὸ

λθʹ, Πότε ταῖς κτητικαῖς ἀντωνυμίαις τὰ ἄρθρα προστίθεται, καὶ πότε οὔ.

τμῆμα ιʹ

Ἑξῆς ῥητέον καὶ περὶ τῆς τῶν κτητικῶν ἀντωνυμιῶν συντάξεως. αὗται, προτασσόμεναι τῶν κτητικῶς νοουμένων ὀνομάτων, χωρὶς μὲν ἄρθρων, πλῆθος παρεμφαίνουσιν· ἐμὸς οἰκέτης προσῆλθε. καθὼς δὲ εἴπομεν, προσλαβοῦσαι ἄρθρον, ὡς μοναδικὴν κτῆσιν παρεμφαίνουσιν· ὁ ἐμὸς οἰκέτης παρεγένετο. διὸ καὶ λείπει τὰ τοιαῦτα ἄρθροις· Σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεός· περὶ ἑνὸς γὰρ τοῦ Ἀγαμέμνονος ἀποφαίνεται. πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθείς. μία γὰρ κτῆσις ἡ τῶν πατέρων. καὶ μᾶλλον τὸ ἑξῆς ἐστιν ὁ δὲ ἐμὸς πατὴρ, ὀϊσθείς. εἰ γὰρ προστεθείη μὲν τὸ ὄνομα, ἐπενεχθείη δὲ ἡ ἀντωνυμία, πάντως καὶ τὸ τῆς ὑπάρξεως ῥῆμα ἐπενεχθήσεται, βεβαίωσιν τῷ κτήτορι

προσ-τεθείη

lud proximum; Γέφραν δ' ὥς κεν Il. α. Τρῶες: & illud, τὰ δ' ἄποινα δέχθαι: Il. α. & alia plurima. Huius autē rei ratio illa est: Aduerbia interrogandi, admittunt facile articulos interpositos, quatenus nomina quibuscū sociātur, plane non ignorantur. nam ignoratio, quā præ se ferunt aduerbia interrogandi, ad verba spectat. exempli gratia, si dicas ποῖος ἄνθρωπος ἐνίκησεν; hominem ignoraueris, rem ipsam tenes, hoc est, quod vicit. at si dicas, πῶς ὁ ἄνθρωπος ἐνίκησε; fateberis te nosse hominem, at ignorare actionem, quam adhibuit vt vinceret.

38, *Quando vel adhibeantur, vel non adhibeantur articuli possessiuis pronominibus.*

Pars v.

Sequitur vt agamus de cōstructione pronominū possessiuorum. Hæc igitur, præposita nominibus quæ possessiue accipiuntur, si careant articulis, multitudinem indicant; ἐμὸς οἰκέτης προσῆλθε: si non careant, vnius tantum (quemadmodum iam diximus) possessionem significant; ὁ ἐμὸς οἰκέτης παρεγένετο. Itaque in illis deest articulus; Σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεός: Od. α. nam de vno Agamemnone loquitur. &, Πατὴρ δ' ἐμὸς αὐτίκ' Il. ι. ὀϊσθείς: vnica.n. est patris possessio. idque cernitur facilius in serie orationis non immutata, ὁ δὲ ἐμὸς πατὴρ ὀϊσθείς. nam si nomē antecedat, sequatur pronomen, verbum etiā substātiæ omnino subsequetur, quod rem possessam asserat

possessori; ὁ πατὴρ ἐμός ἐστιν: ὁ ἀγρὸς ἐμός ἐστιν. Quod si vice versa pronomen antecedat, reliqua etiam verba facile admitti poterunt; ὁ ἐμὸς πατὴρ βρέχει, νικᾷ, ὑβρίζει, ὑβρίζεται. Quod si exemplo illi, ὁ πατὴρ ἐμός ἐστιν, alterum præterea articulum addamus, oratio habebit eādem constructionem quam supra diximus. Exemplum prioris est, ὁ ἐμὸς πατὴρ φιλοσοφεῖ: alterius, ὁ πατὴρ ἐμός ἐστιν: tertii, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ: ὁ πατὴρ ὁ ἐμός ἐστιν. Aut igitur cōcedet quis, (vt diximus paulo ante) orationis consecutionem illam esse, ὁ δὲ ἐμὸς πατὴρ οἰηθείς: aut dabit alterius articuli interpositionem, ita vt articulus anteponatur pronomini ἐμός: ὁ δὲ πατὴρ ὁ ἐμὸς οἰηθείς. Illud autē tenendum est, constructionem, si ordiatur a pronomine, duos articulos admittere non posse; ὁ ἐμὸς ἀγρὸς, ὁ ἐμὸς δοῦλος: vt superius demonstratum est.

40, *De pronominibus possessiuis quæ sequuntur nomina, & eorum discrimine.*

At si constructio a nomine ordiatur, duos articulos recipiet; ὁ δοῦλος ὁ ἐμός: ὁ πατὴρ ὁ ἐμός: ὁ δοῦλος ὁ ἐκείνου. duo enim articuli, duas diuersas habēt relationes. nā in illo, ὁ δοῦλος, significatur nullum aliū esse quam illum iampridem cognitum: in illo vero, ὁ ἐκείνου, eum qui nō erat alterius domini, quam illius qui cognitus iampridem fuit: quemadmodum demonstrauimus in illo, ὁ πατὴρ ὁ ἐκείνου. Hinc fit, vt tres etiam articuli cum duobus nominibus sumantur, iuxta superiorem

δηλοῦν· ὁ πατὴρ ἐμός ἐστιν· ὁ ἀγρὸς ἐμός ἐστιν. εἰ μέντοι ἀναστραφείη ἡ ἀντωνυμία, [ἡ] ὑπόλοιπος χρῆσις τῶν ῥημάτων ἀπαράδεκτος· ὁ ἐμὸς πατὴρ βρέχει, νικᾷ, ὑβρίζει, ὑβρίζεται. εἰ δὲ καὶ τῷ, ὁ πατὴρ ἐμός ἐστι, προστεθείη μὲν ἕτερον ἄρθρον, ἔχοι ἂν τὴν αὐτὴν σύνταξιν τῇ προειρημένῃ. τοῦ μὲν προτέρου, ὁ ἐμὸς πατὴρ φιλοσοφεῖ· τοῦ δὲ δευτέρου, ὁ πατὴρ ἐμός ἐστι· τοῦ δὲ τρίτου, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ· ὁ πατὴρ ὁ ἐμός ἐστιν. ἢ δώσει τις οὕτως, ὡς ἔφαμεν, τὸ ἑξῆς εἶναι, ὁ δὲ ἐμὸς πατὴρ οἰηθείς· ἢ ἑτέρου πρόσθεσιν ἄρθρου περὶ τοῦ ἐμός, πάλιν τοῦ δὲ ὑπερβιβαζομένου· ὁ δὲ πατὴρ ὁ ἐμὸς οἰηθείς. Χρὴ δὲ γινώσκειν, ὡς ἡ ἀντωνυμικὴ σύνταξις ἀρξαμένη, ἀπαράδεκτός ἐστι δύο ἄρθρων· ὁ ἐμὸς ἀγρός· ὁ ἐμὸς δοῦλος· καθὼς πρόκειται.

μʹ, Περὶ τῶν τοῖς ὀνόμασιν ἐπιφερομένων κτητικῶν ἀντωνυμιῶν, καὶ τῆς τούτων διαφορᾶς.

Ἡ δὲ τοῦ ὀνόματος προκατάρξασα, δύο ἄρθρων ἐστὶ δεκτική· ὁ δοῦλος ὁ ἐμός· ὁ πατὴρ ὁ ἐμός· ὁ δοῦλος ὁ ἐκείνου· τῶν δύο ἄρθρων δύο ἀναφορὰς διαφόρους δηλούντων. ἐν μὲν γὰρ τῷ, ὁ δοῦλος, τοιοῦτόν ἐστιν, οὐκ ἄλλος ἢ ἐκεῖνος ὁ πάλαι νοούμενος. ἐν δὲ τῷ, ὁ ἐκείνου, ὃς οὐκ ἦν ἄλλου ἢ τοῦ ἔκπαλαι νοουμένου δεσπότου· καθὼς ἀπεδείξαμεν ἐν τῷ, ὁ πατὴρ ὁ ἐκείνου. καὶ ἔνθεν τρία ἄρθρα παραλαμβάνεται μετὰ δύο ὀνομάτων, κατὰ τὴν προειρημένην ἐπὶ δυσὶν ὀνόμασιν

ἀφωρισμένην τήρησιν· ὁ φίλος ὁ τοῦ ἀνθρώπου· διὰ μὲν τοῦ προτέρου, οὐκ ἄλλος ἢ ὁ προεγνωσμένος· διὰ δὲ τοῦ δευτέρου, οὐκ ἄλλου ἢ τοῦ προεγνωσμένου ἀνθρώπου· οὗ καὶ τὸ τρίτον ἐστὶν ἄρθρον. ἐν γοῦν τῷ, ὁ πατὴρ ὁ τούτου, οὐ προστίθεται τὸ οὗ, ἄρθρον· οὐδὲ (ἐπείπερ) ἐν τῷ, ὁ πατὴρ ὁ ἐκείνου· ἐπεί γε οὐ δύνανται αἱ τοιαῦται ἀντωνυμίαι, δεικτικαὶ οὖσαι, ἄρθρον ἀναδέξασθαι· καθὼς ἀπεδείξαμεν. ὁμοίως δὲ καὶ τὸ, ὁ πατὴρ ὁ ἐμὸς, (ἐπέχει) τῆς συντάξεως τὸν αὐτὸν ἔχει λόγον· τὸ γὰρ πρόσωπον τὸ τῆς ἀντωνυμίας, ὡς εἴπομεν, γενικῆς ἐστιν· † εἰς ἣν καὶ μεταλαμβάνεται ὁ πατήρ μου. Μὴ δὲ παραλελείφθω κἀκεῖνο, ὡς τὰ ἐπιτρέχοντα κτητικὰ τὴν τῶν προσηγορικῶν θέσιν, προσλαμβανόμενα κατ᾽ ἀρχὴν τοῦ λόγου ἄρθρον, ἐμποδίζει τὴν τοῦ ἑτέρου ἄρθρου παρείσδυσιν· οἷόν τε γάρ ἐστι φάναι, ὁ ἄνθρωπος ὁ ἀγαθὸς, οὐ μὴν, ὁ ἀγαθὸς ὁ ἄνθρωπος· ὁ δοῦλος ὁ ἐμὸς, οὐ μὴν, ὁ ἐμὸς ὁ δοῦλος· ὁ παῖς ὁ γράψας, οὐ μὴν, ὁ γράψας ὁ παῖς. καὶ σαφὲς ὅτι αἰτία ἐστὶ τοιαύτη· ἐπεὶ τὰ ἐπιθετικώτερον ἀκουόμενα, φέρεται ἐπὶ τὰ ὑποκείμενα· οὐ μὴν τὰ ὑποκείμενα, πάντως ἐπὶ τὰ ἐπιθετικά· εἴγε τὸ ἄνθρωπος, οὐκ ἐπιζητεῖ τὸ λόγιος, τό γε μὴν λόγιος, τὸ ἄνθρωπος. συμβαίνει δὲ καὶ τὴν συνήθη ἀναφορὰν ἐν τῷ, ὁ λόγιος, συμφέρεσθαι ἐπὶ τὸ ἄνθρωπος. καὶ ὡς οὐκ ἔστι προσθεῖναι μετὰ τὸ λόγιος, [τὸ αὐτὸ ἐπιθετικὸν λόγιος·]

obseruationē; ὁ φίλος ὁ τοῦ ἀνθρώπου: ac priore articulo significatur non alius amicus, q̃ qui antea cognit' fuit: altero vero, significatur homo nō ali' quam qui antea cognitus est, & cuius est amicus: ad quem pertinet etiā tertius articulus. At in illo, ὁ πατὴρ ὁ τούτου, nō additur articulus τοῦ: neq; in illo, ὁ πατὴρ ὁ ἐκείνου: quoniam huiusmodi ꝓnomina demōstratiua non possunt (quemadmodū iam docuimus) articulum admittere. Non dissimili ratione illud etiam, ὁ πατὴρ ὁ ἐμὸς, eandē constructionis rationē sequitur. etenim pronominis persona, (vt iam dictum est) patrii casus est: itaq; in eum etiam resoluitur; ὁ πατήρ μου. Illud etiam non est praetereundum, nomina, ꝓnomina, & participia, quae antecedunt nomina appellatiua, si sociata sint articulis, obstare, quin alteri articulo eó aditus pateat. licet enim dicere, ὁ ἄνθρωπος ὁ ἀγαθὸς, at non item, ὁ ἀγαθὸς ὁ ἄνθρωπος: ὁ δοῦλος ὁ ἐμὸς, at non ὁ ἐμὸς ὁ δοῦλος: ὁ παῖς ὁ γράψας, at non ita, ὁ γράψας ὁ παῖς. Causa istius rei perspicua est: Nomina adiectiua, feruntur ad propria, & appellatiua, quae eis subiecta sunt: at non viceuersa, propria & appellatiua nomina, feruntur omnino ad ea quae adiectiua sunt. siquidem nomen ἄνθρωπος, nō ita requirit adiectiuum λόγιος: at λόγιος requirit omnino substātiuum ἄνθρωπος. Accidit simul, vt relatio, q̃ est cum adiectiuo nomine ὁ λόγιος, referatur ad nomē ἄνθρωπος. & quēadmodum non licet addere post λόγιος, idē adiectiuū λόγιος;

ita etiam post illud ὁ λόγιος ἄνθρωπος, non licet alterum addere articulum. nam qui requirebatur, additus est adiectiuo iuncto cum nomine proprio vel appellatiuo.

41, *Quando iungatur articulus etiam cum reliquis casibus.*

Trypho ait, articulum ὁ præponi ceteris etiã casibus obliquis, sequẽte participio, & pronomine σός, cũ verbo substantiæ ἐστίν: ὁ τὸν ἄνθρωπον ὑβρίσας, σός ἐστιν. Sed nihil obstat, addere illud quod magis vniuersale est, eum præponi etiam cuilibet nominatiuo, & verbis vel nũcupatiuis, vel substantiæ: vt, ὁ τὸν ἄνθρωπον ὑβρίσας, Θέων ὀνομάζεται: ὁ τὸν ἄνθρωπον λακτίσας, ἵππος ἐστίν: ὁ τὸν ἄνθρωπον ὑβρίσας, ἐγώ εἰμι: & causam exponere, quæ est huiusmodi. Casus obliqui, construuntur cum nominatiuis verbo interposito, cuius actio a nominatiuo adiacente transit ad obliquum: τὸν ἄνθρωπον ὕβρισε Θέων: τὸν ἄνθρωπον ἐλάκτισεν ἵππος. In qua cõstructione si addamus articulum ante nominatiuũ inclusum, oratio permanebit congrua; τὸν ἄνθρωπον ὕβρισεν ὁ Θέων· τὸν ἄνθρωπον ἐλάκτισεν ὁ ἵππος: verum si eum addamus ante accusatiuum, oratio non erit congrua; ὁ τὸν ἄνθρωπον ὕβρισε Θέων. articulus enim a suo nominatiuo disiunctus, facit orationem vitiosam. itaque verbum fit participium; ut articulo reddat & rectũ casum,

οὕτως οὐδὲ μετὰ τὸ ἐν τῷ ὁ λόγιος ἄνθρωπος, ἕτερον ἄρθρον. προσεγένετο γὰρ διὰ τοῦ συνόντος ἐπιθέτου.

μα΄, Πότε καὶ ταῖς ἄλλαις πλαγίαις συντάσσεται τὸ ἄρθρον.

Τρύφων φησί, προτάττεσθαι καὶ τῶν ἄλλων πλαγίων τὸ ἄρθρον, τὸ ὁ, μετοχῆς ἐπιφερομένης, καὶ τῆς σοῦ ἀντωνυμίας, μετὰ ῥήματος τοῦ ἐστιν· ὁ τὸν ἄνθρωπον ὑβρίσας, σός ἐστιν. [illegible] οὐδὲν δὲ κωλύει καθολικώτερον φάναι, καὶ εὐθείας οἵας δήποτε, ῥημάτων τε τῶν ὕπαρξιν σημαινόντων ἢ ὀνοματικῶν, ἢ οὐσιώδη· ὁ τὸν ἄνθρωπον ὑβρίσας, Θέων ὀνομάζεται· ὁ τὸν ἄνθρωπον λακτίσας, ἵππος ἐστίν· ὁ τὸν ἄνθρωπον ὑβρίσας, ἐγώ εἰμι. ἐπεξεργάζεσθαί τε τὴν αἰτίαν οὕτως ἔχουσαν. αἱ πλάγιαι συντάσσονται ταῖς εὐθείαις, μεταξὺ πίπτοντος ῥήματος· οὗ τὰ τῆς διαθέσεως, ἐπὶ τὴν πλαγίαν μέτεισιν ἐκ τῆς συνούσης εὐθείας· τὸν ἄνθρωπον ὕβρισε Θέων· τὸν ἄνθρωπον ἐλάκτισεν ἵππος. ἐφ᾽ ἧς δὴ συντάξεως εἰ προσθείημεν τὸ ἄρθρον περὶ τῆς ἐγκειμένης εὐθείας, μένει τὰ τοῦ λόγου κατάλληλα· τὸν ἄνθρωπον ὕβρισεν ὁ Θέων· τὸν ἄνθρωπον ἐλάκτισεν ὁ ἵππος. εἰ μέντοι περὶ τῆς αἰτιατικῆς, οὐ γενήσεται τὰ τοῦ λόγου κατάλληλα· ὁ τὸν ἄνθρωπον ὕβρισε Θέων. τὸ γὰρ ἄρθρον, ἀποστὰν τῆς εὐθείας, τὸν λόγον διαφθείρει· καὶ ἔνθεν τὸ ῥῆμα μετοχὴ γίνεται, ἵνα ἀποδῷ τῷ ἄρθρῳ καὶ τὴν ὀρθὴν πτῶσιν,

καὶ τὸ

καὶ τὸ ἀρσενικὸν γένος. καὶ ἐπεὶ ἀδύνατόν ἐστι δίχα ῥήματος λόγον συγκλείεσθαι, παραλαμβάνεται [ῥῆμά] τι τῶν ὕπαρξιν δηλούντων, ἵνα τὴν τοῦ δράσαντος προσώπου διάθεσιν δηλώσῃ· ἐπεὶ καὶ προσώπων ἡ μετοχὴ ἄμοιρος· ὁ τὸν ἄνθρωπον ὑβρίσας, Τρύφων ἐστίν, ἢ Τρύφων ὀνομάζεται. καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, αὐτὸ μόνον τὸ ἐστιν, ἢ ἔγκλιμα τούτου, παραλαμβάνεται· οὗτος ἐστίν, ἢ, οὗτος ὤν· ἐγώ εἰμι, σὺ εἶ. οὐσίας γὰρ μόνης εἰσὶ σημαντικαὶ αἱ ἀντωνυμίαι, ὅπερ σημαίνει τὸ εἰμί· τοῖς δὲ ὀνόμασι, τὸ ὀνομάζεται, καὶ τὰ σύζυγα· ἐπεὶ τῶν ὀνομάτων ἴδιον τὸ ὀνομάζεσθαι ἢ καλεῖσθαι· ὁ τὸν ἄνθρωπον ὑβρίσας, Τρύφων λέγεται, ἢ καλεῖται. Οὐχὶ οὕτω καὶ τὸ ἐστὶ συντάσσεται πάνυ εὐλόγως· ἐπεὶ ἐνυπάρχει τοῖς μὲν ὀνομαζομένοις, τὸ οὐσιῶδες· οὐ μὴν τοῖς οὐσιώδεσιν, ἡ ἰδία διάθεσις τῶν ὀνομάτων. οὐ γὰρ εἰ οὗτος, πάντως καὶ Ὀδυσσεύς· εἰ δέ τις Ὀδυσσεὺς, πάντως καὶ οὗτος· Οὗτος δ' αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεύς. Αἱ τοιαῦται συντάξεις ἐγχωροῦσι καὶ ἐπὶ γενικῶν, καὶ ἐπὶ δοτικῶν· τῶν γενικῶν ἐξαίρετον ἐχουσῶν τὸ, καὶ μετοχῆς μὴ ἐπιφερομένης, παραλαμβάνειν ἄρθρον· ὃ [καὶ] πάντως φέρεται ἐπὶ τὸ κτῆμα, ὃ ἐξ αὐτῆς μόνης νοεῖται. διὸ καὶ ἐξαίρετον ἔχει τὴν σύνταξιν· ὁ τοῦ ἀνθρώπου οἰκέτης ἔδραμεν. εἰ γὰρ μὴ τῇδε

ὀνυπάρχει D.

ἔχει

& genus masculinū. Et quoniam fieri non potest vt sine verbo claudatur oratio, assumitur verbum aliquod vel substantiæ, vel nuncupatiuū, quod affectionem agentis personæ indicet: siquidē participium etiam personarum expers est: ὁ τὸν ἄνθρωπον ὑβρίσας, Τρύφων ἐστίν, vel Τρύφων ὀνομάζεται. Et cum pronominibus ipsum tantummodo ἐστίν, vel verbum ab eo inclinatū, assumitur; οὗτος ἐστίν, vel οὗτος ὤν: ἐγώ εἰμι, σὺ εἶ. nam pronomina significant solam substantiam, quam etiam verbum εἰμὶ significat. at cum nominibus verbum nuncupatiuum iungitur, ὀνομάζεται, & alia eiusdem significationis: quandoquidem proprium nominum illud est, nuncupari, vel vocari; ὁ τὸν ἄνθρωπον ὑβρίσας, Τρύφων λέγεται, vel καλεῖται. Ergo verbum ἐστὶ non iungitur admodum consentanee cum nominibus. nominibus enim inest vna substantia, at substantiis non item inest propria nominū affectio. nam non, si *iste* est, continuo etiam *Vlysses* est: at si quis *Vlysses* est, is continuo fuerit etiam *iste*: Οὗτος δ' αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς. Il. γ. Huiusmodi constructiones, habēt locum etiam in genitiuis & datiuis. Ac genitiui, habent illud quidem sibi eximium, vt articulum assumant etiam non subsequente participio, qui refertur omnino ad rem possessam, quæ percipitur ex ipso tantum genitiuo. itaque haber constructionem eximiam, ὁ τοῦ ἀνθρώπου οἰκέτης, ἔδραμεν. nam nisi sic se

habeat genitiuus, sed ad verbum tantummodo feratur, ne assumit quidē articulum; ἀνθρώπου ἀκούω, ἀγροῦ δεσπόζω.

42, Quando duo nomina duos articulos assumant, & quando vnum tantum.

Cum duobus autem articulis enuntiatur genitiuus in appellatiuis nominibus, iuxta eam cōstructionem quā supra exposuimus; τὸ τῆς ἐλάφου ἔκγονον: ὁ τοῦ ἀνθρώπου υἱός: in nominibus autem propriis, deficit alter articulus, & nomen proprium sine suo articulo dicitur; ὁ Ἀριστάρχου γνώριμος: ὁ Ἀπολλωνίου φίλος. atque istam cōstructionem sequitur nomen βασιλεύς, quasi esset proprium: dicimus enim ὁ βασιλέως οἰκέτης παρεγένετο: quamquam cetera nomina appellatiua facile admittunt articulum. Ac fortasse appellatiua nomina non sine ratione probabili duos postulant articulos. neq; enim rationi consentaneum videtur, rem possessam referri, possessorem ante non referri. nam aut vtrumque coniungetur sine articulo; vt λέοντος σκυμνίον ἔδραμεν: aut vtrūque articulo sociatum erit, τὸ τοῦ λέοντος σκυμνίον ἔδραμεν. Nomina vero propria, non ita indigent articulo; propterea quod spōte sua recognoscūtur. Eā ob causam receptum in vsum illud, ὁ βασιλέως οἰκέτης: quatenus nomen ὁ βασιλεὺς est potestate propriū: intelligitur enim ex eo qui rerum potitur, ὁ Πτολεμαῖος: atq; adeo est magis peculiare quàm nomen Ptolemaei.

ἔχοι, ἐπὶ ῥῆμα δὲ φέροιτο, οὐδὲ προσλαμβάνει τὸ ἄρθρον· ἀνθρώπου ἀκούω· ἀγροῦ δεσπόζω.

μβ΄, Πότε ἐν δυσὶν ὀνόμασιν δύο ἄρθρα παραλαμβάνεται, καὶ πότε ἕν.

Σὺν δυσὶ δὲ ἄρθροις λέγεται ἐν προσηγορικοῖς, καθ' ἣν προεκτεθείμεθα σύνταξιν· τὸ τῆς ἐλάφου ἔκγονον· ὁ τοῦ ἀνθρώπου υἱός. μετὰ δὲ κυρίων, τὸ ἓν ἐκλείπει, καὶ τὸ κύριον χωρὶς τοῦ ἰδίου ἄρθρου λέγεται· ὁ Ἀριστάρχου γνώριμος· ὁ Ἀπολλωνίου φίλος. καὶ κατὰ τὸ τοιοῦτον, κυρίου σύνταξιν ἀποφέρεται τὸ βασιλεύς. φαμὲν γάρ, ὁ βασιλέως οἰκέτης παρεγένετο· τῶν ἄλλων προσηγορικῶν † εὐπαραδέκτων ὄντων. καὶ [μή] ποτε εὐλόγως τὰ προσηγορικὰ δύο ἄρθρα αἰτεῖ. οὐ γὰρ † εὐδεκτον ἀναφέρεσθαι κτῆμά τινος, τοῦ κτήτορος μὴ οὐχὶ προαναφερομένου. ἢ γὰρ ἀμφότερα χωρὶς ἄρθρου, λέοντος σκυμνίον ἔδραμεν· ἢ ἀμφότερα συνενεχθήσεται, τὸ τοῦ λέοντος σκυμνίον ἔδραμεν. τὰ μέντοι κύρια, διὰ τῆς ἰδίας θέσεως ἀναπολούμενα, οὐχ οὕτω προσδέεται τοῦ ἄρθρου. ταύτῃ τοι δοκεῖ εὐπαραδέδεκτον γίνεσθαι καὶ τό, ὁ βασιλέως οἰκέτης· καθὸ δυνάμει κύριόν ἐστιν ὄνομα τό, ὁ βασιλεύς. νοεῖται γὰρ ἐκ τοῦ ἐπικρατοῦντος ὁ Πτολεμαῖος· καὶ μᾶλλόν γε ἰδιάζεται τοῦ Πτολεμαίου· εἴγε

μαι ἴσ. ἀπροσδέκτων D.

ὁμώνυμοι

ὁμώνυμοι μέν, Πτολεμαῖοι· εἷς δέ, εἰς ὃν τὰ τῆς βασιλείας ἀνῃνέχθη. Ἔστι δὲ καὶ ἑτέρα σύνταξις μετοχική, μετὰ ἀπαρεμφάτου ῥήματος, καὶ τῆς ὑπολοίπου συντάξεως, ἣν προεκτεθείμεθα· ὁ τὸν ἄνθρωπον θέλων ὑβρίσαι, Σωκράτης ἐστί. [καὶ] καθόλου ἡ τῶν προαιρετικῶν ῥημάτων σύνταξις, εἰς μετοχὴν μεταλαμβανομένη, οὕτω καθίστησι τὸν λόγον. διότι μέντοι τὰ προαιρετικὰ ῥήματα ἐξαιρέτως ἀπαιτεῖ ἀπαρεμφάτων σύνταξιν, κατὰ τὸν δέοντα καιρὸν παραστήσομεν. Κατὰ δὴ τὰς προειρημένας συντάξεις, ἡ ἑκὼν μετοχή, ἀποστήσεται τῆς τῶν μετοχῶν ἐννοίας. οὔτε γὰρ μετὰ ἀπαρεμφάτου συγκλείει λόγον, οὔτε χωρὶς ἀπαρεμφάτου· ὁ τὸν ἄνθρωπον ἑκὼν ὑβρίσας, Σωκράτης ἐστί.

χωρὶς μετοχῆς

καὶ γὰρ χωρὶς τοῦ ἀπαρεμφάτου, ἀκατάλληλος ὁ λόγος. εἴρηται [δὲ] ἡμῖν ἀκριβέστερον ἐν τῷ περὶ μετοχῶν ἡ αἰτία τῆς καταλληλότητος.

μγ΄. Περὶ συντάξεως ὑποτακτικῶν ἄρθρων.

τμῆμα ς΄

Ἑξῆς ῥητέον καὶ περὶ τῶν ὑποτακτικῶν ἄρθρων· ἅπερ οὐ μόνον τάξει καὶ φωνῇ διαφέρει τῶν προτακτικῶν, ἀλλὰ καὶ ἐν τῇ συντάξει πάνυ διαφέρει. καὶ πρόδηλα μὲν τὰ διάφορα τῆς φωνῆς καὶ τῆς τάξεως, [δυσχερέστερα δὲ τὰ τῆς συντάξεως·] περὶ ἧς καὶ προαιρούμεθα ἐκθέσθαι. Τὰ προτακτικὰ τῶν ἄρθρων, συνοδεύει τοῖς ὀνόμασιν εἰς τὸ αὐτὸ ῥῆμα, καὶ εἰς τὴν [αὐτὴν] μετοχήν·

siquidem plures Ptolemaei cognomen idem habent, vnus autem est ad quem pertinet regnum. Praeterea est altera quoque constructio participii cum infinito verbi, & reliquis orationis partibus, quae erant in superiore constructione; ὁ τὸν ἄνθρωπον θέλων ὑβρίσαι, Σωκρ. ἐστιν. omnino enim in orationis cõstructione verba voluntatem delectumq; significantia, si transeant in participiũ, talem constituunt orationem. cur autem huiusmodi verba peculiariter postulẽt constructionẽ infiniti modi, causam huius rei suo loco afferemus.

Patet ergo ex superioribus constructionibus, vocabulũ ἑκὼν participii sensum nõ habere. nam neq; cum infinito absolutã efficit orationem, neque sine infinito; ὁ τὸν ἄνθρωπον ἑκὼν ὑβρίσας, Σωκρ. ἐστιν. etenim sine infinito, incongrua oratio est. causa vero *cõgruę istius orationis a nobis explicata est in libro De participiis. *congruitatis

43. De constructione articuli subiunctiui.

Consequẽs est, vt de subiunctiuis etiam articulis agamus; qui a praepositiuis non solum ordine & voce differunt, verum etiam in cõstructione magnum discrimen habent. quamquam vocis & ordinis discrimen facile cognitu est: at ratio cõstructionis, difficilior est: de qua iam explicare statuimus. Pars VI. Articuli qui praeponuntur nominibus, comitãtur ea ad idem verbũ, ad idemq; participiũ;

ἄνθρωπος περιπατεῖ· ἀνθρώπου ᾄδοντος ἤκουσα. ἔτι σὺν ἄρθρῳ· ὅπερ ἀδύνατον ἐγχωρῆσαι ἐν τῷ ὑποτακτικῷ· λέγω κατὰ τὴν μίαν σύνταξιν. ἑτέρου γὰρ [πάντως] ῥήματος παρέμπτωσιν αἰτεῖ· ἦλθε γραμματικός, ὃς διελέξατο, ὃς ἀνέγνω. κἂν ἐν μεταβάσει γένηται τὰ τοῦ ῥήματος· λέγω ἐν ἑτέρῳ προσώπῳ· ἀνθρώπῳ ὡμίλησα, ᾧ παρέσχον ξενίαν. Εἰ μέντοι τις τῇ προκειμένῃ συντάξει προσθῇ τὰ προτακτικὰ ἄρθρα, ἀσύστατος ὁ λόγος γενήσεται· ὁ γραμματικὸς ἦλθε, διελέξατο· τῷ ἀνθρώπῳ ὡμίλησα, παρέσχον ξενίαν· χωρὶς εἰ μὴ συμπλεκτικὸν σύνδεσμον λάβοιεν, δυνάμενον εἰς κοινότητα τοῦ ἀνθρώπου παραλαμβάνεσθαι· καὶ πρῶτον ὅτι τὸ καὶ, ἤ τινα τῶν οὕτως ἰσοδυναμούντων· ὡς ἀκριβέστερον ἐντελῶς ἐπεδείξαμεν ἐν τῇ τῶν συνδέσμων συντάξει. καθίσταται γοῦν οὕτως, ὁ γραμματικὸς παρεγένετο, καὶ διελέξατο· τῷ ἀνθρώπῳ ὡμίλησα, καὶ παρέσχον ξενίαν.

Καὶ φυσικώτερόν πως ἐστὶ τὸ ποιεῖν τοῦτο ἐπινοῆσαι. ὡς ἔφαμεν, τὸ ὑποτακτικὸν ἄρθρον, ἐπὶ ῥῆμα ἴδιον φέρεται, συνδεδεμένον διὰ τῆς ἀναφορᾶς τῷ προκειμένῳ ὀνόματι· καὶ ἐντεῦθεν ἁπλοῦν λόγον οὐ παρειστάναι, κατὰ τὴν τῶν δύο ῥημάτων σύνταξιν· λέγω τὴν ἐν τῷ ὀνόματι, καὶ τὴν ἐν αὐτῷ τῷ ἄρθρῳ. ὥσπερ πάλιν παρείπετο τῷ καὶ συνδέσμῳ. κοινὸν μὲν παρε-

ἐνικὴν: Soph. τὴν αὐτὴν

ποιοῦν τοῦ ἐπινοῆσαι.

ὅπερ D.

ἄνθρωπος περιπατεῖ, ἀνθρώπου ᾄδοντος ἤκουσα: & cum articulo, ὁ ἄνθρωπος περιπατεῖ, τοῦ ἀνθρώπου ᾄδοντος ἤκουσα. In subiunctiuis vero, id minime fieri licet; in vna eademque inquam constructione. alterius enim verbi omnino interuentum articulus subiunctiuus postulat; ἦλθε γραμματικός, ὃς διελέξατο, ὃς ἀνέγνω: etiam si verbum ad aliam personam transeat; ἀνθρώπῳ ὡμίλησα, ᾧ παρέσχον ξενίαν. Quod si in proposita constructione deleras articulos præpositiuos solos absque subiunctiuis, oratio non fuerit connexa; ὁ γραμματικὸς ἦλθε διελέξατο: ἀνθρώπῳ ὡμίλησα, παρέσχον ξενίαν: nisi forte copulatiuam coniunctionem assumpserint, quæ sensum cõsequentem cum persona antecedente communicare valeat: nimirum καὶ, aut aliquam aliam eiusdem potestatis; sicuti accuratius atque absolutius demonstrauimus, cum de coniunctionum egimus constructione. connexa vero fuerit oratio hunc in modum; ὁ γραμματικὸς παρεγένετο, καὶ διελέξατο: τῷ ἀνθρώπῳ ὡμίλησα, καὶ παρέσχον ξενίαν. Causa autem quæ efficit vt hoc intelligamus, naturalis quædam est. nã articulus (vt diximus) subiunctiuus, fertur ad suum verbum, connexus relatione cum antecedente nomine. Hinc fit, vt simplicem orationem non adnectat, propter constructionem duplicem verborum; alteram, nominis; alteram, articuli relatiui. id quod etiam coniunctioni καὶ accidit: quæ nomen antecedens assu-

λάμβανε

λάμβανε τὸ ὄνομα τὸ προκείμενον· συμπλέκον δὲ ἕτερον λόγον, πάντως καὶ ἕτερον ῥῆμα παρελάμβανε. καὶ οὕτω τὸ, παρεγένετο ὁ γραμματικὸς, ὃς διελέξατο, δυνάμει τὸ αὐτὸν ἀποτελεῖ, τοῦ, ὁ γραμματικὸς παρεγένετο, καὶ διελέξατο· ἐγγιζούσης καὶ τῆς ὀνομασίας τῶν μορίων. τὸ γὰρ συνηρτῆσθαι καὶ συνδεδέσθαι, οὐ μακρὰν τῆς συνωνυμίας πέπτωκεν.

Ἔστι δὲ καὶ ἄλλη σύνταξις, ἰσοδυναμοῦσα τῇ ὑποτακτικῇ συντάξει τῶν ἄρθρων, ἡ διὰ τῶν ἀναφορικῶν ἀντωνυμιῶν· ἀνθρώπῳ ὡμίλησα, καὶ αὐτῷ παρέσχον ξενίαν· ὁ γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο. πάλιν γὰρ ἡ ἐγκειμένη ἀναφορὰ ἐν τῷ ἄρθρῳ, συνυπῆρχε ταῖς τοιαύταις ἀντωνυμίαις. καὶ ἔνθεν τὰ τοῦ λόγου καθίσατο ἐγγίζοντα ἐν αὐτῷ. Οὐχὶ [τοῦτο] οὖν ὑπολάβοι τις ὑφ' ἓν μέρος λόγου πίπτειν τὰ μόρια. οὐ πάντως. οὐ γὰρ, ὅτι τὸ παρεπόμενον τοῖς ἄρθροις ἀπηνέγκαντο, καὶ ἄρθρα ἐστίν· εἴγε καὶ ἄλλοις διαφόροις διέστηκε [τὰ] μόρια. καὶ γὰρ τὰ ῥήματα τὸ εὔχρηστον τῆς κατ' εὐθεῖαν ἀντωνυμιῶν ἀπηνέγκαντο· καὶ οὐ πάντως ἓν μέρος λόγου. πάλιν γὰρ τὰ αὐτὰ πολλοῖς διέστηκεν ἰδιώμασιν. ἀλλὰ καὶ προεκτεθείμεθα, ὅτι ἀντὶ τῶν ὑποτακτικῶν ἄρθρων, ἀθροιστικὸς σύνδεσμος παραλαμβάνεται· καὶ οὐχὶ ἓν μέρος λόγου, οἱ ἀθροιστικοὶ σύνδεσμοι καὶ τὰ ἄρθρα.

e αὐτὰ

mit sibi cõmune: ei vero alteram orationem adnectẽs, cogitur alterum etiam verbũ assumere. atq; ita illa oratio, παρεγένετο ὁ γραμματικὸς, ὃς διελέξατο, eadem fiet potestate atque illa, ὁ γραμματικὸς παρεγένετο, καὶ διελέξατο: præsertim cum particularum appellatio affinitatem quandam habeat. nam coagmentatio, & copulatio, synonyma vocabula fere sunt. Est præterea alia constructio, quæ idem valet atq; constructio articuli subiunctiui, quę fit relatiuis pronominibus; τῷ ἀνθρώπῳ ὡμίλησα, καὶ αὐτῷ παρέσχον ξενίαν: ὁ γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο. nam hic etiam relatio quæ erat in articulo, eadem his quoq; pronominibus inest: atque ita oratio connectitur propter affinitatẽ istiusmodi. Neq; tamen quis existimauerit, particulas istas propterea sub eandem orationis partem cadere. nullo prorsus modo. neq; enim si, quod accidit articulis, mutuatæ sunt; continuo articuli etiam ipsæ sunt: siquidem sunt dissimiles etiam propter alia discrimina. nam verba quoq; mutuantur vsum nominatiui ꝓnominum; nec propterea vna eademque pars orationis sunt. nam ipsa quoque multis proprietatibus distant a pronominibus. Præterea superius exposuimus, copulatiuam coniunctionem assumi pro articulo subiunctiuo: quamquam non vna eademque pars orationis sit articulus & copulatiua cõiunctio.

atq; etiam pronomina in eadem cōstructione adhibentur, nisi intercedat coniunctio; vt, γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο. Hic patet, si coniunctionem subduxeris, orationem fore obscurā, & perceptu difficilem. adde etiam, quod ipsa persona potest habere demōstrationē; γραμματικὸς παρεγένετο, & οὗτος διελέξατο: demōstratiue inquā. Item in relatiuo pronomine αὐτὸς, personæ excellentiam habet; γραμματικὸς παρεγένετο, & αὐτὸς διελέξατο: quasi diceres *herus, dominus*. Quod si in cōstructione quę habet subiunctiuum articulum, adiunxeris etiam coniunctionem, dubio procul articulus, qui habet insitam copulationē, non referet nomen præcedens, sed quoddam aliud, qđ infiniti vim habeat; ἀνθρώπῳ ὡμίλησα, & ᾧ ξενίαν παρέσχον. Quid est igitur cur quis opinionem illorū approbet, qui putant articulos atq; pronomina sub eandem orationis partē cadere; cum tantum sit discriminis inter eas partes?

44. *De discrimine articulorū qui præponuntur, & eorum qui nominibus subiunguntur.*

Præterea articuli subiunctiui, quamquam diuersum habent casum a nominibus quibus subiunguntur, & ad quæ referuntur; tamen non efficiunt orationem incongruam; ἄνθρωπος ἦλθεν, ὃν ἐξένισα: φίλου ἤκουσα, ᾧ καὶ πρώην ξυνέβαλον. & post rectum nominis casum aduectitur obliquus, cum genus verbi per-

ἀλλ' οὐδὲ κατὰ τὴν αὐτὴν σύνταξιν συμφέρονται αἱ ἀντωνυμίαι. αὗται γὰρ πάλιν τὸν σύνδεσμον· γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο. πρόδηλοι [οὖν] ὅτι, εἰ ὑφέλοι τις τὸν σύνδεσμον, ἀσύνετα τὰ τοῦ λόγου γίνεται. πρὸς οἷς καὶ δύνανται καὶ δεικτικώτερον αὐτὸ τὸ πρόσωπον νοεῖσθαι· γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο· λέγω δεικτικῶς. καὶ ἔτι ἐπὶ τοῦ αὐτὸς ἀναφορικῆς, τὸ κατ' ἐξοχὴν πρόσωπον νοούμενον· γραμματικὸς παρεγένετο, καὶ αὐτὸς διελέξατο· ὡς εἴ τις οὕτως λέγοι, ὁ δεσπότης, ὁ κύριος. Εἰ μέντοι τῇ ἀρθρικῇ συντάξει ἐπενθείη τις τὸν σύνδεσμον, σαφὲς ὅτι ἐπιστάμενον τὸ ἄρθρον τὸ συνηρτῆσθαι, [ἴσ. ἀφισάμενον τὸ ἄρθρον τοῦ συνηρτῆσθαι D.] οὐκ ἀνοίσει τὸ προκείμενον ὄνομα, ἀλλὰ δέ τι, καὶ ἀοριστῶδες νοούμενον· ἀνθρώπῳ ὡμίλησα, [καὶ] ᾧ ξενίαν παρέσχον. Πῶς οὖν, τοσαύτης διαφορᾶς οὔσης, παραδέξεταί τις τὸ ὑφ' ἓν μέρος λόγου ὑπάγειν τὰ ἄρθρα καὶ τὰς ἀντωνυμίας;

μδʹ, Περὶ διαφορᾶς τῶν ἐν τοῖς προτακτικοῖς πρὸς τὰ ὑποτακτικά.

Ἔτι τὰ ὑποτακτικὰ ἄρθρα, οὐκ ἀδιαφορεῖ πρὸς τὸ κατάλληλον τῆς πτώσεως τῶν προτασσομένων αὐτῶν ὀνομάτων, πρὸς ἃ καὶ ἀναπέμπει τὴν ἀναφοράν· ἄνθρωπος ἦλθεν, ὃν ἐξένισα· φίλου ἤκουσα, ᾧ καὶ πρώην ξυνέβαλον. καὶ ἐξ εὐθείας μετὰ τοῦ μὲν ὀνόματος παράθεσις γίνεται, καὶ πλαγίας πτώσεως, ἐπειδὴ ἑτέρῳ προσώπῳ ἡ διά-

ἡ διάθεσις τοῦ ῥήματος προσγίνεται· ἐκ δὲ πλαγίας ὀνόματος εὐθείας ἐπιφέρεται ἄρθρα, ἐὰν ἡ τοῦ ἄρθρου ἀναφορὰ τὸ ῥῆμα προσνείμῃ τῷ προκειμένῳ ὀνόματι, τῷ κατὰ τὴν πλαγίαν. τότε γὰρ δύο εὐθεῖαι νοοῦνται· λέγω τοῦ ὀνόματος, καὶ τοῦ ὑποτακτικοῦ ἄρθρου· ὅταν τὸ αὐτὸ πρόσωπον τὰς δύο διαθέσεις συνέχῃ. τοῦ μὲν οὖν πρώτου, γραμματικὸς ἦλθεν, ᾧ ὁ Τρύφων ὡμίλησεν· ἐν γὰρ τῇ εὐθείᾳ τοῦ Τρύφων, τὰ τοῦ ῥήματος ἐγένετο· τοῦ δὲ δευτέρου, Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη· [καί, Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος] Οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς. τὰ μὲν γὰρ πλάγια τῆς δὲ διαθέσεως ἠρτημένης ἐκ τῶν μουσῶν, αἱ εὐθεῖαι ἐπηνέχθησαν, διὰ τὸ τὸν ἄνδρα τὴν διάθεσιν ἀναδεδέχθαι καὶ ἐπὶ τὴν μῆνιν. ἔστι γάρ, ὃς ἐπλάγχθη· ἣ ἔθηκε μυρία κακὰ τοῖς Ἕλλησι· καὶ ἐπὶ τοῦ τρίτου Ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς, Ὅς ποτέ μ᾽ εἰρόμενος, μέγ᾽ ἐγήθεεν. καὶ γὰρ τὸ οἰμώξειεν, ἐπὶ τοῦ Πηλέως τέτακται, καὶ τὸ ἐγήθεεν.

(margin: ἐπεὶ; αἱ D.; ἐπ D.)

με΄, Ὅτι καὶ ἐν διαφόροις πτώσεσιν ὑποτάσσηται, κατάλληλον λόγον ποιεῖ.

Ταύτῃ μοι δοκεῖ, καὶ ἀκατάλληλα κείμενα τὰ ἄρθρα πρὸς τὰ προκείμενα πτωτικά, λόγον κατάλληλον συγκλείειν· καθ᾽ ὃ τοῖς ῥήμασι κατακλείοντα λόγον, τῆς τούτοις συνεδρευούσης πτώσεως μεταλαμβάνει· ὥστε τὴν ἀναφορὰν

(margin: τῷ ἀκαταλλήλως συγκλείειν σὺν τοῖς Soph.)

sonæ diuersæ tribuitur: contra, post casum nominis obliquum, rectus articu'i adiūgitur, cum articuli relatio antecedenti nomini, quod est obliqui casus, verbū tribuit. tunc enim duo intelliguntur recti; alter nominis, alter articuli subiunctiui; cum eadem persona duo amplectitur genera. Prioris orationis exemplū est, γραμματικὸς ἦλθεν, ᾧ ὁ Τρύφων ὡμίλησεν. nam verbum ὡμίλησεν, construitur cum recto ὁ Τρύφων. Posterioris exemplum est; Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη. &, Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος. Οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε. In his exemplis obliqui casus antecedunt cum genere verbi, quod pendet a Musis; sequuntur recti: quia ἀνὴρ & μῆνις susceperunt genus verbi, huncin modum; ὃς ἐπλάγχθη, ἣ ἔθηκε μυρία κακὰ τοῖς Ἕλλησιν. Tertię constructionis exemplum est; Ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς, Ὅς ποτέ μ᾽ εἰρόμενος μέγ᾽ ἐγήθεεν. hic enim οἰμώξειεν, & ἐγήθεεν, de Peleo dicuntur. Il. η.

45, *Articulos relatiuos, etiam si diuersorum sint casuum, congruam tamē efficere orationem.*

Eamque ob causam existimo articulos, quamquam incongrue appositos prædictis casualibus, congruam tamē efficere orationem. quatenus enim verbis orationē claudunt, eatenus assumunt casumqui ea comitatur; ita vt

relationem nomini, caſum verbo largiantur; ἐχαρισάμην φίλῳ, ὃν καὶ Τρύφων γινώσκει: ſiquidem verbum γινώσκει accuſatiuum poſtulat. Præterea ὁ Ἀρίσταρχός ἐστιν ὁ ἐξηγησάμενος τὰ ποιήματα, hoc abſolutum aperte, minimeque mancum eſt. Quod ſi articulus ὁ accipiatur pro relatiuo ὅστις, oratio pendebit, & erit manca; ὁ Ἀρίσταρχός ἐστιν, ὃς ἐξηγησάμενος τὰ ποιήματα. Hic liquido apparet, (quemadmodum iam diximus) orationem abſolutam fieri non poſſe, niſi aſſumpto verbo propter proprietatem relatiui articuli; ὁ Ἀρίσταρχός ἐστιν, ὃς ἐξηγησάμενος τὰ ποιήματα, ἐθαυμάσθη. Patet igitur, articulos qui vocibus præponuntur, nō aliter poſſe cognoſci pro relatiuis eſſe poſitos, quam ſi cum verbo conſtruantur: id quod relatiuorum eſt propriū. tum enim & conſtructio, & vox hoc indicat. quale eſt illud;

Il. φ. Τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει. etenim propter conſtructionem articulus poſt nomē collocatus eſt: (nam fertur ad verbum ἰσοφαρίζειν) etiam propter vocem: nam habet in principio τ; qua litera carent articuli relatiui.

Quando vero eiuſmodi articuli neque relatiui, neque præpoſitiui eſſe poſſint, ſed aut pronominum, aut nominum infinitorum ſpeciem habeant, cum de conſtructione pronominum agemus, planum faciemus.

μὲν χαρίζεσθαι τῷ ὀνόματι· τὴν δὲ
πτῶσιν, τῷ ῥήματι· ἐχαρισάμην φί-
λῳ, ὃν καὶ Τρύφων γινώσκει· εἴγε τὸ γι-
νώσκειν αἰτιατικὴν ἀπαιτεῖ. Ἔτι, ὁ Ἀ-
ρίσταρχός ἐστιν ὁ ἐξηγησάμενος τὰ ποι-
ήματα, προφανῶς ἀνελλιπές ἐστιν· εἰ
μέντοι τὸ ὁ ἀντὶ τοῦ ὅστις θείη, οὐκέτι· γρ. ὡς
ὁ Ἀρίσταρχός ἐστιν, ὃς ἐξηγησάμενος τὰ
ποιήματα. Φαίνεται ὅτι, καθὼς προ-
είπομεν, διὰ τὴν ἰδιότητα τοῦ ὑποτα-
κτικοῦ ἄρθρου, προσλαβὼν τὸ
ῥῆμα, ἀπαρτίζει τὸν λόγον· ὁ Ἀρίσταρ-
χός ἐστιν, ὃς ἐξηγησάμενος τὰ ποιήμα-
τα, ἐθαυμάσθη. Προφανὲς οὖν, ὅτι
τὰ τῆς φωνῆς προτακτικὰ ἄρθρα, γρ. τῇ φωνῇ
οὐκ ἄλλως ἐπινοηθήσεται, ὅτι ἀνθ' ὑ-
ποτακτικῶν ἐστιν, εἰ μὴ ἐπὶ ῥῆμα φέ-
ροιτο. ὅπερ ἴδιον ὑποτακτικῶν ἤδη καὶ
τῆς συντάξεως καὶ τῆς φωνῆς τὸ τοι-
οῦτον ἐνδεικνυμένης· ὡς ἔχει τὸ, Τῷ [δ']
οὐδὲ χρείων Ἀχελώϊος ἰσοφαρίζει. καὶ
γὰρ ἕνεκα τῆς συντάξεως μετὰ [γὰρ] γρ. τάξεως
τὸ ὄνομα τέθειται· καὶ ἕνεκα τῆς φωνῆς·
ἀπὸ γὰρ τοῦ τ ἤρξατο, τῶν ὑποτα-
κτικῶν δίχα τοῦ τ λεγομένων. καὶ ἔτι
τῆς συντάξεως· φέρεται γὰρ ἐπὶ τὸ ἰ-
σοφαρίζει. Πότε μέντοι τὰ τοιαῦ-
τα τῶν ἄρθρων, οὔτε ὑποτακτικὰ
ἄρθρα δύναται εἶναι, οὔτε προτα-
κτικὰ, ἀλλ' ἢ ἀντωνυμικὰ, ἢ ἀοριστού-
μενα μόρια, ἐπὰν τὰς συντάξεις ἐπί-
ωμεν τῶν ἀντωνυμιῶν, παραστήσομεν.

†Τού-

†Τούτων δὲ τῇδε ἐχόντων, ἐπιστατέον τῷ, Καὶ θώρηχ', ὅ γὰρ ἦν οἱ, ἀπώλεσε, πιστὸς ἑταῖρος· πότερον τὸ ὅ προτακτικόν ἐστι πρὸς τό, πιστὸς ἑταῖρος· ἢ αὖθ' ὑποτακτικὸν ἐστὶ τοῦ ὅς, ἀναφερόμενον πρὸς τὸ θώρηκα, ἢ πρὸς τὸ ἑταῖρος. καθ' ἣν ὑποτακτικὴν σύνταξιν εἴρηται). ἀνέφικτον οὖν προτακτικὸν αὐτὸ παραδέξασθαι. οὐ γὰρ μετὰ προτακτικὸν ἄρθρον ῥῆμά ποτε ἐπιφέρεται (ἐπιφέρεται δὲ τὸ ἦν·) ὅ οὐκέτ' ἄλλο τι ἀπαιτήσει, ἢ ὑποτακτικὸν ἄρθρον, ὅπερ οὐ πιθανὸν ἐπὶ τὸν θώρακα ἀναφέρεσθαι. οὐ γὰρ τοῦτον μόνον ἀπώλεσεν ὁ Πάτροκλος· ἅμα γὰρ ἀσπίδι καὶ τρυφάλειαν, καὶ καλὰς κνημῖδας ἐπὶ σφυρίοις ἀραρυίας· καὶ θώρακα. καὶ γρ. περι ἐάν τις τὸ τοιοῦτον παραλάβῃ, ἔτι μάχεται τὸ ἀκατάλληλον τοῦ λόγου. δοθήσεται γὰρ ὅτι ἡ ὕπαρξις τοῦ θώρακος διὰ τῆς τοῦ ἄρθρου συντάξεως νοεῖται· καθὼς προϋ-πεδ. προεπεδείξαμεν. καὶ εἰ τοῦτο, πῶς τὸ πιστὸς ἑταῖρος, συναρτηθήσεται μετὰ ῥήματος, ἑτέρας εὐθείας νοουμένης σὺν ἑτέρῳ ῥήματι, τῷ ἦν; πότε [δὲ] δύο εὐθεῖαι κατάλληλον λόγον ἐποίησαν; ἄμεινον οὖν ἐκεῖνο φάναι, ὡς πλαγία καὶ εὐθεῖα κατάλληλον λόγον ποιεῖ. ἡ γοῦν εὐθεῖα ἡ διὰ τοῦ ὅς, εἰς τὴν αὐτὴν εὐθεῖαν παραλαμβανέσθω τοῦ ἑταῖρος· ὅς ἦν αὐτῷ πιστὸς ἑταῖρος, ἀπώλεσε τὰ προκατειλεγμένα·

46. An ὃ in illo Homeri carmine, Καὶ θώρηχ', ὃ γὰρ ἦν οἱ &c. sit praepositiuus, an relatiuus articulus.

Cum hæc ita ſeſe habeant, quærendum eſt de illo Homeri carmine; Καὶ θώρηχ', ὃ γὰρ ἦν οἱ, ἀπώλεσε, πιστὸς ἑταῖρος: (Il. σ.) vtrũ ὃ illud ſit præpoſitiuus, an relatiuus articulus: &, ſi relatiuus, vtrum ad θώρηκα, an ad πιστὸς ἑταῖρος referatur. Abſurdum itaq; fuerit, eũ accipere pro præpoſitiuo. nam nullũ vnquam verbum cum articulo præpoſitiuo cõſtruitur: in eo autem exemplo ſequitur verbũ ἦν, quod nõ alium exigit articulum, quam relatiuum. Sed hic parum probabile videtur, articulũ referri ad thoracem. nam Patroclus non thoracem ſolum amiſerat, ſed & clypeum & galeã, & καλὰς κνημῖδας ἐπισφυρίοις ἀραρυίας. (Il. σ.) Fac tamen vt ad thoracẽ referatur articulus: tamen etiam ſic incongrua repugnabit oratio. Simul enim neceſſe eſt concedas, per iſtã articuli cõſtructionem cum verbo ἦν, fuiſſe ei thoracem; ſicuti ſuperius, cũ de articulo relatiuo diſputabamus, demonſtrauimus. Hoc ſi concedas, quî poterit fieri, vt rectus ille caſus πιστὸς ἑταῖρος, cũ verbo cõſtruatur; cum alter nominatiuus ſit adiungẽdus alteri verbo ἦν? quando autẽ duo nominatiui congruam orationem efficiunt? Dicendum ergo potius eſt, obliquũ & rectũ caſum efficere orationem cõgruam. nominatiuus igitur articuli ὃ, qui eſt iã pro relatiuo ὅς, iũgatur item cũ nominatiuo ὅς, hoc modo; ὅς ἦν αὐτῷ πιστὸς ἑταῖρος, perdidit ea quæ paulo ante memorata ſunt;

clypeum inquã, & galeam, & ocreas, & thoracem. itaq; Thetis altera pro his omnibus arma postulat. Nisi velis extrinsecus accusatiuum accersere, ad quem feratur verbum ἀπώλεσεν, & addere articulum ὁ pro ὅς, hoc modo; *καὶ θώρηχ', ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος.*

47. Quando articuli relatiui habeant commune verbum, & quando non.

Articuli relatiui tunc habẽt verbum cõmune, cum personas & res suppositas distribuunt. sic enim aliquem dicere; *diuersis e regionibus volarunt duae aquilae; ὃς μὲν, ἀπὸ ἀνατολῶν· ὃς δὲ, ἀπὸ δυσμῶν: altera, ab oriente; altera, ab occidente.* vel in huiusmodi etiam con-
Od. α. structione; *Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν· Οἱ μὲν, δυσομένου ὑπερίονος, οἱ δ', ἀνιόντος.* nam post Αἰθίοπας adiecit articulum οἱ, quem Homerus vsitatius cum τ enuntiat, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. Illud vero est perspicuum, verbum scilicet δεδαίαται, cõstrui cum nominatiuo plurali, qui paulo post distributus in eo carmine, in quo notatur interuallum Æthiopũ, assumit commune verbum cum arti-
Od. α. culis relatiuis; *Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν· Οἱ μὲν, δυσομένου ὑπερίονος, οἱ δ', ἀνιόντος.* Eodem modo in illa etiam figura, si addatur verbum, distributio consequens erit item
Od. μ. minime dubia: *Οἱ δὲ δύο σκόπελοι ἱκάνουσιν· ὃς μὲν, ἄχρι τοῦ οὐρανοῦ, ὃς*

λέγω ἀσπίδα, καὶ τρυφάλειαν, καὶ καλὰς κνημῖδας, καὶ θώρακα. ἕτερα γοῦν ἀντὶ τούτων ἁπάντων ἐξαιτεῖται. χωρὶς εἰ μὴ θέλοι τις αἰτιατικὴν ἔξωθεν προσνοεῖσθαι, ἐφ' ἣν πάντως ἐνεχθήσεται τὸ ἀπώλεσε· καὶ ἡ πρόσθεσις τοῦ ἄρθρου γένοιτο τοῦ ὅς· καὶ θώρηχ', ὃς γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος. πρόθεσις

μϛ', Πότε τὰ ὑποτακτικὰ ἄρθρα, κοινῶς παραλαμβάνει τὸ ῥῆμα, καὶ πότε οὔ.

Τὰ ὑποτακτικὰ ἄρθρα, τότε μὲν ἐν κοινότητι ἔχει τὸ ῥῆμα, ὅταν καὶ ἐπιμερίζῃ τὰ πρόσωπα, καὶ τὰ ὑποκείμενα. φέρε γὰρ οὕτω φάναι· † διέπτησαν δύο ἀετοί· ὃς μὲν, ἀπὸ ἀνατολῶν, ὃς δὲ, ἀπὸ δύσεως. ἢ καὶ ἔτι ἐπὶ τῆς τοιαύτης συντάξεως· [Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν· Οἱ μὲν, δυσομένου ὑπερίονος, οἱ δ', ἀνιόντος.] μετὰ [γὰρ] τὸ Αἰθίοπας, ἐπιφέρει ὑποτακτικὸν ἄρθρον τὸ οἱ· ὅπερ συνηθέστερον διὰ τοῦ τ Ὅμηρος φησι, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. καὶ σαφές ἐστιν ὅτι ἡ τοῦ δεδαίαται σύνταξις φέρεται πρὸς τὴν πληθυντικὴν εὐθεῖαν ἥτις κατὰ τὸ ἑξῆς ἐπιμεριζομένη πρὸς τὴν τῶν Αἰθιόπων διάστασιν, κοινὸν παραλαμβάνει τὸ ῥῆμα μετὰ τῶν ὑποτακτικῶν ἄρθρων· Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν· Οἱ μὲν, δυσομένου ὑπερίονος, οἱ δ', ἀνιόντος. ὡς εἰ καὶ ὑπ' ἐκεῖνο τοῦ σχήματος προστεθείη ῥῆμα, πάλιν τὸ ἐξ αὐτοῦ ἐπιμεριζόμενον ἀνενδοίαστον ἔσται· οἱ δὲ δύο σκόπελοι ἱκάνουσιν, ὃς μὲν, ἄχρι τοῦ οὐρανοῦ, ὃς δὲ, ἄχρι

ἐν δυσμῶν.

ἴσ. ἐπ' ἐκ.

ἢ χθαμαλώτερος ἢ ἄγει τοῦ ὀλύμπου. [οὐ] προϋπόντος γὰρ τοῦ τοιούτου, ἀνάγκη πᾶσα τῷ ὑποτακτικῷ ἄρθρῳ προσγίνεσθαι τὸ ῥῆμα, τήν τε προϋποῦσαν εὐθεῖαν, καθὼς ἀπεδείξαμεν, εἰς γενικὴν μετελθεῖν. αὕτη γὰρ μόνη, μὴ προσλαβοῦσα τὸ ῥῆμα, ἐπιμερίζεται εἰς τὰ ἐξ αὐτῆς πρόσωπα νοούμενα. αἵ γε μὴν ἄλλαι πτώσεις, οὐκέτι, εἰ μὴ προσλάβοιεν ῥῆμα· Νεστορίδαι δή, ὁ μὲν, οὔτασ' Ἀτύμνιον. προφανῶς γὰρ πάλιν τὸ ὁ, ἀντὶ τοῦ ὅς ἐστι· χωρὶς εἰ μὴ πτωτικὸν λείπει, οὗ προηγήσεται πάντως τὸ ὁ προτακτικὸν ἄρθρον ἔχοντος τῇδε τοῦ λόγου· Τῶν Νεστοριδῶν ὁ μὲν ἕτερος, οὔτασ' Ἀτύμνιον· τῶν δύο σκοπέλων ὁ μὲν ἕτερος, καθ' ὃ οὐρανὸν ἱκάνει. καθ' ὃν ἄν τις κἀκεῖνο ἐπιστήσῃ· Καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν· Ἀλλ' ὁ μὲν, οὐκ ἐπίοπτος· πάλιν τοῦ ἐντελοῦς ὄντος, ἀλλ' ὃς μὲν οὐκ ἐπίοπτος. ἀπὸ γὰρ κοινοῦ τοῦ πειραίνουσι, δυνάμει ἔχει ἐγκείμενον ῥῆμα, τὸ πειραίνει, ἐφ' ὃ καὶ φέρεται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐπιφερομένου λόγου· ὃς δή, ἐπίοπτος ὤν, πάλιν πειραίνει τὸν ἄξονα. τοῦτο γὰρ συμφράζεται. ἐκ γὰρ τοῦ βορείου ὕψους, ἀντίος ἐστὶ τῷ τοῦ Ὠκεανοῦ.

ἢ, χθαμαλώτερος. nam nisi antecedat verbum eiuſmodi, neceſſe proculdubio eſt, vt verbum cum articulo relatiuo ſocietur, & antecedens nominatiuus (ſicuti iam docuimus) in genitiuum tranſeat. hic enim ſolus caſus, nullo verbo aſſumpto, in eas perſonas diſtribuitur, quæ ad ſe referuntur: ceteri caſus non item; niſi verbum aſſumpſerint: Νεστορίδαι δή, ὁ μὲν, οὔτασ' Ἀτύμνιον. Il. π. aperte namq; hic etiam ὁ poſitum eſt pro relatiuo ὅς: niſi pars aliqua caſualis deeſt, cui omnino articulus præpoſitiuus præponatur: vt ſit eiuſmodi oratio; τῶν Νεστοριδῶν ὁ μὲν ἕτερος, οὔτασ' Ἀτύμνιον: &, τῶν δὲ δύο σκοπέλων, ὁ μὲν ἕτερος, οὐρανὸν ἱκάνει. Ad hunc locum pertinet etiam illud; Καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν: Aratus in principio. &, Ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος. Hic rurſus integra & abſoluta oratio eſſet; ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος. nã a communi verbo illo πειραίνουσιν, habet incluſum poteſtate verbum πειραίνει, ad quod reſpicit. Eadem ratio eſt illius orationis quæ ſequitur; ὁ δή, ἐπίοπτος ὤν. nam repetendum idem verbum πειραίνει τὸν ἄξονα. hoc enim tacite ſimul intelligitur: nam polus Arcticus, eſt aduerſarius polo Antarctico, qui nobis non cernitur.

APOLLONII ALEXANDRINI DE *constructione Liber secundus, qui est de Pronominibus.*

1, Pronomen necessario recepisse distinctionem personarum & casuum.

CONSEQVENS esse existimo, vt post constructionem articulorũ, in libro superiore traditam, etiam de constructione pronominum agamus. Illi enim adiiciebantur nominibus, cũ ratio id postulabat: hęc vero, quæ sumuntur pro nominibus, ante se non admittunt societatem articuli præpositiui, ob eas causas quas supra exposuimus. Perspicuum est autem, hanc eandem ob causam pronomina etiã casus recepisse, vt nominis cuiuslibet vices subirent, & quaslibet personas possent distinguere; vt nimirum hæc suffecta, supplerent id quod nomini deerat; distinctionẽ inquam personarũ; & casum nominis, verbi personã obtinerent.

2, Pronomina conuenienter in principio personam, in fine casum distinguere: & finem in casu secundum naturam spectari.

Hinc fit vt, cum pronomina, duo summa declinãdi genera sibi vindicauerint, per omneis casus atq; numeros declinentur; idque non confuse, sed sensu conuenienti:

ΑΠΟΛΛΩΝΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ βιβλίον δεύτερον, τὸ περὶ ἀντωνυμιῶν.

α', Ὅτι ἀναγκαίως ἡ ἀντωνυμία καὶ πτώσεως διάκρισιν ἀνεδέξατο καὶ προσώπων.

ΤΗι προεκδοθείσῃ συντάξει τῶν ἄρθρων, ἀκόλουθον ὑπολαμβάνω καὶ περὶ τῆς τῶν ἀντωνυμιῶν συντάξεως διαλαβεῖν. ἐκεῖνα γὰρ, μετ' ὀνομάτων ἐν τοῖς δέουσι παρελαμβάνετο· αὗται δὲ, λόγοις
ἀντ' ὀνομάτων· οὐ παραδεχόμεναι τὴν τούτων προταχτικὴν σύνταξιν· καθ' ἃς προεκτεθείμεθα αἰτίας. Καὶ σαφές ἐστιν ὅτι ἕνεκα τοῦ τοιούτου καὶ πτώσεως ἐγένοντο δεκτικαὶ, ἵνα κατὰ παντὸς ὀνόματος ἀνθυπέλθωσι· καὶ προσώπων ἁπάντων διακριτικαὶ, ἵνα τὸ ἐλλιπὲς τοῦ ὀνόματος, λέγω τὴν τῶν προσώπων διάκρισιν, αὗται ἀνθυπαχθεῖσαι ἀναπληρώσωσι· καὶ τοῦ μὲν ὀνόματος ἔχωσι τὴν πτῶσιν, τοῦ δὲ ῥήματος τὸ πρόσωπον.

β', Ὅτι δεόντως ἐν ἀρχῇ τὸ πρόσωπον διακρίνει, ἐν δὲ τῷ τέλει τὴν πτῶσιν· καὶ ὅτι φυσικῶς τὸ τέλος περὶ πτῶσιν καταγίνεται.

Ἔνθεν διόλου κλίνονται, δύο τὰς γενικωτάτας κλίσεις ἀποσπάσασαι, καὶ οὐ κατὰ σύγχυσιν, ἀλλὰ κατὰ μερισμὸν τὸν δέοντα·

καὶ τῷ

καὶ τῷ μὲν τέλει δηλοῖ τὴν πτωτικὴν κλίσιν· τῷ δὲ ἄρχοντι, τὸν τῶν προσώπων ἐπιμερισμόν. σαφὲς γὰρ ὅτι εἰ κατὰ τὸ αὐτὸ μέρος αἱ δύο κλίσεις ἐνεγίνοντο, συνέβη ἄν, τῆς μὲν πτώσεως γινομένης, τὸ ἕτερον νοούμενον ἀποστερεῖσθαι, τὸ τοῦ προσώπου διακριτικόν· καὶ ἔμπαλιν, τοῦ προσώπου μεταβαίνοντος, παραφθείρεσθαι τὸ τῆς πτώσεως ἰδίωμα. δι᾽ ὅ, πτῶσιν μὲν διακρίνουσα, ἀποτελεῖ τὸ ἐμοῦ, καὶ ἐμοί, καὶ ἐμέ· πρόσωπον δέ, τὸ ἐμοῦ, σοῦ· πρόσωπον δὲ καὶ πτῶσιν, τὸ ἐμοί, σέ. καὶ ἐν ἅπασιν ὥρισται τοῖς προκατειλεγμένοις, διὰ τὸ ἐν ἑκατέρῳ μέρει ἐγχωρῆσαι ἰδίωμα.

ἐγίνοντο

μεταλαμβάνοντος

Ἑκάτεραι γοῦν αἱ κλίσεις, ἀποστᾶσαι ἐπὶ τὰ ἴδια μόρια, λέγω δὲ τὸ ὄνομα καὶ τὸ ῥῆμα, τῷ τέλει συνεχρήσαντο κατὰ τὴν κλίσιν· καλός, καλοῦ, καλῷ· γράφω, γράφεις, γράφει· οὐκ ἀπιθάνως καὶ τῆς ἀντωνυμίας χρησαμένης τῇ ὑποστολῇ τοῦ σ, οὔσῃ διακριτικῇ τοῦ προσώπου, σοί, οἱ· ὡσεὶ [καὶ] λέγεις, λέγει. Εὔηθες μέντοι ὑπολαμβάνω, εἰ ἐξεργάσεταί τις, διὰ τί μὴ μᾶλλον τὸ τέλος οὐ προσεχώρει τῷ προσώπῳ, καθάπερ ἐπὶ τῶν ῥημάτων, ἤπερ τῷ ἄρχοντι. ἔδει γὰρ ἅπαξ [ἐν] ἑνὶ μέρει προσχωρῆσαι τὸ τέλος· καὶ εἰ ἔστιν εἰπεῖν εὐλόγως, τῷ πτωτικῷ· εἴγε καὶ προέτερον τοῦ ῥήματος, καθὼς ἀπεδείξαμεν. καὶ δῆλον ὅτι τὸ τούτου ἰδίωμα ἐπικρατήσει τοῦ τέλους· λέγω τὸ

ἴσ. τὸ ἄρχον, D.
ἴσ. προσχωρῆσαι

ac declinationẽ casuum extremis, distinctionem personarum primis indicent syllabis. nam minime dubiũ est, si eadem in parte vtraque declinatio fieret, euenturũ fuisse, vt casus declinatio alterũ tolleret intellectũ, qui personarum habet distinctionẽ; & vice versa, persona transitum faciente, casus proprietas tolleretur. Itaque pronomen, cum distinguit casum, efficit ἐμοῦ, ἐμοί, ἐμέ: cũ distinguit personã, efficit ἐμοῦ, σοῦ: cum personam & casum, ἐμοί, σέ. & est finitum in omnibus ante enumeratis, propter proprietatem quæ in vtraq; parte insita est. Vtraque igitur ista declinatio, ad suam quæque orationis partem reuocata, ad nomen inquam & verbum, suo fine vtitur inflexa; καλός, καλοῦ, καλῷ: γράφω, γράφεις, γράφει. vbi etiam pronomen non sine probabili ratione subduxit σ, vt tertiam personam distingueret; σοί, οἱ, sicuti λέγεις, λέγει. Superuacaneam autem fore illam quæstionẽ existimo, cur in pronomine nõ potius extremis syllabis; sicuti fit in verbis; quam primis, persona fuerit attributa. oportuerat enim omnino finem tribuere vni orationis parti, idque casuali, si, vt recta postulat ratio, dicendum est. siquidẽ casuale antecedit verbum; sicuti iam demonstrauimus. Patet igitur, eius proprietatẽ, casum inq̃, esse oc-

Prisc. lib. 13, 467.

eupaturum finẽ. adde, quod pronomẽ est quod loco nominis sumitur, & nomen imitatur. nam persona, quam continet, *comes eius est. Quare si fines in partibus orationis vim præcipuam & potestatem obtinent, finis autem pronominis est casus; sequitur, vt pronomen, propter finẽ, obtineat istam appellationem; verbi autem proprietas, persona inquam, sit subreptitia. Consentaneum vero rationi esse existimo, vt, antequam singulorum pronominũ constructionem aggrediar, proprietates explicem quæ ea comitantur: vt præcepta quæ sumus traditurí de eorum constructione, sint dilucidiora. Princeps igitur est, in vtraq; ista parte, præcipua declinatio. Inest autem duplex demonstratio: altera, absoluta; veluti ἔπαισέ με: nam hoc habet nimirum demonstrationem; sed non intentam, & in aliquid directam. altera, discretiua; vt ἐμὲ αὐτὸν ἔπαισεν. dubium enim non est, demonstrationem hic intendi, sicuti fit in nominibus qualitatem significantibus. nam λευκὸς habet absolutam qualitatem: at λευκότερος habet intentam: nam ad alteram personam, qua cum comparatur, intẽditur. de qua est plane quæstio. Eadem ratione etiam ἐμὲ, ad aliquam personam dirigit demonstrationẽ, ad quã intẽditur. Quare aũt in omnibus pronominib. hæc ratio locũ non habeat, suo dicetur loco. Quæ igitur pnomina sunt integra

accidens

Pronomina quæ comitentur proprietates.

πτῶσιν. πρὸς οἷς καὶ ἀντωνυμία ἐστὶ τὸ ἀντ' ὀνόματος παραλαμβανόμενον, καὶ ὄνομα μιμούμενον. καὶ σαφὲς ὅτι ἐπακολούθημα τὸ ἐγγινόμενον. καὶ εἰ τὰ τέλη ἐπικρατεῖ τῶν μερῶν τοῦ λόγου, τὸ δὲ τέλος τῆς ἀντωνυμίας πτῶσίς ἐστιν· ἐπικρατήσει ἄρα διὰ τοῦ τέλους τὸ καλεῖσθαι ἀντωνυμία. καὶ [τὸ] ῥήματος ἰδίωμα παρεισδύεται· λέγω δὲ πρόσωπον. Εὔλογον [δὴ] ἡγοῦμαι πρὸ τῆς κατὰ μέρος συντάξεως προδιασαφῆσαι τὰ ἐπακολουθοῦντα ἰδιώματα τοῖς μορίοις, ὥστε ἀπὸ τοῦ τὴν εἰρησομένην διδασκαλίαν τῆς συντάξεως εὐσυνοπτοτέραν γίνεσθαι. Προέχει μὲν οὖν ἡ ἐξαίρετος κλίσις, κατὰ ἀμφότερα μέρη. σύνεστι γὰρ δεῖξις διττή· ἡ κατὰ ἀπόλυτον ἐκφορὰν οἷον, ἔπαισέ με· φανερὸν γὰρ ὅτι δεῖξις, ἀλλ' οὐκ ἐπιτεταμένη, οὐδὲ πρός τι ἀναλεγομένη. καὶ ἡ ἀντιδιασταλτική· ἐμὲ αὐτὸν ἔπαισε. πρόδηλον γὰρ ὅτι ἐπιτέταται τὰ τῆς δείξεως· καθάπερ τὰ ἐν τῇ ποιότητι νοεῖται· λευκὸς, ἀπολελυμένην ἔχει τὴν ποιότητα· ἐπιτεταμένην δὲ, ἐν τῷ λευκότερος. πρὸς ἕτερον γὰρ πρόσωπον ἀναφέρεται, ὃ πάντως ἐπιζητοῦμεν. ᾧ λόγῳ καὶ τὸ ἐμὲ, ἐπί τινα τὴν δεῖξιν ἀπήτησε, πρὸς ὃ συνετάθη. διότι μέντοι ἐν ἁπάσαις τὸ τοιοῦτον οὐκ ἐχώρει, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. Καλοῦνται οὖν αἱ ἐντελεῖς κατὰ

ἴσ. ἐπιτείνεται

ἀπαιτήσει D.

ὃν ἀπετάθη D.

τὴν

τὴν φωνὴν καὶ † τὸν διεγηγερμένον τόνον, ὀρθοτονούμεναι· τάχα συνωνυμοῦντος τοῦ ὀρθοῦ καὶ τοῦ ὑγιοῦς. αἱ δὲ τὸν τόνον μεταθεῖσαι, ὡσπερεὶ ἀπὸ τῶν ἐγκλινόντων τὰ βάρη ἐφ' ἕτερον σῶμα, ἐγκλιτικαί. εἴγε τὸ, Σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοὶ, μετὰ τῆς [τῆς] ἐντελοῦς γραφῆς, καὶ τὸν ἴδιον τόνον ἔχει· τὸ δὲ, Καί μοι ταῦτ' ἀγόρευσον, παρῆκε μὲν τὴν γραφὴν, μετέθηκε δὲ καὶ τὸν τόνον. Παρέπεται δὲ καὶ ἀναφορὰ κατὰ τὸ τρίτον πρόσωπον· δι' ἧς τὰ προκατειλεγμένα ὀνόματα ἀναπολούμενα ἀντονομάζεται· Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ.

γ', Διατί αἱ μὲν αὐτῶν, δεικτικαί, αἱ δὲ, ἀναφορικαί.

Ἐπεδείξαμεν ἐν τοῖς προεκδοθεῖσιν, ὡς αἱ τοιαῦται τῶν ἀντωνυμιῶν, οὐχ ὡς ἔτυχεν ἀνθ' ἁπλῶν ὀνομάτων παρειλημμέναι εἰσίν, ἀλλὰ δυνάμει ἀντὶ τῶν ὀνομάτων τῶν μετ' ἄρθρων παραλαμβανομένων. οὐ γὰρ μόνον ἀντωνόμασται, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν ἀντωνυμιῶν ἐπινοῆσαι, ἀλλὰ καὶ ἀναφέρεται. ὅπερ οὐκ ὀνομάτων ἴδιον, εἰ μὴ προσλάβοιεν τὰ ἄρθρα. [ἔστι καὶ οὕτω φάναι· δι' οὗ ἀντονομάζεται προκατειλεγμένους διὰ τούτου ἐπιδέξεται τὴν ἀναφοράν·] εἴγε ἰδίωμα ἀναφορᾶς, προκατειλεγμένου προσώπου δευτέρα γνῶσις· ἣν ἐπαγγέλλεται ἡ αὐτὸς ἀντωνυμία. δεδείξεται γὰρ ἐν τοῖς ἑξῆς, ὡς αἱ δεικτικαὶ

προσλαμβ.

αὐτονομάζουσ) ἐπιλέξεται

& voce, & tenore erecto, ea vocantur ὀρθοτονούμενα, i. *tenorem rectum habentia*: quia fortasse *recti* & *sani* vox habet communionē nominis. Quę autem suo tenore carent, vocantur ἐγκλιτικὰ, i. *inclinata*; ducta metaphora ab iis qui onera in aliud corpus reiiciunt. siquidem illud Homeri, σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοὶ, præter scripturam, quæ est integra, suū etiam tenorem habet. Il. δ. illud vero, Καί μοι ταῦτ' ἀγόρευσον, Od. ν. neq; scripturam habet integram, & suum reiecit tenorem. Accidit etiam in tertia persona pronomini relatio, qua nomina prędicta, repetita, per pronomen enunciantur: Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς Il. ν. τε & Ἕκτορα νηυσὶ πέλασσεν, Τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν Νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ.

3, *Cur alia pronomina demonstratiua sint, alia relatiua.*

Demonstrauimus in superiore disputatione, huiusmodi pronomina nō temere assumi pro simplicibus nominibus, sed vi & potestate pro nominibus cū articulo iunctis. nam nō solum loco nominis accipiuntur, quemadmodum cetera pronomina; sed præterea habent relationem; quæ non est nominum propria, nisi assumpserint articulos. siquidē relationis proprietas est, personæ antedictæ secūda cognitio; quam pollicetur pronomē αὐτός. in iis.n. quæ sequuntur, fiet planū, pronomina demōstratiua

vicem ſubire nominum, non eorum quæ ante memorata fuerunt, ſed eorum quę aſſumi non poſſunt: atq; ita distribuuntur in demonſtratiua & relatiua; quamquam in vnicam conuenerint appellationem. in vtrorumque enim diſcrimine illud commune habent, quod vtraque ſunt pronomina. nam vel cũ nomina enunciari non poſſunt, vel cum ſunt enunciata, ſed repeti non poſſunt, hæc aſſumuntur. ſi quis enim pro

Il. eo pronomine, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ, reponat nomẽ Ζεύς, non referet vtramque illam orationem ad Iouem,

noua ſed *alterius orationis principium inſtituet. Eadẽ ratio eſt in omnibus quæ eodem modo ſumuntur. licet enim pro relatiuis pronominibus nomina ponere, orationemque variare. Quoties tamen duo hęc pronomina, ἐκεῖνος & οὗτος, non demonſtrãt res certas, quæ ſub aſpectum cadũt, ſed referunt; exiſtimandum eſt eorum demõſtrationem ad mentem referri: ita vt aliæ ſint oculorum, aliæ mentis demonſtrationes. Cum igitur natura demonſtratiua ſint, recuſant articulum, qui huic conſtructioni aduerſarius eſt.

4. Pronomina perſonæ tertiæ capere plures voces neceſſario.

Tertię quoq; pronominũ perſonę, potiſſimum diuerſa voce, diuerſas efficiunt perſonas; quamquam verba vnica voce feruntur ad diuerſas perſonas: γράφει Διονύσιος, vel

οὐκ εἰρημένων τῶν ὀνομάτων, ἀνθυπηνέχθησαν, ἀλλ' οὐ δυναμένων παρα- (ἢ δέον) ληφθῆναι. καὶ οὕτω μερίζονται εἰς τὰς δεικτικὰς καὶ ἀναφορικάς, εἰς μίαν ὀνομασίαν συνελθοῦσαι. κατὰ γὰρ ἑκατέρας (ἑκατέρων) τὰς διαφοράς, ἓν συνάγεται τὸ ἀντονομάζεσθαι. ἢ γὰρ μὴ δυναμένων τῶν ὀνομάτων εἰρῆσθαι, αὗται παραλαμβάνονται· ἢ εἰρημένων μὲν, πάλιν δὲ [μὴ] δυναμένων παραλαμβάνεσθαι. εἰ γάρ τις ἀντὶ τοῦ, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ, ἀντιθήσει τὸ Ζεύς, οὐ συνάξει τοὺς δύο λόγους κατὰ τοῦ Διός, ὡς ἀρχὴν δὲ λόγου ποιήσεται. ὁ αὐτὸς δὲ λόγος ἐπὶ ἁπασῶν τῶν οὕτω παραλαμβανομένων. πάρεστι γὰρ ἀντὶ τῶν ἀναφορικῶν (ἢ ἐξῆς) τὰ ὀνόματα τίθεσθαι, καὶ τὰ τοῦ λόγου ἀλλοιῶσαι. ὁπηνίκα μέντοι τὸ ἐκεῖνος καὶ οὗτος οὐ δεικνύωσι τὰ ὑπὸ ὄψιν, ἀναφέρωσι δὲ, δεκτέον ὅτι [καὶ] ἡ ἐκ τούτων δεῖξις ἐπὶ τὸν νοῦν φέρεται· ὡς τὰς μὲν, τῆς ὄψεως εἶναι δείξεις· τὰς δὲ, τοῦ νοῦ. φύσει γοῦν οὖσαι δεικτικαὶ, καὶ τὸ ἀντικείμενον ἄρθρον τῇ συντάξει οὐ παραλαμβάνουσι.

λʹ. Ὅτι ἀναγκαίως τὰ τρίτα πρόσωπα ἐν πλείοσι φωναῖς καταγίνεται.

Καὶ ἔτι ἐξαιρέτως καὶ τὰ τρίτα πρόσωπα ἐν διαφόροις φωναῖς, διάφορα τρίτα ἀποτελοῦσι, τῶν ῥημάτων διὰ μιᾶς φωνῆς ἐπὶ πλείονα πρόσωπα συντεινόντων· γράφει Διονύσιος, ἢ Τρύφων,

Τρύφων, ἤ τις ἄλλος † τῶν δυναμένων πρᾶγμα παραδέξασθαι. οὐ μὴν ἐπὶ τῶν ἀντωνυμιῶν· εἴγε [μὴν] ἀναφορικὴ μὲν ἡ αὐτὸς, δεικτικὴ δὲ ἡ ἐκεῖνος, καὶ ἔτι ἡ οὗτος, διαφέρουσα τῷ διαστήματι τῆς δείξεως. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ ὅδε.

ε', Διατί κατὰ τὸ τρίτον, τῷ ι ἐπέκτασιν ἀνεδέξαντο, χωρὶς τοῦ αὐτός.

Κἀπεὶ ἔφαμεν τὰς δεικτικὰς ἐπιτείνεσθαι εἰς πλείονα δεῖξιν, αἱ δὲ προκείμεναι φωναὶ, οὐκ ἠδύναντο τὸ διπλοῦν τοῦ τόνου ἀναδέξασθαι, καθάπερ ἡ ἐμοῦ καὶ ἐμοὶ, καὶ αἱ σύζυγοι, διὰ τὴν ἐπὶ τέλους βαρεῖαν, εἰς παραγωγὴν τὴν διὰ τοῦ ι, μετῆλθον, ἐπισπώμεναι κατὰ τοῦ τέλους τὴν ὀξεῖαν, εἰς ἐμφανισμὸν τῆς πλείονος ἐπιτάσεως· καθάπερ καὶ αἱ προκατειλεγμέναι κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον· ἐκεινοσί, οὑτοσί, ὁδί. προῦπτον γὰρ ὅτι στερουμένη ἡ αὐτὸς τῆς δείξεως, συνεστέρητο καὶ παραγωγῆς ἐπαγγελμένης ἐπὶ πλείονα δεῖξιν. Δοκεῖ δέ μοι μηδὲ ἀλλοτρίως ἡ παραγωγὴ τοῦ ι παραδεδέχθαι. ἦν γὰρ τοῦτο θεματικὸν ἐν τρίτοις προσώποις τῆς εὐθείας. Πῶς οὖν οὐκ εὐήθεις οἱ περὶ Ἄβρωνα, καταδραμόντες Ἀριστάρχου, ὡς οὐ δεόντως φαμένου κατὰ πρόσωπα συζύγους τὰς ἀντωνυμίας· καθ' ὃ κοινὸς ὁ ὅρος καὶ ῥημάτων· καὶ μᾶλλον γε αὐτῶν. συζυγοῦσι γὰρ αἱ φωναὶ, κατά τε ποιότητα τῶν στοιχείων, καὶ κατὰ πο-

* παραγωγὴν

Τρύφων, vel aliquis alius, qui possit actionem illam suscipere. at non ita in pronominibus: siquidē diuersa est vox relatiui αὐτός, & demonstratiui ἐκεῖνος, & præterea demōstratiui οὗτος, quod demōstrationis interuallo differt a superiore. Eadē est ratio pronominis ὅδε.

5 Cur pronomina in tertia persona producantur litera ι, vno excepto αὐτός.

Quoniam vero diximus demonstratiua pronomina intendi ad maiorem demonstrationem; voces autē istæ, de quibus iam agitur, nō poterāt recipere duos tenores, sicuti faciunt ἐμοῦ & ἐμοί, & earum affines, propter grauem tenorem, quem in extremis habent syllabis; ideo sunt productæ litera ι, & tenorem acutū ad extremam syllabam traxerunt, vt maiorem intensionem indicarēt; sicuti faciunt in prima & secunda persona pronomina paulo ante memorata; ἐκεινοσί, οὑτοσί, ὁδί. nam αὐτός, quod demonstratione priuatur, priuatur simul nimirū & *productione quæ additur ad maiorem demonstrationem. Ac existimo productionem istam ι, nō temere receptam fuisse. nā aderat in recto primitiuo tertiarum personarū. Quid est igitur cur Abro stultitiæ damnandus non sit, qui Aristarchū insectatur, quod vitiose dixerit, pronomina esse coniugata in personis: quatenus hæc definitio verborum etiam communis est, & potius verborum. nam in verbis voces coniugantur, tum qualitate literarum, tum quan-

* productione

titate syllabarum; quinetiam (vt constat) tempore, ac tenore: id quod deest pronominibus. siquidem plerique carent coniugatione: quod declinanti ea perspicuum fit. Constat enim Aristarchum non vocem pronominis, sed eius significatum definiuisse. id quod omnes definitiones faciunt. dicimus enim etiam pronomina carere articulis: & tamen, quod ad vocem attinet, non carent. nam dicimus, ἡ ἐγὼ, per se habet acutum tenorem: ἡ ἔγωγε, est Atticorum. Illud igitur est pronomen, quod loco nominis sumitur, cum demonstratione, vel relatione; quod nimirum caret articulo. nam ecce demonstratio, & personarum finitio, ad tertiam vsque progressa est. etenim & cum referuntur, finiuntur; quatenus personæ, quæ finiuntur, notæ sunt: & cum demonstrantur, finiuntur; quatenus personæ præsentes sunt. atque hęc est personarnm coniugatio. nam verba carent ista coniugatione. quamuis enim in prima & secunda finiuntur, in tertia tamen persona infinita sunt, exceptis ἀστράπτει, βροντᾷ, & aliis huiusmodi verbis: in quibus actus eiusmodi præcipuus refertur ad Iouem. itaq; verbum non finitur, sed qui est generis & significationis eius auctor; nempe Iupiter. Patet igitur, multiplicē pronominū in tertia persona positionē esse; ne vnica voce diuersę significarentur personę. sequebatur.n. vt ipsæ quoq;, sicut in verbis tertiæ personę,

σύστημα τῶν συλλαβῶν· καὶ φαίνεται ὅτι καὶ κατὰ χρόνον καὶ τάσιν. ταῖς γε μὴν ἀντωνυμίαις οὐ συνῆν τὸ τοιοῦτον· εἴγε αἱ πλείους ἀσύζυγοι, ὡς σαφές ἐστι τοῖς κλίνουσι τὰς ἀντωνυμίας. φαίνεται γὰρ ὅτι ὁ μὲν Ἀρίσταρχος, οὐ τὴν φωνὴν ὡρίσατο τῆς ἀντωνυμίας, ἀλλὰ τὸ ἐξ αὐτῆς παρυφιστάμενον· καθὼς καὶ ἅπαντες οἱ ὅροι ἔχουσι. φασὶ γοῦν ἀσυνάρθρους ἀντωνυμίας. καὶ ὅσον ἐπὶ τῇ φωνῇ, οὐκ εἰσὶν ἀσυνάρθροι· ἐπεὶ φαμὲν, ἡ ἐγὼ, μόνως ὀρθοτονεῖται· ἡ ἔγωγε, ἀττικόν ἐστιν. ἐκεῖνο οὖν ἀντωνυμία, τὸ μετὰ δείξεως ἢ ἀναφορᾶς ἀντονομαζόμενον, ᾧ οὐ σύνεστι τὸ ἄρθρον. ἰδοὺ γοῦν ἡ δεῖξις καὶ ὁ ὁρισμὸς τῶν προσώπων ἄχρι τρίτου διῆλθε. καὶ γὰρ ἀναφερόμεναι ὁρίζονται, καθ' ὃ τὰ πρόσωπα ἐγνώσθη· καὶ δεικνύμεναι, καθ' ὃ τὰ πρόσωπα ὑπ' ὄψιν ἐστί. καὶ τοῦτό ἐστιν ἡ συζυγία τῶν προσώπων. τὰ γὰρ ῥήματα, ἀσύζυγα. ὁριζόμενα γὰρ κατὰ πρῶτον καὶ δεύτερον, ἀοριστοῦται κατὰ τὸ τρίτον· πλὴν τοῦ ἀστράπτει, καὶ τῶν τοιούτων, ὑποστελλομένων· καθὸ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως τῷ Διῒ ἀναπέμπεται. ὥστε οὐ τὸ ῥῆμα ὥρισται, † τὸ δὲ τούτου τὴν διάθεσιν ἐνεργῶν. πρόδηλος οὖν ἡ πολυμερὴς τῶν φωνῶν θέσις, ὑπὲρ τοῦ διὰ μιᾶς φωνῆς διάφορα πρόσωπα λέγεσθαι. ἴσ. μὴ δ. D. παρηκολούθησε γὰρ τὸ, καὶ τὰς ἐν τρίτοις

ἀορι-

ἀορισοῦσθαι· εἴγε μία λέξις πλείονα σημαίνουσα, ἀορίστου παρεμπτώσεως αἰτία γίνεται.

ϛʹ, Ὅτι δεόντως καὶ κατὰ πτῶσιν θεματικαί, καὶ κατ' ἀριθμόν.

Ἐπεὶ τὰ μὲν ἄλλα τῶν πτωτικῶν ἐπ' εὐθείας λημματιζόμενα, γενικὴν καὶ τὰς ὑπολοίπους πτώσεις πρὸς ἀκολουθίαν τῆς εὐθείας ἀποτελεῖ· οὐχ ὑποστελλομένου τοῦ ἄρθρου· εἴγε καὶ αὐτὸ ἐδείχθη ἐν τῇ δεούσῃ ἀκολουθίᾳ κεκλιμένον. Αἱ δὲ προκείμεναι πρωτότυποι ἀντωνυμίαι, θεματικώτερον ἐκλίθησαν· οὐ δυναμένης τῆς ἐγὼ κατὰ λόγον τῶν πτωτικῶν τὴν ἐμοῦ γενικὴν παραδέξασθαι· οὐδὲ μὴν τῆς ἐμοῦ, τὴν ἐμοὶ ἢ ἐμέ· δεόντως καὶ τῶν παρεπομένων ἀριθμῶν ἐξ ἀπαραλύτων πάλιν θεματικῶς. ἀδύνατον γὰρ τὴν μὴ κλιθεῖσαν γενικὴν ἐξ εὐθείας, ἀριθμὸν ἀκόλουθον παραστῆσαι. κλιθεῖσα γὰρ, συγκλίνει τοὺς ἀριθμοὺς, καὶ τὰς ἑξῆς πτώσεις. διὰ τοῦτο καὶ τοῖς ἑτεροκλίτοις παρηκολούθησε τις εὐθεῖα, τῆς γενικῆς τὰ λοιπὰ σχήματα ἀποδιδούσης· οἷον ἡ μεγάλου, ἐποίησε τὸ μεγάλοι· καὶ ἔγκλιμα τοῦ τοιούτου ἡ μεγάλος εὐθεῖα διασώζεται. καὶ ὁμοίως ἡ ὕδατος· καὶ ἔτι ἡ γυναικὸς, ἤτε πολλοῦ· πολλοὶ γὰρ, καὶ ὕδατα, καὶ γυναῖκες. καὶ διὰ τοῦτο συνυπῆρχε τὸ πολλὸς, τὸ γύναιξ, τὸ ὕδας. διὰ τοῦτο οὖν ἡ ἐμοῦ οὐ κλιθεῖσα, γενομένη δὲ ἐν θέματι, καὶ τὸ

ἐκ κλ. D

essent infinitę: siquidem vna dictio plura significãs, significationis infinitæ causa est.

6. Pronomina merito habere casus & numeros primitiuos.

Præterea cetera casualia, posito recto casu, ad eius cõsequẽtiam genitiuum & ceteros formare solent casus, articulo non excepto: siquidem demonstratũ est, ipsum quoque articulum inclinari iuxta congruam consequentiam. Pronomina vero primitiua, de quibus est disputatio, primitiue inclinantur. nam ἐγὼ non potest iuxta regulam casualiũ recipere genitiuum ἐμοῦ: neq; genitiuus ἐμοῦ datiuum ἐμοί, neq; datiuus ἐμοὶ accusatiuum ἐμέ: atq; ita rursus numeri multitudinis merito variantur, & ipsi quoque primitiue enuntiantur. fieri enim non potest vt genitiuus, qui a recto deductus non est, numerum consequentẽ repræsentet: at qui a recto declinatus est, declinat simul numeros & casus consequẽtes: eamq; ob causam nomina heteroclita comitatur alius casus; quoniam genitiuus reliquas figuras exhibet: veluti genitiuus iste τοῦ μεγάλου, format rectum pluralem οἱ μεγάλοι: itaque rectus ὁ μεγάλος adhuc reperitur, qui est huius inclinamenti. Eadẽ ratio est in genitiuis ὕδατος, γυναικὸς, & πολλοῦ, qui habent rectos plurales ὕδατα, γυναῖκες, πολλοί: quare habent etiam alium rectum casum singularem ὕδας, γύναιξ, πολλός. At in pronomine genitiuus ἐμοῦ non inclinatus, sed primitiuam speciem retinens,

caſuum reliquorũ & numerorum conſequentiam recuſauit.

7, An congrue pronomẽ ἐκεῖνος, eiusq; coniugata, receperint genera.

At pronomẽ ἐκεῖνος, & eius cõiugata, quia inclinata ſunt, ideo habent conſequẽtes & caſus & numeros. Perſpicuũ eſt igitur eos nugari, qui nominum analogiam comparantes, conati ſunt extenuare voces iſtas quaſi expertes conſequentiæ, & regulã non ſeruantes: ſiquidem iis ne illud quidem conceditur, vt cũ quolibet nomine quodlibet comparetur. quamquam in hoc genere eſt fere infinita ſimilitudinis conſequẽtia. comparantur enim inter ſe nomina. Hoc autẽ ſi ita eſt, ſequitur illud, vt fruſtra fiat comparatio diuerſarum orationis partium. alioqui quid vetat, quin etiam verba comparẽt cum pronomine; quoniã pronomen habet diſcretionem perſonarum; atque ita turſus iuſtam conſequentiã adimant pronominibus. Sed illud fortaſſe q̃rat quis, cur pronomina conſequentiam declinarint, & quam ob rem non omnibus tributa ſit nominum poſitio, vt communes vel proprias haberẽt qualitates; vt ἄνθρωπος, Πλάτων, habent. Ac dicẽdum eſt, nomina iſtiuſmodi carere demõſtratione ac relatione. itaq; poſitionem eorum futuram fuiſſe numeroſam admodum, ſi ſuam vnicuiq; notam & qualitatem poſitio tribuere voluiſſet. etenim poſitiones, quę coinci-

ἀκόλουθον τῶν πτώσεων παρῃτήσατο, καὶ τοὺς ἀκολούθους ἀριθμούς.

ζ, Εἰ δεόντως ἡ ἐκεῖνος, καὶ αἱ σύζυγοι, γένη παρεδέξαντο.

Ἡ γοῦν ἐκεῖνος, καὶ αἱ σύζυγοι, κλιθεῖσαι, ἔσχον καὶ τὰ συμπαρεπόμενα ἀκόλουθα. σαφὲς οὖν ὅτι ληροῦσιν οἱ ἐγχειρήσαντες εἰς τὸ ἐπικόπτειν τὰς φωνάς, ὡς ἀνακολούθους καὶ παραλόγους· παρατιθέμενοι τὴν ἀπὸ τῶν ὀνομάτων ἀναλογίαν. ὅπου οὐδ᾽ ἐκεῖνο αὐτοῖς δέδοται, τὸ παντὶ ὀνόματι πᾶν ἀντιπαραβάλλειν. ἀλλ᾽ εἰς τὸ τοιοῦτον ἄπειρός ἐστί τις τοῦ ὁμοίου ἀκολουθία. ἀντιπαραβάλλονται γὰρ αἱ λέξεις. καὶ εἰ τοῦτο, πῶς οὐ μάταιον τὸ διάφορα μέρη λόγου ἀντιπαραβάλλειν; οὐδὲν δὲ ἐκώλυεν, ἐπεὶ καὶ προσώπων διακριτικόν ἐστι τὸ μόριον, ἀντιπαραθέσθαι τὰς φωνὰς τῶν ῥημάτων· καὶ οὕτω πάλιν τὰς ἀντωνυμίας τοῦ δέοντος παραγράφειν. Ἴσως οὖν ἐκείνῳ τις ἐπιστήσειεν· ἕνεκα τίνος † τὸ ἀκόλουθον ἀπένευσαν αἱ ἀντωνυμίαι· καὶ διατί οὐ πάσαις ἡ τῶν ὀνομάτων θέσις ἐπενοήθη, εἰς ποιότητας κοινὰς ἢ ἰδίας, ὡς ἄνθρωπος, Πλάτων. κἀπεὶ οὔτε σὺν δείξει τὰ τοιαῦτα, οὔτε ἀναφορᾷ, πάμπολλος ἡ ἐπὶ τούτων θέσις ἐγίνετο· ἵν᾽ ἑκάστου τὸ χαρακτηριστικὸν ἀπονέμοι τὴν ἑκάστου ποιότητα.

ἢ καὶ εἰς
ἀντιπαραλαμβάνον) γὰρ αἱ λήξεις
ἀντιπαραλαμβάνειν
διακριτικόν

οὐ μα-

οὐ μετρίως γοῦν τὰς ποιότητας ἐπιταράττουσιν αἱ συνεμπεσοῦσαι θέσεις, ἔν τε προσηγορικοῖς καὶ κυρίοις ὀνόμασι. διὸ καὶ ὑστεροῖτο διὰ τῶν ὀνομάτων νοούμενον πρόσωπον τοῦ ὁρισμοῦ· καὶ ἕνεκα τοῦ τοιούτου ἰδιάζουσα ἡ εὐθεῖα καθ' ἕκαστον χαρακτῆρα ἀπῄτει τὰς πλαγίας, συνηχούσας πρὸς τὸ ἴδιον τῆς εὐθείας. ἐντεῦθεν οὖν ἀναγκαίως καὶ τὰ γένη παρεισάγεται· ἵνα μετὰ τῆς ποιότητος τοῦ χαρακτῆρος συνδιαστείλῃ τὸ γένος. ἐντεῦθεν συνεπενοήθησαν καὶ αἱ ἐπιθετικαὶ θέσεις· ἵνα καὶ τὰ παρακολουθήσαντα τοῖς κοινῶς ἢ ἰδίως νοουμένοις ἀναπληρωθῇ· τῷ μὲν ἵππῳ, εἰ τύχοι, τὸ λευκὸς, ἢ ταχύς· τῷ δὲ Πλάτωνι, τὸ σοφὸς, τὸ ἀγαθὸς, ἄλλα τε πάμπολλα τὰ δυνάμενα †παρέπεσθαι. ἐντεῦθεν καὶ αἱ συνθέσεις ἐπενοήθησαν, μισάνθρωπος, φερέπονος, φιλόλογος· αἵπερ ἐκ τῶν ἐπισυμβεβηκότων ἐγένοντο. αἱ μέντοιγε ἀντωνυμίαι, εἰς οὐδὲν ἄλλο ἀποβλέπουσαι, διὰ τῆς ἐν αὐταῖς ἐγκειμένης δείξεως, †εἰς τὴν ὑποκειμένην οὐσίαν ἔχουσιν εὔληπτα καὶ τὰ συμβεβηκότα τῇ ποιότητι· λέγω τὰ δυνάμενα δι' ὄψεως ἐπινοηθῆναι, λευκὸν ἢ μέλαν, μακρὸν ἢ βραχύ. οὐχ ὑπὸ δεῖξιν γὰρ πιπτούσης τῆς ψυχῆς, οὐδὲ τὰ ταύτῃ ἐπιφέροντα εὐσυνόπτα ἂν γένοιτο πρὸς τὴν ἀντωνυμίαν. ἔνθεν τοὺς πολλοὺς χαρακτῆρας παρῃτημέναι εἰσὶν αἱ ἀντωνυμίαι. ἑκάστη γὰρ

dunt, confundunt qualitates non mediocrem in modum, tum in appellatiuis, tum in propriis nominibus. Hinc sequeretur vt persona, quę nominibus intelligitur, finita esse non posset: eamque ob causam rectus casus, suam in vnaquaque nota sedem obtinens, obliquos casus poscit, conuenientes proprietati recti. Hinc etiã necessario adsciscit genera; vt vna cũ qualitate notæ genus etiam distinguat. Hinc etiam repertæ sunt adiectiuorũ appositiones; vt compleantur ea quæ accidunt nominibus siue appellatiuis, siue ꝓpriis: equo, si ita casus tulerit, λευκὸς, vel ταχύς: Platoni, σοφὸς, vel ἀγαθὸς, & alia permulta, quæ accidere possunt. Hinc etiã nominum compositio reperta est; μισάνθρωπος, φερέπονος, φιλόλογος: quę nata est ex accidentibus. At pronomina, quæ propter insitam sibi demonstrationem, nihil aliud respiciunt, quam subiectam naturam, facile apprehẽdere accidentia quoque possunt qualitatis: ea inquam quę oculorum sensu percipi possunt; album, vel nigrum; longum, vel breue. nam quæ accidunt animæ, ea nequeunt a pronominibus demonstrari; quoniam anima sub sensum non cadit. Propterea igitur pronomina multas istiusmodi notas recusarunt. singula e-

nim singulis in casibus pro quibuslibet nominibus sumuntur. Hoc si ita est, sequitur vt pronomina cōuenienter careant congrua nominū declinatione: ne videlicet ea quæ pro quolibet nomine sumūtur, vna terminatione, idque sua, finirentur. Eam ob causam genera etiā, quæ sua terminatione nō distinguuntur, habent positionem congruam, & aptam tribus generibus, vna dumtaxat voce: siquidem eorum quoque demonstratio hoc tantum indicat, substantiam inquā. etenim si coincidat in pronominū positionem nominum terminatio, ea positio per comitantem numerum, nō cogitur sequi declinationē quæ inest nomini, sicuti est pronomen ἐγώ, & ἐμοῦ. itaq; Iones & Æoles non eandē terminationem vtriq; assignarunt, sed voces produxerūt, non eo modo quo genitiuos nominum. proferunt enim ἐμέο, & ἐμεῦ, non sicut in nominibus Ἀτρείδεω, Ἀτρείδαο, vel καλοῖο. Possessiuum tamen sequitur vocē nominis, cuius terminationem iam recepit, eaque inclinatur. itaq; in dialectis etiam recipit *eandem terminationem. nā dicimus ἐμοῖο, sicuti καλοῖο: id quod minime dubium est. Relatiua igitur aut demonstratiua pronomina, nō indigent nominis accidentibus. ἐκεῖνος tamen demonstratiuum, & αὐτὸς relatiuum, habēt aliquam inter se oppositionem. nam ἐκεῖνος, deriuationis potius quam pronominis terminationem habet: quemadmodum aduerbium quoq; τημοῦτος eandem de-

*conuenientem

αὐτῶν καθ' ἑκάστην πτῶσιν ἀντὶ παντὸς ὀνόματος παραλαμβάνεται). καὶ εἰ τοῦτο ἀληθές, φυσικώτερον ἄρα ἀφέστηκεν ἡ ἐν τοῖς ὀνόμασιν ἀκόλουθος κλίσις· ἵνα μὴ τὰ ἀντὶ παντὸς ὀνόματος παραλαμβανόμεναι, μιᾷ καταλήξει τῇ ἐκ τούτων ὑποπέσωσι. διὸ καὶ τὰ γένη οὐκ ἐκκοπτόμενα τοῖς ἰδίοις τέλεσι, κατάλληλον ἔχει τὴν ἐν τοῖς τρισὶ γένεσι θέσιν, διὰ μιᾶς συλλαβῆς· εἴγε καὶ ἡ δι' αὐτῶν δεῖξις, αὐτὸ μόνον οὐσίαν παρεμφαίνει. καὶ γὰρ εἰ συνεμπέσοι λῆξις ὀνοματικὴ αὐτῇ, ἡ διὰ τοῦ συνόντος ἀριθμοῦ τὴν ὑπεκλύει) τοῦ ἀκολούθου τῆς ἐγγινομένης κλίσεως· ὡς ἔχει ἡ ἐγώ, καὶ ἡ ἐμοῦ. ἐφ' οἷς καὶ αἱ διάλεκτοι οὐ τὴν αὐτὴν λῆξιν ἐπεμέτρησαν, ἀλλὰ τὰς φωνὰς παρενηνεγμέναι, οὐχ ὥσπερ τὰς γενικὰς τῶν ὀνομάτων, ἐμέο καὶ ἐμεῦ, οὐχ ὡς ἡ Ἀτρείδεω καὶ ἡ Ἀτρείδαο, ἢ καλοῖο. ἡ γοῦν ὁμόφωνος κτητική, ὀνόματος ἤδη τὸ τέλος ἀναδεδεγμένη, ἐφ' ᾧ καὶ φέρεται, πάλιν τὸ δέον ἀνεδέξατο κατὰ τὰς διαλέκτους, ἐμοῖο, ὡς καλοῖο, καθὼς πρόκειται. Αἱ οὖν ἀναφερόμεναι ἢ δεικνύμεναι, ἀπροσδεεῖς εἰσι τῶν παρεπομένων τῷ ὀνόματι. ἀλλὰ ἀντίκειται ἥτε ἐκεῖνος, καὶ ἡ αὐτός. ἡ γὰρ ἐκεῖνος, παραγωγῆς κατάληξιν ἔχει, οὐκ ἀντωνυμίας. καθὸ καὶ τὸ τημοῦτος, ἐπίρρημα ὄν, παραγωγῆς

ἄλλως Soph.

καὶ ἡ κ.

τῆς αὐ-

τῆς αὐτῆς ἔτυχεν [καὶ οὐκ ἀπεμφαῖνον, δύο ἀντικεῖσθαι, ἁπασῶν τὸ δέον σχῆμα ἀναδεδεγμένων. μήποτε δὲ εὐλόγως καὶ διὰ τῆς φωνῆς συνεπίσχυσαν ὁρίσαι τὸ ὑποκείμενον.] ἡ γὰρ ἐξ αὐτῶν νοουμένη ἀπόστασις, ἀμαυροτέραν τὴν δεῖξιν καθίστανε. καὶ ἔνθεν παρεισεδύετο τὸ γένος· οὐχ ἵνα τὴν οὐσίαν παραστήσῃ, ἀλλ' ἵνα τὸ γένος διαστείλῃ. τὰ γὰρ κοινὰ λεγόμενα ἐν γένει, λέγω ἐπὶ τῶν προσηγορικῶν, ἐξ ἀποστήματος ἐπινοηθέντα, οὐκ ἐξίσχυσε τὸ γένος διαστεῖλαι· λέγω ἐπὶ τοῦ ἵππος ἢ ἄνθρωπος. πλησιάσασι δὲ αὖθις καὶ δήλοις γενομένοις κατὰ τὸ γένος, συνεγένετο καὶ τὸ ἄρθρον. πολλῷ δὲ μᾶλλον καὶ ἡ αὐτός. τὰ γὰρ ἀπόντα τῶν τρίτων προσώπων ἀναφέρουσα, ὑπόμνησιν καὶ διὰ τοῦ γένους ἐποιεῖτο, καὶ διὰ τοῦ χαρακτῆρος. Ἀλλ' ἐκεῖνο λείπεται, τίνος ἕνεκεν [εἰς ος κατέληξαν, πλείστης οὔσης καταλήξεως ὀνομάτων; ἢ ὅτι γενικωτέρα ἐστὶν] ἡ εἰς ος κατάληξις; διὰ τοῦτο καὶ τὰ ἄρθρα, πᾶσιν ὀνόμασι παρατιθέμενα, ἐν ταύτῃ τῇ καταλήξει ἐγένετο· καὶ αὗται αἱ παραχθεῖσαι ἀντωνυμίαι εἰς ὀνόματος κτῆσιν, ὡς ἐπὶ τῆς ἐμός, καὶ τῶν συζύγων. καὶ σχεδὸν ἅπασαι αἱ πευστικαὶ πτώσεις, ἐπιζητοῦσαι πᾶν ὄνομα, ποῖος, πόσος, πηλίκος, ποδαπός. πρόσκειται τὸ σχεδόν, διὰ τὸ τίς·

αὐταί

riuationem sortitum est. Neq; vero fuerit absurdum, duo pronomina esse inter se opposita; cum omnia receperint figuram sibi conuenientem. fortasse enim non sine recta ratione etiam voce ipsa *propositam personam finire valuerunt. nam interuallũ, quod iis duobus pronominibus intelligitur, facit remissiorem eorum demonstrationem: eamque ob causam succedit genus, non vt præsentem sistat substantiã, sed vt distinguat genus. nam ea quæ commune genus habẽt, appellatiua inquam nomina, vt *equus*, *homo*, si ex loci interuallo percipiãtur, genus distinguere non valent: sin accedant propius, & genus eorum innotescat, tum vero etiam articulũ asciscũt. Hoc facit multo magis αὐτὸς pronomen. nam cum absentes tertias personas referat, & genere & voce cõmonefacit. Reliqua est illa quæstio; cur pronomina hæc syllaba ος terminentur potius; cum plurimæ aliæ sint nominum terminationes? An quia terminatio in ος est magis vniuersalis: eamque ob causam articuli, qui omnibus nominibus apponuntur, hãc terminationem obtinuerũt; & ipsa deriuata possessiua pronomina, vt ἐμός, & eius coniugata; & propemodum omnia interrogatiua casualia, quærentia quodlibet nomen, ποῖος, πόσος, πηλίκος, ποδαπός. Addita est particula *propemodum*; propter τίς:

suppositum

quod ne ipsum quidem est expers huius terminationis: siquidē νίος apud Æoles nominatiuū in ος obtinuit: adiuuante etiam articulo subiunctiuo ὅς, *quod habet æqualem potestatem; eiq; etiam associatur; vt in illo, Ὅστις ἐμὸν περὶ σῆμα: &, Ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται.

qui

8, Quid causæ sit cur poetæ articulos loco pronominum vsurpent.

Dicendum etiam est de iis quæ voce sunt articuli, pronomina transsumptione fiunt:

Il. α. Ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, pro οὗτος:

Il. α. &, Τὸν δ' ἀπαμειβόμενος:

Od. ν. &, Ὡς ἡ ῥίμφα θέουσα:

Od. β. &, Εἵνεκα τῆς ἀρετῆς ἐελδαίνομεν:

quod loco pronominis ταύτης transsumitur: assumit autem extrinsecus articulum: idque recte. Ac primum illud in vniuersum de istiusmodi exemplis statuendum est, nominandi casus, & pronomina quæ pro nominibus sumuntur, seruare eandem cōstructionem atq; verba: nam sicuti dicitur Τρύφων διδάσκει, ita etiam οὗτος διδάσκει: at obliquos recipere constructionem nominatiui, verba vero interposita demonstrare *affectionem vniuscuiusque casus: quale est istud, Θέωνα διδάσκει Τρύφων: &, τοῦτον φιλῶ ἐγὼ, τοῦτον φιλεῖ Θέων. Verumtamen illud quoque verum est, articulos coniungi cum nominibus pro quibus pronomina succedunt, quæ neque quantitates, neque qua-

significationem

ὅπερ οὐδὲ αὐτὸ ἐκτός ἐστι τῆς εἰς ος καταλήξεως· εἴγε τὸ †νίος παρ' Αἰολεῦσι, τῆς εἰς ος εὐθείας ἔτυχε· συνεπισχύοντος καὶ τοῦ ἰσοδυναμοῦντος αὐτῷ, λέγω τοῦ ὅς· ᾧ καὶ συμφέρεται· ὡς ἐν τῷ, ὅστις ἐμὸν περὶ σῆμα· καὶ ὡς ἐν τῷ, ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται).

η', Τίς ἡ αἰτία τοῦ τὰ ἄρθρα παρὰ ποιηταῖς εἰς ἀντωνυμίαν παραλαμβάνεσθαι.

Ῥητέον δὲ καὶ περὶ τῶν τῇ φωνῇ ἄρθρων καθεστώτων, τῇ δὲ ἐξ αὐτῶν μεταλήψει [ἀντὶ] ἀντωνυμιῶν· ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, ἀντὶ τοῦ οὗτος· Τὸν δ' ἀπαμειβόμενος· Ὡς ἡ ῥίμφα θέουσα· Εἵνεκα τῆς ἀρετῆς ἐελδαίνομεν. ὃ μεταλαμβάνεται μὲν εἰς τὸ ταύτης, προσλαμβάνει δὲ ἔξωθεν δεόντως τὸ ἄρθρον. καθόλου [γὰρ] περὶ πάντων τῶν τοιούτων αἱ ὀνομαστικαὶ πτώσεις, καὶ αἱ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, σύνταξιν τὴν αὐτὴν ποιοῦνται τοῖς ῥήμασιν. ὡς ἔχει τὸ, Τρύφων διδάσκει, καὶ οὗτος διδάσκει. αἵ γε μὴν πλάγιαι, τὴν ἐκ τῶν εὐθειῶν σύνταξιν ἀναδέχονται τῶν μεταξὺ πιπτόντων ῥημάτων, ἐνδεικνυμένων τὴν ἑκάστης διάθεσιν· ὡς ἔχει τὸ, Θέωνα διδάσκει Τρύφων, τοῦτον φιλῶ ἐγὼ, τοῦτον φιλεῖ Θέων. Ἔστι γε μὴν κἀκεῖνος ὁ λόγος ἀληθὴς, ὡς σύνεστι τὰ ἄρθρα μετὰ τῶν ὀνομάτων, ἀνθ' ὧν παραλαμβάνεται ἡ ἀντωνυμία, οὐ σημαίνουσα τὰς πηλικότητας, ἢ ποιότητας, ἴσ. σημαίνοντα Soph.

τητας, ἤ τι τῶν παρεπομένων τοῖς ὀνόμασι· καθὸ ἀπεδείξαμεν καὶ ἐπὶ τῆς ἀντωνυμίας τὸ αὐτό. ὡς γὰρ τὸ οὗτος κατὰ παντὸς ὑποκειμένου παραλαμβάνεται, καὶ τὰ ἄρθρα σὺν παντὶ ὑποκειμένῳ παραλαμβάνεται· ὁ μέγας, ὁ βραχύς, ὁ λευκός, ὁ χρυσοῦς. Καὶ τούτων τῇδε ἐχόντων, ὅταν τὸ ἄρθρον μὴ μετ' ὀνόματος παραλαμβάνηται, ποιήσηται δὲ σύνταξιν ὀνόματος ἣν προεξεθείμεθα, ἐκ πάσης ἀνάγκης εἰς ἀντωνυμίαν μεταληφθήσεται· εἴγε οὐκ ἐστὶ νοούμενον μετ' ὀνόματος, δυνάμει ἀντὶ ὀνόματος παρελήφθη. καὶ ἐνθένδε ἡ σύνταξις αὐτοῦ παρεχώρει εἰς ἀντωνυμικὴν μετάληψιν. ἔστω γάρ τι τοιοῦτον· Χρύσης [γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· καὶ ἔτι μετὰ τοῦ ἄρθρου,] ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· καὶ σαφὲς ὅτι ἡ ἔλλειψις τοῦ ὀνόματος, τῷ ἄρθρῳ προσδώσει τὰ τῆς συντάξεως· καὶ οὐκ ἄλλο τι γενήσεται τὸ ἄρθρον, ἢ ἀντωνυμία, ἥ ἐστιν ἀντὶ παντὸς ὀνόματος παρειλημμένη· ἐπεὶ καὶ αὐτὸ κατὰ παντὸς ὀνόματος οὐκ ἐμποδιζόμενον παραλαμβάνεται ἐν ποιότητι, ἢ ἄλλῳ τινὶ τῶν παρεπομένων, καθὼς εἴπομεν. Ἐν μέντοι τοῖς ἑξῆς δεδείξεται, πότε οἱ λόγοι τὰ ὀνόματα παραιτοῦνται, ἀντιπαραδεχόμενοι τὰς ἀντωνυμίας. καὶ ἡ μὲν τοιαύτη σύνταξις, προϋφεστώτων ὀνομάτων, καθ' ὧν ἀναφέρεται τὰ ἄρθρα, ποιεῖται μετάληψιν· † ἡ μέντοι μὴ οὕτως ἔχουσα, αὐτόθεν δὲ ἐν

litates significant, neq; aliud nominum accidēs; sicuti demonstrauimus idem in pronominibus. nam quēadmodum pronomē οὗτος ad quodlibet suppositum assumitur, ita etiam articuli cum quolibet supposito sociantur; ὁ μέγας, ὁ βραχύς, ὁ λευκός, ὁ χρυσοῦς. Cū igitur hæc sic se habeant, cum articulus absq; nomine sumptus, cōstructionem tamē facit nominis eam quam antea exposuimus, tum necessario transsumitur in pronomen. siquidē sine nomine adhibitum, vi tamen ac potestate pro nomine trāssumptum est. fac enim esse aliquid eiusmodi; Χρύσης γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν: & cum articulo, ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀ- Il. α.
χαιῶν: hic est perspicuum, defectum nominis articulo relinquere cōstructionem: atque ita fieri articulum nihil aliud quam pronomē, quod pro quolibet assumitur nomine. nam ipse quoque articulus, nulla re obstante, sociatur cum quolibet nomine significante qualitatem, vel aliud quidpiā eorum quæ nomini accidunt; quemadmodum superius diximus.

In sequentibus vero demōstrabimus quādo recuset nomina oratio, & eorum loco recipiat pronomina. Ac huiusmodi constructio, antecedentibus nominibus, de quibus articuli referuntur, facit transsumptionem: dissimilis autem cōstructio, nullis an-

tecedentibus nominibus, per incertæ personæ anticipationem, transsumit infinitos articulos. qualia sunt exempla istiusmodi; ὁ περιπατῶν κινεῖται: & in subiunctiuis, ὃς ἂν παραγένηται, ἀναγινωσκέτω. idq; iure optimo. nam articulus, qui sociatur cũ quolibet nomine, ad quodlibet etiã nomen insitum potestate recurret. Recte igitur articuli aut in personas definitas assumuntur, nempe pronomina: aut in nomen maxime infinitum, vt est nomen τίς. Etenim hæc oratio, ὁ περιπατῶν κινεῖται, non distat admodũ ab illa, εἴ τις περιπατεῖ, κινεῖται: neq; ista, ὃς ἂν ἔλθῃ, ab illa, εἴ τις ἂν ἔλθῃ. Quare si quod nomẽ iungatur cum superioribus constructionibus, ipsum quoq; suum sensum obtinebit; ὁ Διονύσιος περιπατῶν κινεῖται: Τρύφων κοιμᾶται, ὃς μένει με διαναστάς. Recte igitur in istiusmodi constructionibus hæc etiã pronomina dicentur; quatenus aliæ quoque partes orationis, quæ a sua constructione traductæ, aliarum proprietates complent, mutata ratione, earum appellationem obtinent; vt faciunt aduerbia quæ speciem nominum habent, vt κάλλιστα, ἥδιστα: ἰδίᾳ, δημοσίᾳ, κύκλῳ· participia etiam, cum nominum cõstructionem subeunt; vt ἐρωμένη, εἱμαρμένη. in quibus illud tantum demonstrandum est, nempe mutationem partium; quarum significationes in constructionibus, habent plus ponderis quam voces.

προσλήψει τοῦ ἐσομένου προσώπου παραλαμβανομένη, ἀόριστον μετάληψιν τὴν τοῦ ἄρθρου ποιεῖται· ὡς τὰ τοιαῦτα ἔχει, ὁ περιπατῶν κινεῖται. καὶ ἔτι ἐν ὑποτακτικοῖς, ὃς ἂν παραγένηται, ἀναγινωσκέτω. πάνυ εὐλόγως. συμφερόμενον γὰρ παντὶ ὀνόματι, καὶ ἐπὶ πᾶν ὄνομα ἀναδραμεῖται ἐξ καθεστηκός. ὅπερ ἴδιον ἀορίστου. ὑγιῶς ἄρα τὰ ἄρθρα, ἢ εἰς ὡρισμένα πρόσωπα παραλαμβάνεται τὰς ἀντωνυμίας, ἢ εἰς τὸ ἀοριστότατον· λέγω τὸ τίς. οὐ γὰρ πόρρω πέπτωκε τὸ, ὁ περιπατῶν κινεῖται, τοῦ, εἴ τις περιπατεῖ, κινεῖται· οὐδὲ τὸ, ὃς ἂν ἔλθῃ, τοῦ, εἴ τις ἂν ἔλθῃ. εἰ γοῦν συνεντεθείη τι τῶν ὀνομάτων ταῖς προκειμέναις συντάξεσι, καὶ αὐτὰ κατάστησε) εἰς τὸν ἴδιον μερισμόν· ἴσ. αὐτὸ ὁ Διονύσιος περιπατῶν κινεῖται· Τρύφων κοιμᾶται, ὃς μένει με διαναστάς. δεόντως δὴ οὖν καὶ ἀντωνυμίαι ῥηθεῖεν κατὰ τοὺς μερισμούς, καθότι καὶ ἄλλα μέρη λόγου, πάλιν μετατεθέντα τῆς ἰδίας συντάξεως, καὶ ἄλλων ἀναπληρώσαντα τὰς ἰδιότητας, πάλιν τῆς τούτων ὀνομασίας ἔτυχεν· ὡς ἔχει τὰ ὀνοματικὰ ἐπιρρήματα, κάλλιστα, ἥδιστα· ἰδίᾳ, δημοσίᾳ, κύκλῳ. καὶ ὅτε αἱ μετοχαὶ εἰς ὀνομάτων σύνταξιν παραλαμβάνονται· ὡς τὸ ἐρωμένη, εἱμαρμένη. ἐφ' ὧν χρὴ αὐτὸ μόνον τὴν μετάπτωσιν διδάσκειν. οὐ γὰρ μᾶλλον ἐπικρατοῦσιν αἱ φωναὶ κατὰ τοὺς μερισμοὺς, ὡς τὰ ἐξ αὐτῶν σημαινόμενα.

Εὐλόγως

Εὐλόγως οὖν καὶ ἡ οὗτος, παραχθεῖσα ἐξ ἄρθρου τοῦ ὅς, σημαίνοντος οὐκ ἀρθρικὴν σύνταξιν, ἀλλ' ἀντωνυμικήν, εἰς τὰς ἀντωνυμίας ἐχώρησεν. οὐ γὰρ θεματική ἐστιν, ὥς τινες ᾠήθησαν. καὶ σαφὲς ἐκ τῶν παρεπομένων· ἀπὸ παντὸς ἀρσενικοῦ πρωτοτύπου ἢ παραγώγου, τοῦ εἰς ος λήγοντος, θηλυκὸν γίνεται, τοῦ τέλους εἰς η ἢ εἰς α μακρὸν μεταπίπτοντος· ὅτι μὴ μόνον ἐκ τῆς προκειμένης παραγωγῆς. ἡ γὰρ τοιαύτη παραγωγή, ὑποστρέφει εἰς τὸ πρωτότυπον κατὰ γένος· τηλίκος, τηλικοῦτος· τηλίκη, τηλικαύτη. καὶ ἔτι ἐπὶ οὐδετέρων. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ τοσοῦτος, τοιοῦτος· ὅπερ παρηκολούθηκε καὶ τῇ ὅς, οὗτος· καὶ οὐκέτι τὸ θηλυκὸν οὕτη, ἀλλὰ πάλιν ἡ αὕτη. κἀπὶ οὐδετέρου, λέγω τὸ τό, ἀπὸ τοῦ τ ἤρξατο· καὶ τὸ τοῦτο, ἀπὸ τοῦ τ ἤρξατο. καὶ κατὰ πτώσεις δὲ παράγεται. οὐ γὰρ ἀπὸ τοῦ τηλικαῦται, γενικὴν φαμὲν τηλικαύτων· ἢ ἀπὸ τοῦ τοιαῦται, τοιαύτων· καθό ἐστιν ἐπινοῆσαι ἐπὶ ἀπολύτων θεματικῶν. αὐταὶ γοῦν αὐτῶν φαμέν. καὶ ἔτι ἐπὶ τοῦ ἀνεπεκτάτου· τοῖαι, τοίων· τηλίκαι, τηλίκων. καὶ σαφὲς ὅτι παρὰ μὲν τὸ τηλίκαι, τὸ τηλικαῦται· παρὰ δὲ τὸ τηλίκον, τὸ τηλικοῦτον. ταὐτὸ οὖν ἐπηκολούθηκε καὶ ἐπὶ τοῦ αἱ, αὗται. κἀπεὶ εἴχετο παραγωγῆς τῆς παρακειμένης, οὐκ ἔτι αὐτῶν,

συμπα- ρατ. D.

παρηκο- λύθη

ἐπακο- λυθεῖ

προκει- μένης

Recte igitur pronomē quoque οὗτος, qđ est deductum ab articulo ὅς, significante non articuli, sed pronominis constructionem, in ordinē pronominum concessit. neque enim οὗτος est primigenium, vt nonnulli existimarunt. fidem namque faciunt hoc esse deriuatum, accidentia. A quolibet masculino terminante in ος, siue sit primitiuũ, siue deriuatũ, formatur fœmininũ, extrema syllaba mutata in η, vel in α lōgum: excepto isto deriuatiuo de quo agitur. huiusmodi enim deriuatio reciprocatur ad suum primitiuum in vnoquoque genere: τηλίκος, τηλικοῦτος: τηλίκη, τηλικαύτη: τηλίκον, τηλικοῦτον. Eadem est ratio in τοσοῦτος, & τοιοῦτος. Idem accidit etiam his, ὅς, οὗτος: cuius fœmininum non οὕτη, sed rursus facit αὕτη: & in neutro, τὸ inquam, a litera τ exorsum est: pronomen etiam τοῦτο suum habet principium a τ. Quinetiam in casibus deriuatur. neque enim a nominatiuo τηλικαῦται dicimus in genitiuo τηλικαύτων, vel a τοιαῦται, τοιαύτων: vt potest perspici in omnibus primigeniis. dicimus enim αὐταί, αὐτῶν: & τοῖαι, τοίων, si careat productione: & τηλίκαι, τηλίκων: neq; est dubiũ τηλικαῦται deduci a τηλίκαι, & τηλικοῦτον a τηλίκον. Idem igitur accidit & his, αἱ, αὗται: nā quoniam sequitur vicinam deriuationē, non format genitium αὐτῶν,

vicem subire nominum, non eorum quæ ante memorata fuerunt, sed eorum quę assumi non possunt: atq; ita distribuuntur in demonstratiua & relatiua; quamquam in vnicam conuenerint appellationem. in vtrorumque enim discrimine illud commune habent, quod vtraque sunt pronomina. nam vel cũ nomina enunciari non possunt, vel cum sunt enunciata, sed repeti non possunt, hæc assumuntur. si quis enim pro

Il. eo pronomine, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ, reponat nomẽ Ζεύς, non referet vtramque illam orationem ad Iouem,

noua sed *alterius orationis principium instituet. Eadẽ ratio est in omnibus quæ eodem modo sumuntur. licet enim pro relatiuis pronominibus nomina ponere, orationemque variare. Quoties tamen duo hęc pronomina, ἐκεῖνος & οὗτος, non demonstrãt res certas, quæ sub aspectum cadũt, sed referunt; existimandum est eorum demõstrationem ad mentem referri: ita vt alię sint oculorum, aliæ mentis demonstrationes. Cum igitur natura demonstratiua sint, recusant articulum, qui huic constructioni aduersarius est.

4. *Pronomina personæ tertiæ capere plures voces necessario.*

Tertię quoq; pronominũ personę, potissimum diuersa voce, diuersas efficiunt personas; quamquam verba vnica voce feruntur ad diuersas personas: χάρφει Διονύσιος, vel

οὐκ εἰρημένων τῶν ὀνομάτων, ἀλλ' ὑπηνέχθησαν, ἀλλ' οὐ δυναμένων παραληφθῆναι. καὶ οὕτω μερίζονται εἰς τὰς δεικτικὰς καὶ ἀναφορικάς, εἰς μίαν ὀνομασίαν συνελθοῦσαι. κατὰ γὰρ ἑκατέρας τὰς διαφοράς, ἓν συνάγεται τὸ ἀντονομάζεσθαι. ἢ γὰρ μὴ δυναμένων τῶν ὀνομάτων εἰρῆσθαι, αὗται παραλαμβάνονται· ἢ εἰρημένων μέν, πάλιν δὲ [μὴ] δυναμένων παραλαμβάνεσθαι. εἰ γάρ τις ἀντὶ τοῦ, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ, ἀντιθήσει τὸ Ζεύς, οὐ συνάξει τοὺς δύο λόγους κατὰ τοῦ Διός, ὡς ἀρχὴν δὲ λόγου ποιήσεται. ὁ αὐτὸς δὲ λόγος ἐπὶ ἁπασῶν τῶν οὕτω παραλαμβανομένων. παρὸν γὰρ ἀντὶ τῶν ἀναφορικῶν τὰ ὀνόματα θέσθαι, καὶ τὰ τοῦ λόγου ἀλλοιῶσαι. ὁπηνίκα μέντοι τὸ ἐκεῖνος καὶ οὗτος οὐ δεικνύουσι τὰ ὑπὸ ὄψιν, ἀναφέρουσι δέ, δεκτέον ὅτι [καὶ] ἡ ἐκ τούτων δεῖξις ἐπὶ τὸν νοῦν φέρεται· ὡς τὰς μὲν, τῆς ὄψεως εἶναι δείξεις· τὰς δὲ, τοῦ νοῦ. φύσει γοῦν οὖσαι δεικτικαί, καὶ τὸ ἀντικείμενον ἄρθρον τῇ συντάξει οὐ παραλαμβάνουσι.

τῶν δηλῶν

ἑκατέρου

ἢ ἑξῆς

δ', Ὅτι ἀναγκαίως τὰ τρίτα πρόσωπα ἐν πλείοσι φωναῖς καταγίνεται.

Καὶ ἔτι ἐξαιρέτως καὶ τὰ τρίτα πρόσωπα ἐν διαφόροις φωναῖς, διάφορα τρίτα ἀποτελοῦσι, τῶν ῥημάτων διὰ μιᾶς φωνῆς ἐπὶ πλείονα πρόσωπα συντεινόντων· γράφει Διονύσιος, ἢ Τρύφων,

Τρύφων, ἢ τις ἄλλος † τῶν δυναμένων πρᾶγμα παραδέξασθαι. οὐ μὴν ἐπὶ τῶν ἀντωνυμιῶν· εἴγε [μὴν] ἀναφορικὴ μὲν ἡ αὐτός, δεικτικὴ δὲ ἡ ἐκεῖνος, καὶ ἔτι ἡ οὗτος, διαφέρουσα τῷ διαστήματι τῆς δείξεως. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ ὅδε.

ε´, Διατί κατὰ τὸ τρίτον, τῷ ι ἐπέκτασιν ἀνεδέξαντο, χωρὶς τοῦ αὐτός.

Κἀπεὶ ἔφαμεν τὰς δεικτικὰς ἐπιτείνεσθαι εἰς πλείονα δεῖξιν, αἱ δὲ προκείμεναι φωναὶ, οὐκ ἠδύναντο τὸν διπλοῦν τοῦ τόνου ἀναδέξασθαι, καθάπερ ἡ ἐμοῦ καὶ ἐμοί, καὶ αἱ σύζυγοι, διὰ τὴν ἐπὶ τέλους βαρεῖαν, εἰς παραγωγὴν τὴν διὰ τοῦ ι, μετῆλθον, ἐπισπώμεναι κατὰ τοῦ τέλους τὴν ὀξεῖαν, εἰς ἐμφανισμὸν τῆς πλείονος ἐπιτάσεως· καθάπερ καὶ αἱ προκατειλεγμέναι κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον· ἐκεινοσί, οὑτοσί, ὁδί. πρόδηλον γὰρ ὅτι στερουμένη ἡ αὐτὸς τῆς δείξεως, συνεστέρητο καὶ παραγωγῆς ἐπαγγελλομένης ἐπὶ πλείονα δεῖξιν. Δοκεῖ δέ μοι μηδὲ ἀλλοτρίως ἡ παραγωγὴ τοῦ ι παραδεδέχθαι. ἦν γὰρ τοῦτο θεματικὸν ἐν τρίτοις προσώποις τῆς εὐθείας. Πῶς οὖν οὐκ εὐήθεις οἱ περὶ Ἄβρωνα, καταδραμόντες Ἀριστάρχου, ὡς οὐ δεόντως φαμένου κατὰ πρόσωπα συζύγους τὰς ἀντωνυμίας· καθ' ὃ κοινὸς ὁ ὅρος καὶ ῥημάτων· καὶ μᾶλλον γε αὐτῶν. συζυγοῦσι γὰρ αἱ φωναί, κατά τε ποιότητα τῶν στοιχείων, καὶ κατὰ πο-

* παραγωγὴν

Τρύφων, vel aliquis alius, qui possit actionem illam suscipere. at non ita in pronominibus: siquidē diuersa est vox relatiui αὐτὸς, & demonstratiui ἐκεῖνος, & præterea demōstratiui οὗτος, quod demōstrationis interuallo differt a superiore. Eadē est ratio pronominis ὅδε.

5. Cur pronomina in tertia persona producantur litera ι, vno excepto αὐτός.

Quoniam vero diximus demonstratiua pronomina intendi ad maiorem demonstrationem; voces autē istæ, de quibus iam agitur, nō poterāt recipere duos tenores, sicuti faciunt ἐμοῦ & ἐμοὶ, & earum affines, propter grauem tenorem, quem in extremis habent syllabis; ideo sunt productæ litera ι, & tenorem acutū ad extremam syllabam traxerunt, vt maiorem intensionem indicarēt; sicuti faciunt in prima & secunda persona pronomina paulo ante memorata; ἐκεινοσί, οὑτοσί, ὁδί. nam αὐτὸς, quod demonstratione priuatur, priuatur simul nimirū & *productione quæ additur ad maiorem demonstrationem. Ac existimo productionem istam ι, nō temere receptam fuisse. nā aderat in recto primitiuo tertiarum personarū. Quid est igitur cur Abro stultitiæ damnandus non sit, qui Aristarchū insectatur, quod vitiose dixerit, pronomina esse coniugata in personis: quatenus hæc definitio verborum etiam communis est, & potius verborum. nam in verbis voces coniugantur, tum qualitate literarum, tum quan-

* porrectione

titate syllabarum; quinetiam (vt constat) tempore, ac tenore: id quod deest pronominibus. siquidem plerǽque carent coniugatione: quod declinanti ea perspicuum fit. Constat enim Aristarchum non vocem pronominis, sed eius significatum definiuisse. id quod omnes definitiones faciunt. dicimus enim etiam pronomina carere articulis: & tamen, quod ad vocem attinet, non carent. nam dicimus, ἡ ἐγὼ, per se habet acutum tenorem: ἡ ἔγωγε, est Atticorum. Illud igitur est pronomen, quod loco nominis sumitur, cum demonstratione, vel relatione; quod nimirum caret articulo. nam ecce demonstratio, & personarum finitio, ad tertiam vsque progressa est. etenim & cum referuntur, finiuntur, quatenus personæ, quæ finiuntur, notæ sunt: & cum demonstrantur, finiuntur; quatenus personæ præsentes sunt. atque hęc est personarum coniugatio. nam verba carent ista coniugatione. quamuis enim in prima & secunda finiuntur, in tertia tamen persona infinita sunt; exceptis ἀστράπτει, βροντᾷ, & aliis huiusmodi verbis: in quibus actus eiusmodi præcipuus refertur ad Iouem. itaque verbum non finitur, sed qui est generis & significationis eius auctor; nempe Iupiter. Pater igitur, multiplicē pronominū in tertia persona positionē esse; ne vnica voce diuersę significarentur personę. sequebatur.n. vt ipsæ quoque, sicut in verbis tertiæ personę,

συστήματα τῶν συλλαβῶν· καὶ φαίνεται ὅτι καὶ κατὰ χρόνον καὶ τάσιν. ταῖς γε μὴν ἀντωνυμίαις οὐ συνεῖδε τὸ τοιοῦτον· εἴγε αἱ πλείους ἀσύζυγοι, ὡς σαφές ἐστι τοῖς κλίνουσι τὰς ἀντωνυμίας. φαίνεται γὰρ ὅτι ὁ μὲν Ἀρίσταρχος, οὐ τὴν φωνὴν ὡρίσατο τῆς ἀντωνυμίας, ἀλλὰ τὸ ἐξ αὐτῆς παρυφιστάμενον· καθὼς καὶ ἅπαντες οἱ ὅροι ἔχουσι. φασὶ γοῦν ἀσυνάρθρους ἀντωνυμίας. καὶ ὅσον ἐπὶ τῇ φωνῇ, οὐκ εἰσὶν ἀσυνάρθροι· ἐπεὶ φαμὲν, ἡ ἐγὼ, μόνως ὀρθοτονεῖται· ἡ ἔγωγε, ἀττικόν ἐστιν. ἐκεῖνο οὖν ἀντωνυμία, τὸ μετὰ δείξεως ἢ ἀναφορᾶς ἀντονομαζόμενον, ᾧ οὐ σύνεστι τὸ ἄρθρον. ἰδοὺ γοῦν ἡ δεῖξις καὶ ὁ ὁρισμὸς τῶν προσώπων ἄχρι τρίτου διῆλθε. καὶ γὰρ ἀναφερόμεναι ὁρίζονται, καθ' ὃ τὰ πρόσωπα ἐγνώσθη· καὶ δεικνύμεναι, καθ' ὃ τὰ πρόσωπα ὑπ' ὄψιν ἐστί. καὶ τοῦτό ἐστιν ἡ συζυγία τῶν προσώπων. τὰ γὰρ ῥήματα, ἀσύζυγα. ὁριζόμενα γὰρ κατὰ πρῶτον καὶ δεύτερον, ἀοριστοῦται κατὰ τὸ τρίτον· τοῦ ἀστράπτει, καὶ τῶν τοιούτων, ὑποστελλομένων· καθὸ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως τῷ Διῒ ἀναπέμπεται. ὥστε οὐ τὸ ῥῆμα ὥρισται, † ὁ δὲ τούτου τὴν διάθεσιν ἐνεργῶν. πρόδηλος οὖν ἡ πολυμερὴς τῶν φωνῶν θέσις, ὑπὲρ τοῦ διὰ μιᾶς φωνῆς διάφορα πρόσωπα λέγεσθαι. ἴσ. μὴ δ. D. παρηκολούθησε γὰρ τὸ, καὶ τὰς ἐν τρίτοις

ἀορι-

ἀορίστου δὲ ἤ, εἴγε μία λέξις πλείονα σημαίνουσα, ἀορίστου παρεμπτώσεως αἰτία γίνεται.

ς΄. Ὅτι δεόντως καὶ κατὰ πᾶσαν θεματικαί, καὶ κατὰ ἀριθμόν.

Ἔτι τὰ μὲν ἄλλα τῶν πτωτικῶν ἐπ' εὐθείας λημματιζόμενα, γενικὴν καὶ τὰς ὑπολοίπους πτώσεις πρὸς ἀκολουθίαν τῆς εὐθείας ἀποτελεῖ· οὐχ ὑποστελλομένου τοῦ ἄρθρου· εἴγε καὶ αὐτὸ ἐδείχθη ἐν τῇ δεούσῃ ἀκολουθίᾳ κεκλιμένον. Αἱ δὲ προκείμεναι πρωτότυποι ἀντωνυμίαι, θεματικώτερον ἐκλίθησαν· οὐ δυναμένης τῆς ἐγὼ κατὰ τὸν λόγον τῶν πτωτικῶν τὴν ἐμοῦ γενικὴν παραδέξασθαι· οὐδὲ μὴν τῆς ἐμοῦ, τὴν ἐμοὶ ἢ ἐμέ· δεόντως καὶ τῶν παρεπομένων ἀριθμῶν ἐξ ἀναγκαίου πάλιν θεματικῶς. ἀδύνατον γὰρ τὴν μὴ κλιθεῖσαν γενικὴν ἐξ εὐθείας, ἀριθμὸν ἀκόλουθον παραστῆσαι. κλιθεῖσα γάρ, συγκλίνει τοὺς ἀριθμούς, καὶ τὰς ἑξῆς πτώσεις. διὰ τοῦτο καὶ τοῖς ἑτεροκλίτοις παρηκολούθησέ τις εὐθεῖα, τῆς γενικῆς τὰ λοιπὰ σχήματα ἀποδιδούσης· οἷον ἡ μεγάλου, ἐποίησε τὸ μεγάλοι· καὶ
ἐκ κλ.D ἔγκλιμα τοῦ τοιούτου ἡ μεγάλος εὐθεῖα διασώζεται. καὶ ὁμοίως ἡ ὕδατος· καὶ ἔτι ἡ γυναικός, ἥ τε πολλοῦ· πολλοὶ γάρ, καὶ ὕδατα, καὶ γυναῖκες. καὶ διὰ τοῦτο συνυπῆρχε τὸ πολλός, τὸ γύναιξ, τὸ ὕδας. διὰ τοῦτο οὖν ἡ ἐμοῦ οὐ κλιθεῖσα, γενομένη δὲ ἐν θέματι, καὶ τὸ

essent infinitę: siquidem vna dictio plura significās, significationis infinitæ causa est.

6. Pronomina merito habere casus & numeros primitiuos.

Præterea cetera casualia, posito recto casu, ad eius cōsequētiam genitiuum & ceteros formare solent casus, articulo non excepto: siquidem demonstratū est, ipsum quoque articulum inclinari iuxta congruam consequentiam. Pronomina vero primitiua, de quibus est disputatio, primitiue inclinantur. nam ἐγὼ non potest iuxta regulam casualiū recipere genitiuum ἐμοῦ: neq; genitiuus ἐμοῦ datiuum ἐμοί, neq; datiuus ἐμοὶ accusatiuum ἐμέ: atq; ita rursus numeri multitudinis merito variantur, & ipsi quoque primitiue enuntiantur. fieri enim non potest vt genitiuus, qui a recto deductus non est, numerum consequentē repræsentet: at qui a recto declinatus est, declinat simul numeros & casus consequētes: eamq; ob causam nomina heteroclita comitatur alius casus; quoniam genitiuus reliquas figuras exhibet: veluti genitiuus iste τοῦ μεγάλου format rectum pluralem οἱ μεγάλοι: itaque rectus ὁ μεγάλος adhuc reperitur, qui est huius inclinamenti. Eadē ratio est in genitiuis ὕδατος, γυναικός, & πολλοῦ, qui habent rectos plurales ὕδατα, γυναῖκες, πολλοί: quare habent etiam alium rectum casum singularem ὕδας, γύναιξ, πολλός. At in pronomine genitiuus ἐμοῦ non inclinatus, sed primitiuam speciem retinens,

casuum reliquorũ & numerorum consequentiam recusauit.

7. An congrue pronomẽ ἐκεῖνος, eiusq; coniugata, receperint genera.

At pronomẽ ἐκεῖνος, & eius cõiugata, quia inclinata sunt, ideo habent consequẽtes & casus & numeros. Perspicuũ est igitur eos nugari, qui nominum analogiam comparantes, conati sunt extenuare voces istas quasi expertes consequentiæ, & regulã non seruantes: siquidem iis ne illud quidem conceditur, vt cũ quolibet nomine quodlibet comparetur. quamquam in hoc genere est fere infinita similitudinis consequẽtia. comparantur enim inter se nomina. Hoc autẽ si ita est, sequitur illud, vt frustra fiat comparatio diuersarum orationis partium. alioqui quid vetat, quin etiam verba comparẽt cum pronomine; quoniã pronomen habet discretionem personarum; atque ita rursus iustam consequentiã adimant pronominibus. Sed illud fortasse q̃rat quis, cur pronomina consequentiam declinarint, & quam ob rem non omnibus tributa sit nominum positio, vt communes vel proprias haberẽt qualitates; vt ἄνθρωπος, Πλάτων, habent. Ac dicẽdum est, nomina istiusmodi carere demõstratione ac relatione. itaq; positionem eorum futuram fuisse numerosam admodum, si suam vnicuiq; notam & qualitatem positio tribuere voluisset. etenim positiones, quę coinci-

ἀκόλουθον τῶν πτώσεων παρῃτήσατο, καὶ τοὺς ἀκολούθους ἀριθμούς.

ζ. Εἰ δεόντως ἡ ἐκεῖνος, καὶ αἱ σύζυγοι, γένη παρεδέξαντο.

Ἡ γοῦν ἐκεῖνος, καὶ αἱ σύζυγοι, κλιθεῖσαι, ἔσχον καὶ τὰ συμπαρεπόμενα ἀκόλουθα. σαφὲς οὖν ὅτι ληροῦσιν οἱ ἐγχειρήσαντες εἰς τὸ ἐπικόπτειν τὰς φωνάς, ὡς ἀνακολούθους καὶ παραλόγους· παρατιθέμενοι τὴν ἀπὸ τῶν ὀνομάτων ἀναλογίαν. ὅπου οὐδὲ ἐκεῖνο αὐτοῖς δέδοται, τὸ παντὶ ὀνόματι πᾶν ἀντιπαραβάλλειν. ἀλλ' εἰς τὸ τοιοῦτον ἄπειρός ἐστί τις τοῦ ὁμοίου ἀκολουθία. ἀντιπαραβάλλονται γὰρ αἱ λέξεις. καὶ εἰ τοῦτο, πῶς οὐ μάταιον τὸ διάφορα μέρη λόγου ἀντιπαραβάλλειν; οὐδὲν δὲ ἐκώλυεν, ἐπεὶ καὶ προσώπων διακριτικόν ἐστι τὸ μόριον, ἀντιπαρατίθεσθαι τὰς φωνὰς τῶν ῥημάτων· καὶ οὕτω πάλιν τὰς ἀντωνυμίας τοῦ δέοντος περιγράφειν. Ἴσως οὖν ἐκεῖνο τις ἐπιζητήσειεν ἕνεκα τίνος † τὸ ἀκόλουθον ἀπένευσαν αἱ ἀντωνυμίαι· καὶ διὰ τί οὐ πάσαις ἡ τῶν ὀνομάτων θέσις ἐπενοήθη, εἰς ποιότητας κοινὰς ἢ ἰδίας, ὡς ἄνθρωπος, Πλάτων. κἀπεὶ οὔτε σὺν δείξει τὰ τοιαῦτα, οὔτε ἀναφορᾷ, πάμπολλος ἡ ἐπὶ τούτων θέσις ἐγίνετο· ἵν' ἑκάστου τὸ χαρακτηριστικὸν ἀπονέμοι τὴν ἑκάστου ποιότητα.

ἢ καὶ εἰς

ἀντιπαραλαμβάνονται αἱ λέξεις

ἀντιπαραλαμβάνειν

διακριτικὸν

οὐ με-

οὐ μετρίως γοῦν τὰς ποιότητας ἐπιταράττουσιν αἱ συνεμπεσοῦσαι θέσεις, ἔν τε προσηγορικοῖς καὶ κυρίοις ὀνόμασι. διὸ καὶ ὑστερεῖτο διὰ τῶν ὀνομάτων νοούμενον πρόσωπον τοῦ ὁρισμοῦ· καὶ ἕνεκα τοῦ τοιούτου ἱδρύσατο ἡ εὐθεῖα καθ' ἕκαστον χαρακτῆρα ἀπῄτει τὰς πλαγίας, συνηχούσας πρὸς τὸ ἴδιον τῆς εὐθείας. ἐντεῦθεν οὖν ἀναγκαίως καὶ τὰ γένη παρεισάγεται· ἵνα μετὰ τῆς ποιότητος τοῦ χαρακτῆρος συνδιαστείλῃ τὸ γένος. ἐντεῦθεν συνεπενοήθησαν καὶ αἱ ἐπιθετικαὶ θέσεις· ἵνα καὶ τὰ παρακολουθήσαντα τοῖς κοινῶς ἢ ἰδίως νοουμένοις ἀναπληρωθῇ· τῷ μὲν ἵππῳ, εἰ τύχοι, τὸ λευκὸς, ἢ ταχύς· τῷ δὲ Πλάτωνι, τὸ σοφὸς, τὸ ἀγαθὸς, ἄλλα τε πάμπολλα τὰ δυνάμενα †παρέπεσθαι. ἐντεῦθεν καὶ αἱ συνθέσεις ἐπενοήθησαν, μισάνθρωπος, φερέπονος, φιλόλογος· αἳ γὰρ ἐκ συμβεβηκότων ἐγένοντο. αἱ μέντοιγε ἀντωνυμίαι, εἰς οὐδὲν ἄλλο ἀποβλέπουσαι, διὰ τῆς ἐν αὐταῖς ἐγκειμένης δείξεως, †εἰς τὴν ὑποκειμένην οὐσίαν ἔχουσιν εὔληπτα καὶ τὰ συμβεβηκότα τῇ ποιότητι· λέγω τὰ δυνάμενα δι' ὄψεως ἐπινοηθῆναι, λευκὸν ἢ μέλαν, μακρὸν ἢ βραχύ. οὐχ ὑπὸ δεῖξιν γὰρ πιπτούσης τῆς ψυχῆς, οὐδὲ τὰ ταύτῃ ἐπιτρέχοντα εὐσυνόπτα ἂν γένοιτο πρὸς τὴν ἀντωνυμιῶν. ἔνθεν τοὺς πολλοὺς χαρακτῆρας παρῃτημέναι εἰσὶν αἱ ἀντωνυμίαι. ἑκάστη γὰρ

dunt, confundunt qualitates non mediocrem in modum, tum in appellatiuis, tum in propriis nominibus. Hinc sequeretur vt persona, quę nominibus intelligitur, finita esse non posset: eamque ob causam rectus casus, suam in vnaquaque nota sedem obtinens, obliquos casus poscit, conueniẽtes proprietati recti. Hinc etiã necessario adsciscit genera; vt vna cũ qualitate notæ genus etiam distinguat. Hinc etiam repertæ sunt adiectiuorũ appositiones; vt complectantur ea quæ accidunt nominibus siue appellatiuis, siue ꝓpriis: equo, si ita casus tulerit, λευκός, vel ταχύ: Platoni, σοφός, vel ἀγαθός, & alia permulta, quæ accidere possunt. Hinc etiã nominum compositio reperta est; μισάνθρωπος, φερέπονος, φιλολόγος: quę nata est ex accidentibus. At pronomina, quæ propter insitam sibi demonstrationem, nihil aliud respiciunt, quam subiectam naturam, facile apprehẽdere accidentia quoque possunt qualitatis: ea inquam quę oculorum sensu percipi possunt; album, vel nigrum; longum, vel breue. nam quæ accidunt animæ, ea nequeunt a pronominibus demonstrari; quoniam anima sub sensum non cadit. Propterea igitur pronomina multas istiusmodi notas recusarunt. singula e-

nim singulis in casibus pro quibuslibet nominibus sumuntur. Hoc si ita est, sequitur vt pronomina cōuenienter careant congrua nominū declinatione: ne videlicet ea quæ pro quolibet nomine sumūtur, vna terminatione, idque sua, finirentur. Eam ob causam genera etiā, quæ sua terminatione nō distinguuntur, habent positionem congruam, & aptam tribus generibus, vna dumtaxat voce: siquidem eorum quoque demonstratio hoc tantum indicat, substantiam inquā. etenim si coincidat in pronominū positionem nominum terminatio, ea positio per comitantem numerum, nō cogitur sequi declinationē quæ inest nomini, sicuti est pronomen ἐγώ, & ἐμοῦ. itaq; Iones & Æoles non eandē terminationem vtriq; assignarunt, sed voces produxerūt, non eo modo quo genitiuos nominum. proferunt enim ἐμέο, & ἐμεῦ, non sicut in nominibus Ἀτρείδεω, Ἀτρείδαο, vel καλοῖο. Possessiuum tamen sequitur vocē nominis, cuius terminationem iam recepit, eaque inclinatur. itaq; in dialectis etiam recipit *eandem terminationem. nā dicimus ἐμοῖο, sicuti καλοῖο: id quod minime dubium est. Relatiua igitur aut demonstratiua pronomina, nō indigent nominis accidentibus. ἐκεῖνος tamen demonstratiuum, & αὐτὸς relatiuum, habēt aliquam inter se oppositionem. nam ἐκεῖ, deriuationis potius quam pronominis terminationem habet: quemadmodum aduerbium quoq; τημοῦτος eandem de-

*conuenientem

αὐτῶν καθ' ἑκάστην πτῶσιν ἀντὶ πάντων ὀνομάτων παραλαμβάνεται). καὶ εἰ τοῦτο ἀληθές, φυσικώτερον ἄρα ἀφέστηκεν ἡ ἐν τοῖς ὀνόμασιν ἀκόλουθος κλίσις· ἵνα μὴ † ἀντὶ παντὸς ὀνόματος παραλαμβανόμεναι, μιᾷ καταλήξει τῇ ἐκ τούτων † ὑποπέσωσι. διὸ καὶ τὰ γένη οὐκ ἐκκοπτόμενα τοῖς ἰδίοις τέλεσι, κατάλληλον ἔχει τὴν ἐν τοῖς τρισὶ γένεσι θέσιν, διὰ μιᾶς συλλαβῆς· εἴγε καὶ ἡ ἐξ αὐτῶν δεῖξις, αὐτὸ μόνον οὐσίαν παρεμφαίνει. καὶ γὰρ εἰ συνεμπέσοι λῆξις ὀνοματικὴ αὐτῇ, ἡ διὰ τοῦ συνόντος ἀριθμοῦ † ὑπεκλύεται) τοῦ ἀκολούθου τῆς ἐγγινομένης κλίσεως· ὡς ἔχει ἡ ἐγὼ, καὶ ἡ ἐμοῦ. ἐφ' οἷς καὶ αἱ διάλεκτοι οὐ τὴν αὐτὴν λῆξιν ἐπεμέτρησαν, ἀλλὰ τὰς φωνὰς παρενεγκάμεναι, οὐχ ὡς περὶ τὰς γενικὰς τῶν ὀνομάτων, (ἄλλως Soph.) ἐμέο καὶ ἐμεῦ, οὐχ ὡς ἡ Ἀτρείδεω καὶ ἡ Ἀτρείδαο, ἢ καλοῖο. ἡ γοῦν ὁμόφωνος κτητικὴ, (καὶ ἡ κ.) ὀνόματος ἤδη τὸ τέλος ἀναδεδεγμένη, ἐφ' ᾧ καὶ φέρεται, πάλιν τὸ δέον ἀνεδέξατο κατὰ τὰς διαλέκτους, ἐμοῖο, ὡς καλοῖο, καθὼς πρόκειται. Αἱ οὖν ἀναφερόμεναι ἢ δεικνύμεναι, ἀπροσδεεῖς εἰσι τῶν παρεπομένων τῷ ὀνόματι. ἀλλὰ ἀντίκειται ἥτε ἐκεῖνος, καὶ ἡ αὐτός. ἡ γὰρ ἐκεῖνος, παραγωγῆς κατάληξιν ἔχει, οὐκ ἀντωνυμίας. καθὸ καὶ τὸ τημοῦτος, ἐπίρρημα ὄν, παραγωγῆς

τῆς αὐ-

τῆς αὐτῆς ἔτυχεν [καὶ οὐκ ἀπεμφαῖνον, δύο ἀντικεῖσθαι, ἁπασῶν τὸ δέον σχῆμα ἀναδεδεγμένων. μήποτε δὲ εὐλόγως καὶ διὰ τῆς φωνῆς συνεπίσχυσαν ὁρίσαι τὸ ὑποκείμενον.] ἡ γὰρ ἐξ αὐτῶν νοουμένη ἀπόστασις, ἀμαυροτέραν τὴν δεῖξιν καθιστάνει. καὶ ἔνθεν παρεισεδύετο τὸ γένος· οὐχ ἵνα τὴν οὐσίαν παραστήσῃ, ἀλλ' ἵνα τὸ γένος διαστείλῃ. τὰ γοῦν κοινὰ λεγόμενα ἐν γένει, λέγω ἐπὶ τῶν προσηγορικῶν, ἐξ ἀποστήματος ἐπινοηθέντα, οὐκ ἐξίσχυσε τὸ γένος διαστεῖλαι· λέγω ἐπὶ τοῦ ἵππος ἢ ἄνθρωπος. πλησιάσαντα δὲ αὖθις καὶ δήλοις γενομένοις κατὰ τὸ γένος, συνεγένετο καὶ τὸ ἄρθρον. πολλῷ δὲ μᾶλλον καὶ ἡ αὐτός. τὰ γὰρ ἀπόντα τῶν τρίτων προσώπων ἀναφέρουσα, ὑπόμνησιν καὶ διὰ τοῦ γένους ἐποιεῖτο, καὶ διὰ τοῦ χαρακτῆρος. Ἀλλ' ἐκεῖνο λείπεται, τίνος ἕνεκεν [εἰς ος κατέληξαν, πλείστης οὔσης καταλήξεως ὀνομάτων; ἢ ὅτι γενικωτέρα ἐστὶν] ἡ εἰς ος κατάληξις; διὰ τοῦτο καὶ τὰ ἄρθρα, πᾶσιν ὀνόμασι παρατιθέμενα, ἐν ταύ-

αὐταὶ τῃ τῇ καταλήξει ἐγένετο· καὶ *αὗται αἱ παραχθεῖσαι ἀντωνυμίαι εἰς ὀνόματος κτῆσιν, ὡς ἐπὶ τῆς ἐμός, καὶ τῶν συζύγων. καὶ σχεδὸν ἅπασαι αἱ πτωτικαὶ πεύσεις, ἐπιζητοῦσαι πᾶν ὄνομα, ποῖος, πόσος, πηλίκος, ποδαπός. πρόσκειται τὸ σχεδόν, διὰ τὸ τίς·

riuationem ſortitum eſt. Neq; vero fuerit abſurdum, duo pronomina eſſe inter ſe oppoſita; cum omnia receperint figuram ſibi conuenientem. fortaſſe enim non ſine recta ratione etiam voce ipſa *propoſitam perſonam finire valuerunt. *ſuppoſitum* nam interuallũ, quod iis duobus pronominibus intelligitur, facit remiſſiorem eorum demonſtrationem: eamque ob cauſam ſuccedit genus, non vt præſentem ſiſtat ſubſtantiã, ſed vt diſtinguat genus. nam ea quæ commune genus habẽt, appellatiua inquam nomina, vt *equus, homo*, ſi ex loci interuallo percipiũtur, genus diſtinguere non valent: ſin accedant propius, & genus eorum innoteſcat, tum vero etiam articulũ aſciſcũt. Hoc facit multo magis *αὐτὸς* pronomen. nam cum abſentes tertias perſonas referat, & genere & voce cõmonefacit. Reliqua eſt illa quæſtio; cur pronomina hæc ſyllaba *ος* terminentur potius; cum plurimæ aliæ ſint nominum terminationes? An quia terminatio in *ος* eſt magis vniuerſalis: eamque ob cauſam articuli, qui omnibus nominibus apponuntur, hãc terminationem obtinuerũt; & ipſa deriuata poſſeſſiua pronomina, vt *ἐμός*, & eius coniugata; & propemodum omnia interrogatiua caſualia, quærentia quodlibet nomen, *ποῖος, πόσος, πηλίκος, ποδαπός*. Addita eſt particula *propemodum*; propter *τίς*:

quod ne ipsum quidem est expers huius terminationis: siquidē ἴος apud Æoles nominatiuū in ος obtinuit: adiuuante etiam articulo subiunctiuo ὅς, *quod habet æqualem potestatem; eiq; etiam associatur; vt in illo, Ὅς τις ἐμὸν περὶ σῆμα: &, Ὅς τις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται.

qui

8, *Quid causa sit cur poetæ articulos loco pronominum vsurpent.*

Dicendum etiam est de iis quæ voce sunt articuli, pronomina transsumptione fiunt: Ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, pro οὗτος: &, Τὸν δ' ἀπαμειβόμενος: &, Ὥς ἡ ῥίμφα θέουσα: &, Εἵνεκα τῆς ἀρετῆς ἐελδαίνομεν: quod loco pronominis τούτης transsumitur: assumit autem extrinsecus articulum: idque recte. Ac primum illud in vniuersum de istiusmodi exemplis statuendum est, nominandi casus, & pronomina quæ pro nominibus sumuntur, seruare eandem cōstructionem atq; verba: nam sicuti dicitur Τρύφων διδάσκει, ita etiam οὗτος διδάσκει: at obliquos recipere constructionem nominatiui, verba vero interposita demonstrare *affectionem vniuscuiusque casus: quale est istud, Θέωνα διδάσκει Τρύφων: &, τοῦτον φιλεῖ ἐγώ, τοῦτον φιλεῖ Θέων. Verumtamen illud quoque verum est, articulos coniungi cum nominibus pro quibus pronomina succedunt, quæ neque quantitates, neque qua-

Il. α. Il. α. Od. ι. Od. β.

significationem

ὅπερ οὐδὲ αὐτὸ ἐκτός ἐστι τῆς εἰς ος καταλήξεως· εἴγε τὸ †ἴος παρ' Αἰολεῦσι, τῆς εἰς ος εὐθείας ἔτυχε· συνεπισχύοντος καὶ τοῦ ἰσοδυναμοῦντος αὐτῷ, λέγω τοῦ ὅς· ᾧ καὶ συμφέρεται· ὡς ἐν τῷ, ὅστις ἐμὸν περὶ σῆμα· καὶ ὡς ἐν τῷ, ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται.

η'. *Τίς ἡ αἰτία τοῦ τὰ ἄρθρα παρὰ ποιηταῖς εἰς ἀντωνυμίαν παραλαμβάνεσθαι.*

Ῥητέον δὲ καὶ περὶ τῶν τῇ φωνῇ ἄρθρων καθεστώτων, τῇ δὲ ἐξ αὐτῶν μεταλήψει [αἳ] ἀντωνυμιῶν· ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, ἀντὶ τοῦ οὗτος· Τὸν δ' ἀπαμειβόμενος· Ὥς ἡ ῥίμφα θέουσα· Εἵνεκα τῆς ἀρετῆς ἐελδαίνομεν. ὃ μεταλαμβάνεται μὲν εἰς τὸ τούτης, προσλαμβάνει δὲ ἔξωθεν δεόντως τὸ ἄρθρον. καθόλου [γὰρ] περὶ πάντων τῶν τοιούτων αἱ ὀνομαστικαὶ πτώσεις, καὶ αἱ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, σύνταξιν τὴν αὐτὴν ποιοῦνται τοῖς ῥήμασιν. ὡς ἔχει τὸ, Τρύφων διδάσκει, καὶ οὗτος διδάσκει. αἵ γε μὴν πλάγιαι, τὴν ἐκ τῶν εὐθειῶν σύνταξιν ἀναδέχονται τῶν μεταξὺ πιπτόντων ῥημάτων, ἐνδεικνυμένων τὴν ἑκάστης διάθεσιν· ὡς ἔχει τὸ, Θέωνα διδάσκει Τρύφων, τοῦτον φιλῶ ἐγώ, τοῦτον φιλεῖ Θέων. Ἔστι γε μὴν κἀκεῖνος ὁ λόγος ἀληθὴς, ὡς σύνεστι τὰ ἄρθρα μετὰ τῶν ὀνομάτων, ἀνθ' ὧν παραλαμβάνεται ἡ ἀντωνυμία, οὐ σημαίνουσα τὰς πηλικότητας, ἢ ποιότητας,

ἴσ. σημαίνοντα Soph.

τητας, ἤ τι τῶν παρεπομένων τοῖς ὀνόμασι· καθὸ ἀπεδείξαμεν καὶ ἐπὶ τῶν ἀντωνυμιῶν τὸ αὐτό. ὡς γὰρ τὸ οὗτος κατὰ παντὸς ὑποκειμένου παραλαμβάνεται· καὶ τὰ ἄρθρα σὺν παντὶ ὑποκειμένῳ παραλαμβάνεται· ὁ μέγας, ὁ βραχύς, ὁ λευκός, ὁ χρυσοῦς. Καὶ τούτων τῇδε ἐχόντων, ὅταν τὸ ἄρθρον μὴ μετ᾽ ὀνόματος παραλαμβάνηται, ποιήσηται δὲ σύνταξιν ὀνόματος ἣν προεξεθείμεθα, ἐκ πάσης ἀνάγκης εἰς ἀντωνυμίαν μεταληφθήσεται· εἴγε οὐκ ἐστὶ νοούμενον μετ᾽ ὀνόματος, δυνάμει ἀντὶ ὀνόματος παρελήφθη. καὶ ἐνθένδε ἡ σύνταξις αὐτοῦ παρεχώρει εἰς ἀντωνυμικὴν μετάληψιν. ἔστω γάρ τι τοιοῦτον· Χρύσης [γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· καὶ ἔτι μετὰ τοῦ ἄρθρου,] ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· καὶ σαφὲς ὅτι ἡ ἔλλειψις τοῦ ὀνόματος, τῷ ἄρθρῳ προσδώσει τὰ τῆς συντάξεως· καὶ οὐκ ἄλλο τι γενήσεται τὸ ἄρθρον, ἢ ἀντωνυμία, ἥ ἐστιν ἀντὶ παντὸς ὀνόματος παρειλημμένη· ἐπεὶ καὶ αὐτὸ κατὰ παντὸς ὀνόματος οὐκ ἐμποδιζόμενον παραλαμβάνεται ἐν ποιότητι, ἢ ἄλλῳ τινὶ τῶν παρεπομένων, καθὼς εἴπομεν. Ἐν μέντοι τοῖς ἑξῆς δεδείξεται, πότε οἱ λόγοι τὰ ὀνόματα παραιτοῦνται, ἀντιπαραδεχόμενοι τὰς ἀντωνυμίας. καὶ ἡ μὲν τοιαύτη σύνταξις, προϋφεστώτων ὀνομάτων, καθ᾽ ὧν ἀναφέρεται τὰ ἄρθρα, ποιεῖται μετάληψιν· ἡ μέντοι μὴ οὕτως ἔχουσα, αὐτόθεν δὲ ἐν

litates significant, neq; aliud nominum accidẽs; sicuti demonstrauimus idem in pronominibus. nam quẽadmodum pronomẽ οὗτος ad quodlibet suppositum assumitur, ita etiam articuli cum quolibet supposito sociantur; ὁ μέγας, ὁ βραχύς, ὁ λευκός, ὁ χρυσοῦς. Cũ igitur hæc sic se habeant, cum articulus absq; nomine sumptus, cõstructionem tamẽ facit nominis eam quam antea exposuimus, tum necessario transsumitur in pronomen. siquidẽ sine nomine adhibitum, vi tamen ac potestate pro nomine trãssumptum est. fac enim esse aliquid eiusmodi; Χρύσης γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν: & cum articulo, ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν: (Il. α.) hic est perspicuum, defectum nominis articulo relinquere cõstructionem: atque ita fieri articulum nihil aliud quam pronomẽ, quod pro quolibet assumitur nomine. nam ipse quoque articulus, nulla re obstante, sociatur cum quolibet nomine significante qualitatem, vel aliud quidpiã eorum quæ nomini accidunt; quemadmodum superius diximus. In sequentibus vero demõstrabimus quãdo recuset nomina oratio, & eorum loco recipiat pronomina. Ac huiusmodi constructio, antecedentibus nominibus, de quibus articuli referuntur, facit transsumptionem: dissimilis autem cõstructio, nullis an-

tecedentibus nominibus, per incertæ personæ anticipationem, transsumit infinitos articulos. qualia sunt exempla istiusmodi; ὁ περιπατῶν κινεῖται: & in subiunctiuis, ὃς ἂν παραγένηται, ἀναγινωσκέτω. idq; iure optimo. nam articulus, qui sociatur cũ quolibet nomine, ad quodlibet etiã nomen insitum potestate recurret. Recte igitur articuli aut in personas definitas assumuntur, nempe pronomina: aut in nomen maxime infinitum, vt est nomen τίς. Etenim hæc oratio, ὁ περιπατῶν κινεῖται, non distat admodũ ab illa, εἴ τις περιπατεῖ, κινεῖται: neq; ista, ὃς ἂν ἔλθῃ, ab illa, εἴ τις ἂν ἔλθῃ. Quare si quod nomẽ iungatur cum superioribus constructionibus, ipsum quoq; suum sensum obtinebit; ὁ Διονύσιος περιπατῶν κινεῖται: Τρύφων κοιμᾶται, ὃς μένει με διαναστάς. Recte igitur in istiusmodi constructionibus hæc etiã pronomina dicentur; quatenus aliæ quoque partes orationis, quæ a sua constructione traductæ, aliarum proprietates complent, mutata ratione, earum appellationem obtinent; vt faciunt aduerbia quæ speciem nominum habent, vt κάλλιστα, ἥδιστα: ἰδίᾳ, δημοσίᾳ, κύκλῳ: participia etiam, cum nominum cõstructionem subeunt; vt ἐρωμένη, εἱμαρμένη. in quibus illud tantum demonstrandum est, nempe mutationem partium; quarum significationes in constructionibus, habent plus ponderis quam voces.

προσλήψει τοῦ ἑπομένου προσώπου παραλαμβανομένη, ἀόριστον μετάληψιν τῶν ἄρθρων ποιεῖται· ὡς τὰ τοιαῦτα ἔχει, ὁ περιπατῶν κινεῖται. καὶ ἔτι ἐν ὑποτακτικοῖς, ὃς ἂν παραγένηται, ἀναγινωσκέτω. πάνυ δὲ εὐλόγως. συμφερόμενον γὰρ παντὶ ὀνόματι, καὶ ἐπὶ πᾶν ὄνομα ἀναδραμεῖται ἐξαθετικῶς. ὅπερ ἴδιον ἀορίστου. ὑγιῶς ἄρα τὰ ἄρθρα, ἢ εἰς ὡρισμένα πρόσωπα παραλαμβάνεται τὰς ἀντωνυμίας, ἢ εἰς τὸ ἀοριστότατον· λέγω τὸ τίς. οὐ γὰρ πόρρω πέπτωκε τὸ, ὁ περιπατῶν κινεῖται, τοῦ, εἴ τις περιπατεῖ, κινεῖται· οὐδὲ τὸ, ὃς ἂν ἔλθῃ, τοῦ, εἴ τις ἂν ἔλθῃ. εἰ γοῦν συνενεχθείη τι τῶν ὀνομάτων ταῖς προκειμέναις συντάξεσι, καὶ "αὐτὰ κατ(αστήσει) εἰς τὸν ἴδιον μερισμόν· ἴσ. αὐτὸ ὁ Διονύσιος περιπατῶν κινεῖται· Τρύφων κοιμᾶται, ὃς μένει με διαναστάς. δεόντως δὲ ἂν καὶ ἀντωνυμίαι ῥηθεῖεν κατὰ τοὺς μερισμοὺς, καθότι καὶ ἄλλα μέρη λόγου, πάλιν μετατεθέντα τῆς ἰδίας συντάξεως, καὶ ἄλλων ἀναπληρώσαντα τὰς ἰδιότητας, πάλιν τῆς τούτων ὀνομασίας ἔτυχεν· ὡς ἔχει τὰ ὀνοματικὰ ἐπιρρήματα, κάλλιστα, ἥδιστα· ἰδίᾳ, δημοσίᾳ, κύκλῳ. καὶ ὅτε αἱ μετοχαὶ εἰς ὀνομάτων σύνταξιν παραλαμβάνονται· ὡς τὸ ἐρωμένη, εἱμαρμένη. ἐφ' ὧν χρὴ αὐτὸ μόνον τὴν μετάπτωσιν διδάσκειν. οὐ γὰρ μᾶλλον ἐπικρατοῦσιν αἱ φωναὶ κατὰ τοὺς μερισμοὺς, ὡς τὰ ἐξ αὐτῶν σημαινόμενα.

Εὐλόγως

Εὐλόγως οὖν καὶ ἡ αὕτη, παραχθεῖσα ἐξ ἄρθρου τοῦ ὅς, σημαίνοντος οὐκ ἀρθρικὴν σύνταξιν, ἀλλ' ἀντωνυμικὴν, εἰς τὰς ἀντωνυμίας ἐχώρησεν. οὐ γὰρ θεματική ἐστιν, ὥς τινες ᾠήθησαν. καὶ σαφὲς ἐκ τῶν παρεπομένων· ἀπὸ παντὸς ἀρσενικοῦ πρωτοτύπου ἢ παραγώγου, τοῦ εἰς ος λήγοντος, θηλυκὸν γίνεται, τοῦ τέλους εἰς η ἢ εἰς α μακρὸν μεταπίπτοντος· ὅτι μὴ μόνον ἐκ τῆς προκειμένης παραγωγῆς. ἡ γὰρ τοιαύτη παραγωγὴ, ἀντιστρέφει εἰς τὸ πρωτότυπον κατὰ γένος· τηλίκος, τηλικοῦτος· τηλίκη, τηλικαύτη. καὶ ἔτι ἐπὶ οὐδετέρων. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ τοσοῦτος, τοιοῦτος· ὅπερ παρηκολούθηκε καὶ τῷ ὅς, αὕτη· καὶ οὐκέτι τὸ θηλυκὸν οὗτη, ἀλλὰ πάλιν ἡ αὕτη. καὶ ἐπὶ οὐδετέρου, λέγω τὸ τὸ, ἀπὸ τοῦ τ ἤρξατο· καὶ τὸ τοῦτο, ἀπὸ τοῦ τ ἤρξατο. καὶ κατὰ πτώσεις δὲ παράγεται. οὐ γὰρ ἀπὸ τοῦ τηλικαῦται, γενικὴν φαμὲν τηλικαύτων· ἢ ἀπὸ τοῦ τοιαῦται, τοιαύτων· καθό ἐστιν ἐπιγενῆσαι ἐπὶ ἁπάντων θεματικῶν. αὐταὶ γοῦν αὐτῶν φαμέν. καὶ ἔτι ἐπὶ τοῦ ἀνεπεκτάτου· τοῖαι, τοίων· τηλίκαι, τηλίκων. καὶ σαφὲς ὅτι παρὰ μὲν τὸ τηλίκαι, τὸ τηλικαῦται· παρὰ δὲ τὸ τηλίκον, τὸ τηλικοῦτον. τοῦτο οὖν ἐπηκολούθηκε καὶ ἐπὶ τῶν αἵ, αὗται. καὶ ἐπεὶ εἴχετο παραγωγῆς τῆς παρακειμένης, οὐκ ἐπὶ αὐτῶν,

[Margin: συμπεφων. D. — παρηκολούθη — ἐπηκολούθη — προκειμένης]

Recte igitur pronomē quoque αὕτη, qđ est deductum ab articulo ὅς, significante non articuli, sed pronominis constructionem, in ordinē pronominum concessit. neque enim αὕτη est primigenium, vt nonnulli existimarunt. fidem namque faciunt hoc esse deriuatum, accidentia. A quolibet masculino terminante in ος, siue sit primitiuū, siue deriuatū, formatur fœmininū, extrema syllaba mutata in η, vel in α lōgum: excepto isto deriuatiuo de quo agitur. huiusmodi enim deriuatio reciprocatur ad suum primitiuum in vnoquoque genere: τηλίκος, τηλικοῦτος: τηλίκη, τηλικαύτη: τηλίκον, τηλικοῦτον. Eadem est ratio in τοσοῦτος, & τοιοῦτος. Idem accidit etiam his, ὅς, αὕτη: cuius fœmininum non οὗτη, sed rursus facit αὕτη: & in neutro, τὸ inquam, a litera τ exorsum est: pronomen etiam τοῦτο suum habet principium a τ. Quinetiam in casibus deriuatur. neque enim a nominatiuo τηλικαῦται dicimus in genitiuo τηλικαύτων, vel a τοιαῦται, τοιαύτων: vt potest perspici in omnibus primigeniis. dicimus enim αὐταί, αὐτῶν: & τοῖαι, τοίων, si careat productione: & τηλίκαι, τηλίκων: neq; est dubiū τηλικαῦται deduci a τηλίκαι, & τηλικοῦτον a τηλίκον. Idem igitur accidit & his, αἵ, αὗται. nā quoniam sequitur vicinam deriuationē, non format genitium αὐτῶν,

quemadmodũ formatur genitiuus αὐτῶν a nominatiuo αὐταί, qui habet acutum tenorem. itaque sumit genitiuum τούτων, a primitiuo genitiuo τοῦ, assumpta etiam litera τ, quę in nominatiuo non est assumpta, sed in genitiuo. Præterea superiori deriuationi adiicitur altera deriuatio, per syllabam δε, quæ frequentius a poetis vsurpatur: τοῖος, τοιόσδε: τόσος, τοσόσδε: quorũ transsumpta, sequuntur deriuata in ουτος exeuntia: τοιόνδε, τοιοῦτον: τοσόνδε, τοσοῦτον. Igitur pronomen etiam ὅδε transsumitur in ουτος, deductum a constructione articuli ὁ. Ergo non est assentiendum Abtoni, qui ait pronomen οὗτος deduci ab articulo; quandoquidem etiam ex aduerbio ὀψέ, alia pars orationis gignitur, ὄψιμος. nam in aliis deriuationibus hæc ratio caret discrimine: sed in hac deriuatione, de qua agitur, primitiuũ non potest deriuari in diuersam orationis partem: siquidem demonstratum est superius, nõ solum eandem orationis partem postulare, sed idem genus, eundemque casum, & eundem numerum. Recte igitur nos aimus, deriuationem istius modi ab articulo, qui vicem obtinet pronominis, deductam esse: & poeticum esse, si dicas τηλίκος, τοῖος: vsitatum autem, τηλικοῦτος, τοιοῦτος. Od. ρ. item poeticum esse ὅς: ὃς γάρ ῥα μάλιστα Ἤνδανε κηρύκων: vsitatum autem illud quod ex eo transsumitur, οὗτος. Illud autem addendum est, in

καθὼς καὶ ἐπὶ τῆς ὀξυτόνου προσέχεται αὐταὶ αὐτῶν. πάλιν οὖν τὸ τούτων ἐπίπλεον ἀπὸ γενικῆς πρωτοτύπου τῆς τοῦ, τοῦ τ συμπαραλαμβανομένου· ὅπερ ἐπὶ τῆς εὐθείας οὐδὲν συμπαρελαμβάνετο, ἐπὶ δὲ τῆς γενικῆς. Ἔτι γὰρ καὶ τῇ προκειμένῃ παραγωγῇ συνυπάρχει ἑτέρα παραγωγή, ἡ διὰ τοῦ δε, οὖσα συνηθεστέρα ποιηταῖς· τοῖος, τοιόσδε· τόσος, τοσόσδε. ἧς τὸ μεταλαμβανόμενον, εἰς παραγωγὴν τῆς διὰ τοῦ ουτος ἐχώρησε· τοιόνδε, τοιοῦτον· τοσόνδε, τοσοῦτον. ἔστιν οὖν καὶ τὸ ὅδε, μεταλαμβανόμενον εἰς τὸ οὗτος, ἐκ συντάξεως τῆς διὰ τοῦ ὁ παραχθέν. Οὐ χρὴ ἄρα συγκατατίθεσθαι Ἄβρωνι, ὅτι ἡ οὗτος παρήχθη ἐκ τοῦ ἄρθρου· καθότι καὶ ἐξ ἐπιρρήματος τοῦ ὀψέ, ἄλλο μέρος λόγου γέγονε, τὸ ὄψιμος. ἐν μὲν γὰρ ταῖς ἄλλαις παραγωγαῖς, ἀδιάφορον τὸ τοιοῦτον· ἔν γε μὴν τῇ προκειμένῃ, ἀδύνατόν ἐστιν εἰς ἄλλο μέρος λόγου ἐχωρῆσαι τὸ πρωτότυπον· ὅπου γε ἐδείχθη οὐ μόνον τὸ αὐτὸ μέρος λόγου αἰτοῦν, ἀλλὰ καὶ ταὐτὸ γένος, καὶ τὴν αὐτὴν πτῶσιν, καὶ τὸν αὐτὸν ἀριθμόν. δεόντως οὖν φαμέν, ὡς ἐκ τῆς ἀντωνυμικῆς συντάξεως τοῦ ἄρθρου ἡ παραγωγὴ ἐγένετο· καὶ ὡς ποιητικὸν μέν, τὸ φαίην τηλίκος, τοῖος· συνήθες δὲ, τὸ τηλικοῦτος, τοιοῦτος. τὸν αὐτὸν τρόπον ποιητικὸν τὸ ὅς· ὃς γάρ ῥα μάλιστα Ἤνδανε κηρύκων. συνήθες δὲ τὸ ἐξ αὐτοῦ μεταλαμβανόμενον, οὗτος γάρ. Ἐκεῖνο δὲ προσθετέον,

τ ὡς

† ὡς ἐνέλειπεν ἡ εὐθεῖα τῷ τ· καθὼς ἐπεδείξαμεν καὶ ἐν τῷ περὶ ἄρθρων.

* ἐν ἰντ. Soph.

Πάλιν οἱ Δωριεῖς ἐπλεόνασαν ἐν τῷ τοῦται, καὶ τοῖ, ἀλλ' ἀπέδωκαν τὸ προοφειλόμενον ὡς δέδεικται καὶ ἐπὶ τῶν ἄρθρων. ὁμολογοῦσι καὶ αἱ πλάγιαι † ἀπὸ τοῦ τ ἀρξάμεναι, καὶ τοῦ οὐδετέρου ἡ εὐθεῖα, καὶ τὸ κατὰ τῆς εὐθείας πνεῦμα. πότε γὰρ ἡ ου δίφθογγος δασύνεται; ὁπότε καὶ τὰ δασυνόμενα, ἐγγινομένης αὐτῆς, ψιλοῦται· ὅλος, οὗλος· ὅρος, οὗρος· δασύνεται τὸ οὕνεκα, διὰ τὸ τοὔνεκα. οὐκ ἂν οὖν ἄλλως δασυνθείη τὸ οὗτοι, εἰ μὴ λάβοι ἀπολογίαν τὴν ἔλλειψιν τοῦ τ.

ἄλ,

†ιθ', Διὰ τί ἀντ' ὀνομάτων αἱ ἀντωνυμίαι παραλαμβάνονται.

Τὴν τῶν ὀνομάτων σύνταξιν ἀνθυπῆλθον αἱ ἀντωνυμίαι· οὐχ ὥς τινες ᾠήθησαν, δι' ἄγνοιαν τῶν ὀνομάτων. ποία γὰρ ἄγνοια τῶν ὀνομάτων ἐν τῷ, Σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί; ἀλλὰ σαφὲς ὅτι οὐ δυναμένων τῶν ὀνομάτων ἐν τοῖς πρώτοις καὶ δευτέροις προσώποις κατατίνεσθαι, καθὼς δεδείξεται. Φήσει τις, οὐχὶ οὖν καὶ ἀγνοίας οὔσης ὀνομάτων, φαμὲν σύ, ἢ σέ; πρὸς ὃ ῥητέον, ὅτι ἐκ παρεπομένου τὸ τοιοῦτον ἐγένετο· εἴγε καὶ ἐν γνώσει ῥητὰ τὰ ὀνόματα, πάλιν ἀπαιτεῖ τὴν ἀντωνυμικὴν σύνταξιν. οὐκ ἔλαττον δὲ καὶ ἡ ἐκ τοῦ ἐναντίου ἀνθυπέστη τοῦ ὀνόματος. καὶ γὰρ δυνάμει κύριον ὄνομα νοεῖται

ὄντα

*

recto casu deficere literam τ: quemadmodum demõstrauimus in eo loco, vbi de articulis tractauimus. Dorienses autem vice versa abundãt ea litera. dicunt enim τοῦται, & τοῖ. faciunt autẽ hoc, vt reddant consonantem debitam; sicuti planum fecimus, cũ de articulis disputabamus. Obliqui etiam casus hoc testantur, qui a litera τ ducunt initiũ: & neutri nominatiuus τό: & spiritus superpositus nominatiuo plurali. quî enim dixeris diphthongum ου aspirari? cum ea quæ natura aspirantur, adhibita diphthongo ista, tenuentur: ὅλος, οὗλος: ὅρος, οὗρος. οὕνεκα coniunctio aspiratur, habita ratione particulæ τοὔνεκα. Ergo non aliã ob caussam rectus pluralis οὗτοι aspiratur, nisi rationem huius rei afferas, defectũ τ consonãtis.

9 Cur pronomina sumantur pro nominibus.

Subierunt autem pronomina nominum ordinẽ: non propter nominum ignorationem, vt nonnulli existimarunt: (quæ enim nominũ est ignoratio in illo, σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί? nulla omnino) sed hoc ita euenit, quia nomina non cadunt in primas & secũdas personas; quemadmodum paulo post demonstrabimus. Dixerit quispiam, Nonne dicimus etiam σὺ, & σέ: cum tamen personæ ignorantur? Huic est occurrendũ, per accidẽs id fieri. siquidem & nomina ipsa, quæ non ignorantur, pronominum constructionem postulant. Pronomen etiam contra æque succedit loco nominis. Proprium enim nomen potestate intelligitur

per pronomen. nam non intelligo nomen vocis, sed illud quod voce significatur; hoc est propriam suppositi qualitatem. Eamq; ob causam pronomina nullũ habent vsum, si careant persona tũ demonstrante, tum demonstrata. siquidem vel pronomina quæ scribuntur, sunt infinita maxime: quoniam a sua materia remota sunt. Inde fit vt cõsentaneum omnino mihi videatur, in absoluta scriptura, orationem non constare; nisi adhibeãtur nomina pronominibus. nã cum pronomina scribantur propter eos actus qui accidũt personis, tum iis quæ de se ipsis *enuntiant, (*loquuntur.*) tum illis ad quas dirigitur oratio; accidit necessario, vt nominum voces adscribantur, vt pronomina valeãt eas demonstrare. nam illud, ἐγώ σοι πάλαι ἔγραψα, per pronomen ἐγώ, demonstrat nominatiuum antecedentem: per pronomen vero σοί, datiuum personæ quæ subditur. Patet igitur, nominibus sublatis, etiam pronomina fieri infinita.

10, *Nomina non sumi in prima & secunda persona.*

Causa igitur cur nomina sumi nequeãt in prima & secunda persona, illa est, quod nominum positiones neq; in primam, neque in secundam personam cadere possunt. nã nomen non dirigitur ad eos quibuscum loquimur, vt illis imponatur id quod secundæ

διὰ τῆς ἀντωνυμίας. οὐ φημὶ [γὰρ] τὸ τῆς φωνῆς ὄνομα, τὸ δὲ ἐξ αὐτῆς δεικνύμενον· τουτέστιν ἡ ἰδία ποιότης τοῦ ὑποκειμένου. ἕνεκεν τούτου [καὶ] πρὸς οὐδὲν χρειώδεις εἰσὶν αἱ ἀντωνυμίαι, στερούμεναι τοῦ τε δεικνύντος προσώπου καὶ τοῦ δεικνυμένου· εἴγε καὶ αἱ ἐγγραφόμεναι πάνυ ἀοριστόταταί εἰσιν· ὅτι καὶ τῆς ἰδίας ὕλης ἀπεώσθησαν.

Ἔνθεν δοκεῖ μοι πάνυ εὐλόγως κατὰ τὰς ἀπολελυμένας γραφάς, χωρὶς τῶν προσλεγομένων ὀνομάτων, τὰ τοῦ λόγου μὴ καθίστασθαι. ἐγγραφομένων γὰρ τῶν ἀντωνυμιῶν διὰ τὰς ἐπισυμβεβηκυίας πράξεις, τῷ τε ἀποφαινομένῳ προσώπῳ ὑπὲρ αὐτοῦ, καὶ τῷ πρὸς ὃν ἡ ἀπότασις τοῦ λόγου, ἀναγκαίως συμβαίνει τὸ γράφεσθαι τὰς τῶν ὀνομάτων θέσεις ἵνα δυνάμει κατὰ τούτων τὰς (διάθε-σι) δείξεις ποιήσωνται αἱ ἀντωνυμίαι. τὸ γὰρ, ἐγώ σοι καὶ πάλαι ἔγραψα, δείκνυσι διὰ μὲν τοῦ ἐγώ, τὴν προκειμένην εὐθεῖαν· διὰ δὲ τοῦ σοί, τὴν ὑποταγομένην δοτικήν. πρόδηλον γὰρ ὅτι τῶν ὀνομάτων περιγραφέντων, καὶ τὰ τῶν ἀντωνυμιῶν, ἀόριστα γίνεται.

ι΄, Ὅτι τὰ ὀνόματα ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ παραλαμβάνεται.

Ἔστιν οὖν αἴτιον τοῦ μὴ δύνασθαι τὰ ὀνόματα παραλαμβάνεσθαι κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον, τὸ τὰς θέσεις τῶν ὀνομάτων μήτε ἐν πρώτῳ, μήτε ἐν δευτέρῳ προσώπῳ δύνασθαι καταγίνεσθαι. οὐ γὰρ πρὸς οὓς λέγομεν, ἡ ἀπότασις γίνεται τοῦ ὀνόματος ὑπὲρ τῆς αὐτῶν θέσεως ὑπὲρ ἰδίου δευτέρου προσώ-

προσώπου· οὔτε μὴν ἑαυτοῖς τιθέμεθα· ὅπερ ἴδιον πάλιν τοῦ πρώτου προσώπου. ἀνάγκη οὖν πάντα εἰς τὰ τρίτα πρόσωπα χωρεῖν τὰ ὀνόματα κατὰ πάσας πτώσεις, χωρὶς τῆς κλητικῆς. αὕτη γὰρ πρώτη ἐπιστρέφει τὴν ἐκ τῶν τρίτων προσώπων θέσιν εἰς τὸ δεύτερον, διὰ τὴν ἐξ αὐτῆς γινομένην ἀντίληψιν τοῦ ἀναδεξαμένου προσώπου τὸ ὄνομα. Προφανὲς δὲ ἐκεῖνό ἐστιν, ὡς ἐξ αὐτῆς ποιούμενοι τοὺς λόγους πρός τινας, ὀφείλομεν διαμερίσαι τὰ πρόσωπα. καὶ φαίνεται ὡς οὐκ ἐνὸν τοῖς ὀνόμασιν συγχρῆσθαι· καθότι τρίτα ἦν ταῦτα· ὁ δὲ λόγος ἀπαιτεῖ τὸ ἐκ πρώτου προσώπου δεύτερον. καὶ ἔνθεν παρεισέδυον αἱ ἀντωνυμίαι, τὸ ἀδύνατον τοῦ ὀνόματος ἀναπληροῦσαι, ἡνίκα φαμέν, ἐγώ σοι ἔγραψα. †Προείρηταί γε μὴν ἡ αἰτία τοῦ, μίαν οὖσαν τὴν ἀντωνυμίαν, ἀντὶ πάντων ὀνομάτων παραλαμβάνεσθαι. οὐκ ἂν οὖν τις ὑπολάβοι, ὡς πρὸς οὐδὲν χρειώδεις αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι, δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι. καὶ γάρ, εἰ ἐνεχώρει κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον παραλαμβάνεσθαι τὰ ὀνόματα, ἴσως ἂν ἐγίνετο μηδὲ τὰς ἀντωνυμίας προσκυροῦσθαι. Ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτο φάναι, [ὡς] αἱ ἀντωνυμίαι ἅπαξ ἀντὶ ὀνομάτων γινόμεναι, ἐκ παρεπομένου ἔσχον καὶ τὴν δεῖξιν· ὑπ' ὄψιν γὰρ πίπτοντα τὰ ἐξ αὐτῶν πρόσωπα ἑωρᾶτο. καὶ οὕτω τὸ μόριον ἐξαιρέτως ἀπηνέγκατο τὴν δεῖξιν,

personæ peculiarē est. multo minus nobis ipsis nomē imponimus; quod rursus primę personæ proprium est. Sequitur ergo necessario, vt nomina ad tertias personas referantur quolibet in casu; excepto vocatiuo. hic enim solus reuocat positionē a tertiis personis ad secundā; propterea qđ sibi vindicat personam cui nomē impositum est. Illud autem non est obscurum, cū ab ipso vocatiuo orsi, loquimur ad alios, debere nos omnino distinguere personas: at nominibus vti non licet; quatenus ea tertiæ personę sunt; regula vero postulat secundam personam, quæ ad primā referatur. Ergo pronomina succedunt; vt, quod nomina præstare nequeunt, ipsa suppleant: atque ita tū dicimus, ἐγώ σοι ἔγραψα. Ac superius attulimus rationem cur pronomen, cum sit vnum, pro nominib. omnib. accipiatur. Nemo tamen debet suspicari propterea, pronomina tertiæ personæ nullum habere vsum; quoniam nomina, quæ tertiæ personæ sunt, sumi possunt. nam si daretur vt nomina in prima & secunda persona significāda sumerentur, futurū fortasse fuisset, vt pronomina eis significandis non addicerētur. Sed aduersus istā rationem dicendum est, pronomina simpliciter posita pro nominibus, per accidēs habere demonstrationem. personas enim quę ab eis significantur, sub aspectum cadere, ac cerni; atq; ita partem hanc orationis præcipue sibi asserere demonstrationem.

cognatione quadã comitantem in prima, secunda, vsque ad tertiam personam. Ergo pronomina nõ propterea in treis personas cadunt, quod nomina facere idem nequeunt; sed quia nomina carent demonstratione, quæ est in pronominibus. nam in illo

Il. γ. carmine Homeri; Οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος, adest vtrumq; hoc necessario: adest demonstratio, quia cernitur Aiax: adest nomen Aiacis, vt propriam significet qualitatem, cuius causa Priamus percontatus fuerat.

11, Quæ verba construantur cum nominibus in prima & secunda persona, & quæ non construãtur: & quæ sit huius rei causa.

Cum igitur hæc sic se habeant, non est dubium quin illud, Ἀπολλώνιος γράφω, & alia id genus, incõgrua sint; neq; aliam ob causam, nisi ob personarum incongruam constructionem: siquidem nomen, est personæ tertiæ; verbum, primæ. at cõgruum est illud, quod habet duas personas tertias; Ἀπολλώνιος γράφει. Verumtamen hæc quoq; ratio non patet in vniuersum. nam verba, quæ essentiam, vel propriæ qualitatis positionem significant, admittunt id quod speciem habet incõgrui; Εἰμὶ Ὀδυσσεύς, Τρύφων ὀνομάζομαι, & alia, quæ sunt iis cognata. hic enim rursus nõ licet propriã largiri positionem cõmuni voci, quæ cum quolibet nomine cõiũgi potest, si dixeris ἐγὼ ὀνομάζομαι, ἐγὼ κληΐζομαι: at liceret proculdubio dicere, ἐγώ εἰμι.

ἥτις συνώδευσε κατὰ συζυγίαν τοῦ πρώτου καὶ δευτέρου προσώπου, ἄχρι τοῦ τρίτου. οὐ καθὸ οὖν ἀνέφικτα τὰ ὀνόματα ἐν τρισὶ προσώποις ἐγένοντο, αἱ ἀντωνυμίαι· ἀλλὰ καθὸ ἀμοιρεῖ δείξεως, ἥτις ἐστὶν ἐν ἀντωνυμίαις. σύνεστι γοῦν ἀμφότερα ἐν τῷ, Οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος· πάνυ ἀναγκαίως. ἕνεκα γὰρ τοῦ ὁρᾶσθαι τὸν Αἴαντα, ἡ δεῖξις παρείληπται· ἕνεκα δὲ τῆς ἰδίας ποιότητος, ἰδιότητος ὑπὲρ ἧς καὶ ἠρώτησε, τὸ Αἴας.

ια', Ποῖα ῥήματα συντάσσεται ὀνόμασι κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον, καὶ ποῖα οὔ· καὶ τί τούτου τὸ αἴτιον.

Τούτων [οὖν] τῇδε ἐχόντων, σαφὲς ὅτι τὸ, Ἀπολλώνιος γράφω, καὶ τὰ τούτοις ὅμοια, περιφανῶς ἀκατάλληλα· καὶ οὐ δι᾽ ἄλλο τι, ἢ διὰ τὴν τῶν προσώπων ἀκαταλληλότητα· εἴγε τρίτου μὲν προσώπου, τὸ ὄνομα, πρώτου δὲ, τὸ ῥῆμα· κατάλληλον δὲ τὸ ἐν δυσὶ τρίτοις, Ἀπολλώνιος γράφει. Ἀλλ᾽ οὐκ ἐν τῷ καθόλου πάλιν τὸ τοιοῦτον. τὰ γὰρ ὕπαρξιν ἢ ἰδίας ποιότητος θέσιν σημαίνοντα τῶν ῥημάτων, (προσίεται) τὸ δοκοῦν ἀκατάλληλον· εἰμὶ Ὀδυσσεύς, Τρύφων ὀνομάζομαι, καὶ τὰ τούτοις σύζυγα. πάλιν γὰρ οὐκ ἐχώρει τὴν ἰδίαν θέσιν κοινῇ φωνῇ προσχαρίζεσθαι ἐπὶ παντὸς συνδιούσῃ· εἰ φαίημεν, ἐγὼ ὀνομάζομαι, ἐγὼ κληΐζομαι. καὶ σαφές ἐστιν ὅτι τὸ ἐγώ εἰμι, ἐνεχώρει ἐγγίνεσθαι.

ὕπαρξιν

ἰδίας ὕπαρξιν γάρ, οὐκ ἰδίας ποιότητος θέσιν ἐσήμανε, κοινὴν δέ, ἐφ' ἣν συντείνει τὸ ἐγώ. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἑξῆς προσώπων. Σαφὲς οὖν ὅτι οὐ δυνάμενα διαψεύσασθαι τὴν ἰδίαν θέσιν τῶν ὀνομάτων, τὰ ῥήματα ἐπισπᾶται αὐτὰ ἐκ τρίτου κατὰ τὸ πρῶτον, ὅτε φαμέν, Τρύφων ὀνομάζομαι· οὐ μὴν ἐν τῷ, Τρύφων βιάζομαι. τὸ γὰρ βιάζεσθαι, οὐκ ἴδιον ἦν Τρύφωνος, καθάπερ ἡ ἐπ' αὐτὸν ὀνομασία· (ἐπ' αὐτοῦ F.P.) διὸ καὶ τὴν κοινὴν κατὰ παντὸς ὀνόματος ἀντωνυμίαν παραλαμβάνει.

*substantiam enim hoc, non propriæ qualitatis positionē significat; cōmunem autem, ad quam ἐγὼ refertur. Eadem est ratio etiā in personis reliquis. Perspicuū est igitur, verba, quoniam propriā positionem nominum fallere nequeūt, a tertia ad primam personam ea retrahere, cum dicimus Τρύφων ὀνομάζομαι. at nō ita erit, si dicamus Τρύφων βιάζομαι: quia illud βιάζομαι, nō est Tryphonis proprium, sicuti eius nominatio. itaque accipit pronomen, quod est cōmune nominum omniū. (*essentiæ)

ιβ', Περὶ τῆς συντάξεως τῶν ἀντωνυμιῶν πρὸς τὰ ῥήματα.

τμῆμα β'

Ἑξῆς ῥητέον καὶ περὶ συντάξεως τῆς τῶν ἀντωνυμιῶν πρὸς τὰ ῥήματα· αἱ πλάγιαι πτώσεις τῶν ἀντωνυμιῶν, πάντως ἐπὶ ῥῆμα φέρονται. ἐξ ἧς συντάξεως νοεῖται ἡ ἐγγινομένη διάθεσις τοῦ προσώπου. οὐ μὴν ἀντιστρέφει τὰ τοῦ λόγου. οὐ γὰρ ἅπαντα τὰ ῥήματα πλαγίας ἀπαιτεῖ ὀνομάτων ἢ ἀντωνυμιῶν· ἐπεὶ ἃ μὲν αὐτοτελῆ αὐτῶν ἐστιν, ἃ δέ, ἐλλιπῆ. τό τε γὰρ περιπατεῖ, ἢ πλουτεῖ, ἢ ζῇ, ἤ τι τῶν τοιούτων, οὐκ ἐπιζητεῖ πλαγίαν πτῶσιν. περὶ ὧν ἐντελῆ τὸν λόγον παραστήσομεν ἐν τῇ κατ' ἰδίαν αὐτῶν συντάξει. Οὐ λέληθε δέ με, ὡς οἱ πλεῖστοι ὑπέλαβον τὴν τῶν ῥημάτων σύνταξιν ἐντελεστέραν εἶναι, εἰ προσλάβοι καὶ τὰς ἀντωνυμίας· ἐγὼ ἔγραψα, ἐγὼ λαλῶ· καὶ ἐπὶ τῶν ὁμοίων τὸ αὐτό. καὶ τοῦτο ἀ-

12, De pronominum constructione cum verbis.

Pars II.

Dicendum deinceps est de pronominum cōstructione cum verbis. Obliqui pronominum casus, ad verbum omnino feruntur. Ea orationis structura, prodit affectū personę insitum. Hęc tamen ratio non conuertitur. nam non omnia verba postulant obliquos nominum vel pronominum casus: quādoquidem alia sunt *per se perfecta, alia imperfecta. περιπατεῖ enim, vel πλουτεῖ, vel ζῇ, vel aliud eiusmodi, nullum obliquum exigit casum. Sed de his trademus absolutam rationem, cum seorsum de eorum constructione agemus. Nec me fugit, maximā Grammaticorum partem existimare, verborum constructionem esse absolutiorem, si assumat etiam pronomina; ἐγὼ ἔγραψα, ἐγὼ λαλῶ: itemque in aliis id genus. eamque af- (*absoluta, alia non ita.)

ferre demonstrationem, vt probent istiusmodi locutionem non carere vitio. nam (inquiunt) nisi assumas etiam pronomina in illa oratione, ἐγὼ μὲν τὸ παρερχόμενον, σὺ δ' οὔ, oratio constare non poterit. Ego tamen non existimo verum hoc esse in vniuersum: atque vt hoc ita esse probem, non petam a poetis exempla; (siquidem poetis permittitur vt in constructione abundent ac deficiant) sed ex communi omnium locutione, scriptorumque accurata compositione; & quod maius est, ex ipsius orationis vi, quæ in primis afferenda est; quoniam ceteræ constructiones manifestæ sunt. Exsistunt simul in nonnullis partibus orationis, & indicantur aliæ quædam diuersæ partes: vt in Αἴας, nomen εἷς: in Κρονίδης, genitiuus singularis primitiui, & nominatiuus singularis υἱός: in λεσβόθεν, vna cum intellectu nominis, etiam præpositio ἐξ: in Αἴαντε, numerale δύω: in ταχύτερος, aduerbium μᾶλλον, & aliis id genus exemplis plurimis: neq; tamen est qui dicat in Κρονίδης deesse υἱός, vel in ταχύτερος desiderari μᾶλλον: quod si adiiciatur, speciem præ se fert positionis superuacaneæ. Excipimus eos qui profitentur aliud, & illud ἐξ οἴκοθεν obiectant. hoc enim concedimus poetis, apud quos prepositiones modo supersunt, modo desunt; vt in illis exēplis, Ἀλλ' ὑμεῖς μὲν ἰόντες, ἀριστήεσσιν Ἀχαιῶν ἀγγελίην

Prisc. lib. 17.

Il. α.

πόδειξίν φασι, τὸ μὴ δεόντως ἔχειν τὴν τοιαύτην φράσιν. εἰ [γὰρ] μὴ προσλάβοι τις καὶ τὰς ἀντωνυμίας· ἐγὼ μὲν τὸ παρερχόμενον, σὺ δ' οὔ· ἀκατάστατα τὰ τοῦ λόγου γενήσεται. Ἐγὼ μέντοι οὐχ ὑπολαμβάνω ἐν τῷ καθόλου τὸ τοιοῦτον ἀληθὲς εἶναι· πιστούμενος οὐκ ἐκ ποιητικῶν παραθέσεων, (εἴγε τῇ ποιητικῇ συντάξει ἔφεσται καὶ πλεονάζειν, καὶ ἐλλείπειν) ἐκ μέντοι τῆς κοινῆς φράσεως ἁπάσης, καὶ τῆς τῶν συγγραφέων ἀκριβοῦς συνθέσεως· καὶ τὸ μεῖζον, ἐκ δυνάμεως τῆς τοῦ λόγου· ἣν καὶ δέον ἐστὶ παραθέσθαι, τῶν ἄλλων συντάξεων προδήλων οὐσῶν. †παρυφίσταται ἔν τισι μέρεσι λόγου ἕτερά τινα μέρη δηλούμενα· ἐν τῷ Αἴας, τὸ εἷς· ἐν τῷ Κρονίδης, γενικὴ ἑνικὴ τοῦ πρωτοτύπου, καὶ τὸ υἱὸς μετ' εὐθείας ἑνικῆς· ἐν τῷ λεσβόθεν, μετὰ τῆς ὀνοματικῆς ἐννοίας, καὶ ἡ ἐξ πρόθεσις· ἐν τῷ Αἴαντε, τὸ δύω· ἐν τῷ ταχύτερος, τὸ μᾶλλον· [καὶ] πάμπολλος ἡ εἰς τὸ τοιοῦτον παράθεσις· καὶ οὐκ ἔστιν ὅστις φησὶ τῷ Κρονίδης λείπειν τὸ υἱὸς, ἢ τῷ ταχύτερος τὸ μᾶλλον· προστεθὲν δὲ, περισσὴν θέσιν ἐπαγγέλλεται. Ἀφιστάνομεν τοὺς ἐπαγγελλομένους καὶ τοὺς ἀποφαινομένους τὸ ἐξ οἴκοθεν ποιηταῖς χαριζόμενοι τὸ τοιοῦτον· παρ' οἷς λείπουσιν αἱ προθέσεις καὶ πλεονάζουσιν· †Ἀλλ' ὑμεῖς ἔρχεσθε, καὶ ἀγγελίην ἀπόφα-

οὐκ ἐν ἀπόφαθε· κατ' ἔλλειψιν τῆς ἐξ· ἀπουρανόθεν παρέβαλλε, κατὰ πλεονασμὸν τῆς ἐξ. ἀλλ' οὐδὲ τῷ Αἴας, ἑνικὸν καλούμενον, λείπει τὸ εἷς. καὶ δὴ ἐν τοῖς ῥήμασι πάμπολλά ἐστι † παρυφιστάμενα. ἐν μὲν τοῖς ὁριστικοῖς, ὁ αὐτὸς λόγος, καὶ ἡ ἐξ αὐτοῦ νοουμένη κατάφασις· ὅπου γε καὶ πρὸς τὰς ἐρωτήσεις ἀνθυπαγόμεθα τὸ ναί, ἢ οὔ, ἢ ῥῆμα ὁριστικόν· ὡς ἂν παρακειμένης τῆς καταφάσεως κατὰ τὰ ὁριστικά. γράφεις; λέγω κατ' ἐρώτησιν· καὶ τὸ ἀνθυπαγόμενόν ἐστι, ναί, ἢ γράφω. ἐντεῦθεν καὶ ἡ οὐ ἀπόφασις, τὸ ἐναντίον ἀναιροῦσα αὐτὸ μόνον, τὰ ὁριστικὰ ἀποφάσκει· οὐ γράφω. Ἀλλ' ἔστι καὶ ὑπὲρ τούτων παραθέσθαι, ὡς ἔγκειται καὶ ὁ ἑνικὸς ἀριθμός· καὶ πάλιν τὸ εἷς, οὐκ ἐπιζητεῖ τὸ γράφω. σαφὲς δ' ὅτι καὶ ἡ εὐθεῖα ἔγκειται τῆς ἀντωνυμίας. καὶ εἰ τὰ καταλελεγμένα οὐ λείπει διὰ τὰ παρυφιστάμενα, οὐδὲ τὸ γράφω ἐλλιπές ἐστι τῆς ἐγὼ ἀντωνυμίας. Οὐχὶ οὕτω λέγεται ἐγὼ γράφω; καὶ οὐ κακία τὸ τοιοῦτον; καὶ αὐτὸς προείρηκα ὅτι οὐκ ἐν τῷ καθόλου. ἰδοὺ γὰρ καὶ τὰ προκαταλελεγμένα, ἀνάγκης ποτὲ οὔσης τῆς κατὰ τὸν λόγον, συμπαραλαμβάνει τὰ μόρια τὰ παρυφιστάμενα· Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν [δὴ ἔσεσθε.] δὶς γὰρ γινομένης ἐπιτάσεως, μιᾶς μὲν ὑπαρχούσης ἐν τῷ ῥηΐτεροι, ἀνάγκη πᾶσα τὸ, καὶ τὴν ἑτέραν παραληφθῆναι.

ἀπόφαθε. hic enim in ἴοντες deest ἀπὸ: abundat ἐξ in illo ἐξ οὐρανόθεν. itaque ne in Αἴας quidem deest εἷς, quod vnitatis nomen dicitur. Atque etiam in verbis permulta sunt coexsistentia. nam in indicatiuis est eadem oratio, & quæ ex ea intelligitur affirmatio. Itaque ad interrogationes occurrimus vel particulis affirmandi ναὶ, negandi οὔ: vel verbo indicatiuo; quod videlicet indicatiuis insita est affirmatio. γράφεις; interrogatiue inquam: occurrimus vel particula ναὶ, vel verbo γράφω. Hinc fit vt particula negandi οὐ, quæ tantum tollit suam aduersariam ναὶ, neget indicatiua; οὐ γράφω. De his vero etiam illud adiungendum, numerum singularem eis esse insitum; nec propterea verbum γράφω requirere hic rursus nomen εἷς. Constat etiã nominatiuum pronominis inesse verbo γράφω. ac si ea partes quas superius enumerauimus, non carent iis quæ secum coexsistunt, ne verbum quidem γράφω caret insito sibi pronomine ἐγώ. Quid igitur? dixerit quis. nonne dicimus ἐγὼ γράφω, & eiusmodi oratio vitio caret? Immo ipse quoque sum testatus hoc in vniuersum non ita fieri. nam ecce superiora illa, quæ attigimus, vrgente interdum in oratione aliqua necessitate, assumunt coexsistentes particulas. Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε. Il. ο. hic duæ intensiones sunt: altera, insita comparatiuo ῥηΐτεροι: altera, procul dubio assumptitia est.

item dicimus ναὶ γράφω, vt responsioni pondus addamus assensione geminata. Dicimus etiam *vnum* hominem deambulare, tum vt eum discernamus ab opposita multitudine, tum vt negemus ceteros deambulare: neminem inueni. Parem in modum si nobis sit propositum enunciare absolute, dixerimus φιλολογῶ, vel φιλολογεῖς: sin velimus declarare comparationem factam cũ aliquo alio, asciscemus pronomen, quod peculiarem habet personarum discretionẽ, non vt personam verbi nimirum distinguamus: nam vel verbum ipsum habebat hoc commune. Itaque infinita pronominum constructionem omnino postulant; quia personis carent. Verũtamen Abron negat illud, ἐγὼ μὲν παρεγενόμην, posse intelligi, pronomine prætermisso: neq; potuit attendere, coniunctionem μὲν facere vt consequens oratio adnectatur. itaque rectum pronominis casum habet ante se, vt personam consequentem, quæ orationi adnexæ inest, apte distingueret.

13. *Quibus iuncta coniunctionibus pronomina tenorem retineant acutum: & quæ sit eius rei caussa.*

Ergo acuimus in vltima illud, ἢ δή ἐμέ χρεὼς ἐλοῦσα: vt a
Od. μ. persona sociorum discernatur. quod autem rem maxime omnium continet, illud est: nam ipsamet pronomina testantur, se assumi discretionis tantum causa. hoc enim

φαμὲν δὲ καὶ, ναὶ γράφω· βεβαιοτέραν ποιούμενοι τὴν ἀπόκρισιν διὰ τῆς δὶς παρειλημμένης συγκαταθέσεως. ἀλλὰ καὶ ἕνα ἄνθρωπον φαμὲν περιπατεῖν· πρός τε τὸ ἀντιπαρακείμενον πλῆθος, καὶ πρὸς τὴν τῶν πάντων ἀναίρεσιν· λέγω οὐδεὶς περιπατεῖ· οὐδένα εὗρον. τὸν αὐτὸν δὴ τρόπον ὑπούσης ἐκφορᾶς ἀπολελυμένης, φήσομεν φιλολογῶ, φιλολογεῖς· εἰ μέντοι γε τὴν πρός τινα σύγκρισιν ἐθέλοιμεν διασαφῆσαι, ἐπισπώμεθα τὴν ἀντωνυμίαν, ἴδιον ἔχουσαν τὴν ἐν τοῖς προσώποις ἀντιδιαστολήν. σαφὲς γὰρ ὅτι οὐχ ἵνα τὸ πρόσωπον διαστείλωμεν. οὗτο γὰρ κοινὸν εἶχε καὶ τὸ ῥῆμα. διὸ καὶ [πάντως] τὰ ἀπαρέμφατα δέεται τῆς τούτων συντάξεως, ἐλλιπῆ καθεστῶτα. Φησὶ μέντοι Ἄβρων, ὡς τὸ, ἐγὼ μὲν παρεγενόμην, οὐ συνετὸν, εἰ παραλίποι τὴν ἀντωνυμίαν· οὐκ ἐπιστήσας ὡς ὁ σύνδεσμος αἴτιος γενόμενος ἐπιπλοκῆς ἑτέρου λόγου, πάντως διήγειρε τὴν ἀντωνυμίαν· ἵνα δεόντως διαστείλῃ τὸ ἐπιφερόμενον πρόσωπον· ὅπερ ἐνέκειτο ἐν τῷ ἐπιφερομένῳ λόγῳ.

ἀπόδειξιν D.

ἑκατέρου

ιγ', *Τίνες τῶν συνδέσμων ὀρθοτονοῦσι τὰς ἀντωνυμίας· καὶ τίς ἡ τούτου αἰτία.*

Ὀρθοτονοῦμεν οὖν τὸ, Ἢ δή ἐμέ χρεὼς ἐλοῦσα· διὰ τὸ ἀντιδιαστελλόμενον πρόσωπον τῶν † ἑταίρων. τὸ δὲ πάντων συνεκτικώτατον, αὗται αἱ ἀντωνυμίαι ὑπαγορεύουσι τὸ, ἕνεκα μόνον τῆς ἀντιδιαστολῆς συμπαραλαμβάνεσθαι. τοῦτο γὰρ

ἴσ. αὐταί

ἴσ. τούτῳ

μόνον

μόνον περιττεύουσαι, παρῆκαν μὲν τὴν ἐγκλιτικὴν τάσιν· ἐπεὶ αὕτη ἀνεπληροῦτο πρὸς τοῦ ῥήματος· ἔμειναν δέ, διά τε τὸ ἐπακολουθοῦν αὐταῖς ἰδίωμα· καὶ καθὸ πᾶσα ἀντωνυμία ὀρθῆς πτώσεως, ἐγκλιτικῆς συντάξεως ἀπαράδεκτός ἐστιν· οὐ μόνον τῆς χρήσεως τὸ τοιοῦτον ἐπιδειξαμένης, ἀλλὰ καὶ τῆς φωνῆς συνεπισχυούσης τῇ χρήσει· εἴγε αἱ ἀπὸ τοῦ ε ἀρχόμεναι ἀντωνυμίαι, ἅμα τῇ ἐγκλίσει καὶ τὸ κατ' ἀρχὴν [ε] παρέφθειραν. ὅπερ οὐ παρηκολούθει τῇ ἐγώ· ἐπεὶ ἦν ἀπαράδεκτος τῆς ἐγκλιτικῆς συντάξεως. καὶ διὰ τοῦτο τῇ μονῇ τοῦ ε, αἱ παρ' Αἰολεῦσιν ἀντωνυμίαι ὀρθοτονοῦνται, κἂν βαρύνωνται κατὰ τὸ τέλος. πῶς οὖν οὐ γελοῖοι, οἱ ὑπολαμβάνοντες τὴν ἐγὼ ἐγκλιτικὴν εἶναι· ἔτι τοῦ ἰδιώματος συντηρουμένου τῆς ὀρθῆς τάσεως· ὅπου γε καὶ πλεονάσαν τὸ ε, τὰς ἐγκλινομένας τῶν ἀντωνυμιῶν εἰς τὸν ὀρθὸν τόνον μετέθηκεν. ἀλλ' οὐκ ἄλλως τις ἐγκλίνειεν, εἰ μὴ περιγράψειε τὸ ε· ὅπερ ἴδιον ἦν μόνον τῆς ὀρθοτονουμένης ἀντωνυμίας. ἔνθεν μοι δοκεῖ μόνως ἐγκλίνεσθαι τὴν τύ ἀντωνυμίαν παρὰ Δωριεῦσιν, οἷον, † ὥς τυ φιλάσω· ἵνα τὸ ἀλλότριον τῆς εὐθείας ἐγγινόμενον, λέγω τὴν ἐγκλιτικὴν σύνταξιν, ἀποβάλλῃ μὲν τὴν εὐθεῖαν πτῶσιν, μετίῃ δὲ ἐπὶ τὴν συζυγοῦσαν αἰτιατικήν· ᾗ καὶ συνυπάρχει καὶ συνεμπίπτει ἐν δυϊκοῖς καί τισι τῶν πληθυντικῶν, καὶ ἐν ἅπασιν οὐδετέροις.

[Margin: κατ' ἀρχὴν — τῇ — περιγράψειε D. — συμπίπτει]

præcipuum cum habeāt, encliticum omittunt tenorem; quem verba supplēt. verumtamen ipsa remanent, tum propter proprietatem, quæ concomitatur; tum quia quilibet rectus pronominis casus encliticæ structuræ capax non est. idque non solum vsu proditur, sed etiam voce ipsa comprobatur: siquidem ceteri casus, qui ab ε incipiūt, vna cum inclinatione amittunt etiam ε primæ syllabæ: id quod nominatiuo ἐγὼ non accidit; quoniam encliticæ structuræ capax nō est. eamque ob causam Æolum pronomina in prima syllaba habent acutum, etiam si in extrema grauētur: nempe quia ε remanet. Nonne igitur ridiculi existimandi sunt, qui nominatiuum ἐγὼ encliticū esse putāt; recti tenoris proprietate adhuc conseruata? quandoquidē ε adiecta pronominibus inclinatis, eis acutum tenorē restituit. neq; poterit quis ea inclinare, nisi prius ε sustulerit: id quod erat proprium tantummodo pronominis acutū tenorem habentis. Hinc fieri arbitror, vt τύ pronomen Doricum tantummodo inclinetur, vt in illo, ὥς τυ φιλάσω: vt adhibita nimirum structura enclitica, quæ in nominatiuum cadere nō potest, amittat illud quidem recti casus vim, transeat autem ad cognatum accusatiuum, quo cum & existit, & coincidit in numero duali, interdum etiam in plurali, & omnibus in neutris.

[Margin: Theocr. Idyll. 3,8]

Necesse tamen omnino est, vt tertiis verborum personis adiiciantur vel ipsa pronomina, vel nomina pro quibus pronomina sumuntur; non propter casum; nam hic etiam nominatiuus coexsistit: neq; propter personam; non dubitatur enim personam esse tertiam: sed vt eam videlicet definiat. nam cum tertiæ personæ infinitæ sint, vna tamen structura verbi acquiescunt. Perspicuum est autem, vnicam dictionem, si ad infinita se accommodet, infinitam etiam personam indicare; quoniam intellectus in multas personas distrahitur. quare pronomina, quæ certas personas repræsentant, verbis apponuntur necessario; vt eorum præsentiâ verborum infinita vis circumscribatur. dicimus enim γράφει ὅδε, ἢ οὗτος, ἢ ἐκεῖνος, ἢ αὐτός. Demõstratum igitur est nominatiuos tantum pronominum necessario acui.

14, De discrimine pronominum quæ coniunctionibus copulantur, & eorum quæ proxima illa quidem sunt coniunctionibus, & tamen non copulantur.

Consequens est vt ad ceteros casus veniamus, quos duplex tenor sequitur propter orationis constructiones, quibus cõtinentur. nam nisi vocis proprietas sustulerit duplicem istã rationem, intelligi nõ poterit. Est igitur regula generalissima recti istorum casuum tenoris, illa, nempe si assumatur alterius personæ indicatio. nã il-

οἱ ἐμοί
Il. α.

lud, παῖδα δέ μοι λύσαιτε φίλην, refertur ad illud qđ pcessit, Ὑμῖν μὲν θεοὶ δοῖεν. Neq;

Ἀνάγκη μέντοι πᾶσα, τοῖς τρίτοις προσώποις προσεῖναι, ἢ αὐτὰς τὰς ἀντωνυμίας, ἢ τὰ ἀνθ' ὧν παραλαμβάνονται· λέγω τὰ ὀνόματα· οὐχ ἕνεκεν πτώσεως· ἐπεὶ πάλιν παρυφίσταται ἡ εὐθεῖα· ἀλλ' οὐδὲ ἕνεκα προσώπου· νοεῖται γὰρ ὅτι τρίτον· ἀλλ' ἕνεκά γε τοῦ μὴ ἀοριστοῦσθαι. ἄπειρα γὰρ ὄντα τὰ τρίτα πρόσωπα, μιᾷ ἐπαρκεῖται συντάξει τοῦ ῥήματος. καὶ ἀρκεῖται σαφὲς ὅτι μία λέξις κατ' ἀπείρων κειμένη, ἀόριστον πρόσωπον ὑπαγορεύει, εἰς πολλὰ τῆς διανοίας τρεπομένης. οὐσῶν δὴ ὡρισμένων προσώπων παραστατικῶν, ἀναγκαίως παρατίθενται τοῖς ῥήμασιν, ἵνα ἐκ τῆς αὐτῶν παραθέσεως περιγράφηται ἡ ἀόριστος ἔννοια τῶν ῥημάτων. γράφει γὰρ ὅδε, ἢ οὗτος, ἐκεῖνος, αὐτός. καὶ ὡς μὲν ἀναγκαίως αἱ τῆς εὐθείας μόνον ὀρθοτονοῦνται, ἐδείχθη.

ιδ', Περὶ διαφορᾶς τῶν συνδεδεμένων ἀντωνυμιῶν, καὶ τῶν παρακειμένων τοῖς συνδέσμοις, οὐ μὴν συνδεδεμένων.

Ἀκολούθως δὲ χωρητέον καὶ ἐπὶ τὰς ἑξῆς πτώσεις, αἷς τὸ διπλοῦν τοῦ τόνου παρεπόμενόν ἐστι παρὰ τὰς ὑπούσας συντάξεις τοῦ λόγου. εἰ γὰρ μὴ τὸ τῆς φωνῆς ἰδίωμα ὑπεξέληται τὸ διπλοῦν, οὐ νοηθήσεται. Ἔστι γοῦν ὁ γενικώτατος τρόπος τῆς ἐν αὐταῖς ὀρθῆς τάσεως, ἐὰν παρέμφασις ἑτέρου προσώπου παραλαμβάνηται. τὸ γάρ, Παῖδα δέ μοι λύσαιτε, εἴρηται πρὸς τὸ, Ὑμῖν μὲν θεοὶ δοῖεν· οἱ ἐμοί

καὶ σαφὲς

καὶ σαφὲς ὅτι τὸ, ὑμῖν μὲν θεοὶ δοῖεν, διὰ τῆς συνούσης τάσεως παρυφίστησι τὸ ἀντιπαραληφθησόμενον πρόσωπον. Τὸν δὴ προειρημένον τρόπον, εἰς πλείονας τρόπους πάλιν τέμνουσιν. ἐξ ὧν πάλιν παρείσαγεται τὸ τοῦ προειρημένου. πᾶσα γὰρ φασιν ἀντωνυμία συμπλεκομένη, ἐν τάσει ὀρθῇ ἐστι· Διονυσίῳ ἐλάλησε καὶ ἐμοί, Διονύσιον τιμᾷ καὶ ἐμέ. εἰ γοῦν ἐκτὸς τοῦ συνδέσμου γένοιτο ἡ ἀντωνυμία, οὐ πάντως ὀρθοτονηθήσεται· ἐχαρίσατό σοι καὶ Διονυσίῳ, ἐτίμησέ σε καὶ Διονύσιον. καὶ φασὶ τὰ τοιαῦτα μὴ συμπεπλέχθαι ἐν τῇ ἀντωνυμίᾳ· Καί μ' ἐφίλησε, Καί μοι ὑποστήτω. καὶ δῆλον ὅτι εἰ μὴ τὰ τοιαῦτά τις ἐπεξεργάζοιτο, δόξει αὐτὸ μόνον τοῖς ἀναγνώσμασιν ἠκολουθηκέναι· ἀφορμήν τε δώσει τοῖς θέλουσι διαταράσσειν τὰ ἀναγνώσματα· καθὸ οὐκ ἐπέχοιτο ὑπὸ λόγου δυναμένου ἐπιδεῖξαι τό τε δέον τοῦ καταλλήλου

ἀ D. καὶ τοῦ ὑπερβατοῦ. οἱ δὴ καλούμενοι ἀθροιστικοὶ σύνδεσμοι, ἐκ τῶν προκειμένων λόγων, ἀπὸ κοινοῦ λαμβάνουσιν ἢ ὄνομα ἢ ῥῆμα. ἔνθεν καὶ στιγμῆς ἀπροσδεεῖς

ἴσ. ὡς αἰσχομένου D. εἰσιν· ὡς ἂν ἐπιεχομένου τοῦ προϊόντος λόγου, ὡς πρὸς τὸ ὑποκείμενον. ἐκκεί-

ἐκκείσθω σθω δὲ ὑποδείγματα· ἐκ μὲν τοῦ συνήθους λόγου, καὶ Διονύσιος περιπατεῖ καὶ Ἀπολλώνιος· κοινοῦ παραλαμβανομένου τοῦ περιπατεῖ. ἐκ δὲ τοῦ ποιητικοῦ, Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον· Ἀρκεσίλαός τε, Προθοήνωρ τε, Κλονίός τε·

eſt dubium, quin hoc ὑμῖν μὲν θεοὶ δοῖεν, ſuo tenore diuerſam commendet perſonam, quæ ſubiungitur. Hãc igitur regulam rurſus in plures alias partiuntur: ex quibus rurſus euenit idẽ atque in ſuperiore regula. nam inquiũt; Omne pronomen iunctum cũ particula copulatiua, rectum retinet tonum; Διονυσίῳ ἐλάλησε, & ἐμοί: Διονύσιον τιμᾷ, & ἐμέ. quãdoquidem, ſi pronomen ſine coniunctione proferatur, rectum tenorem proculdubio non retinuerit: ἐχαρίσατό σοι, & Διονυσίῳ: ἐτίμησέ σε, καὶ Διονύσιον. Addunt præterea, exempla quæ ſequuntur, non habere pronomen copulatum cum cõiunctione; καί μ' ἐφίλησε, καί Il. α

μοι ὑποστήτω. Hęc, & alia id genus, niſi quis perſequatur accuratius, auctorũ nimirum lectionem tantummodo ſecutus exiſtimabitur, & præbebit materiã iis qui volunt, ſcripta eorum perturbandi; quatenus non ſequuntur regulã, quę recte connexã orationẽ, & verba non ſuo loco collocata valeat diſtinguere. Cõiunctiones igitur quę vocantur copulatiuę, ſumũt vel nomẽ, vel verbum a cõmuni ex antecedente oratione. vnde fit vt interpunctione non indigeant, pendẽte nimirum oratione & ad rem propoſitã contendente. Exempla proferamus: ex quotidiano ſermone, & Διονύσιος περιπατεῖ, καὶ Ἀπολλώνιος: aſſumitur enim περιπατεῖ a communi. Proferamus etiã ex poetis; Βοιωτῶν μὲν Il. β

Πηνέλεως & Λήϊτος ἦρχον, Ἀρκεσίλαός τε, Προθοήνωρ τε, Κλονίός τε.

hic rursus a cõmuni sumitur ἦρχεν. Neque vero illud assero, in vniuersum hęc verba vel nomina assumi a communi: sed illud dico, quæ a communi sumuntur, ea hũc in modum connecti, cõiunctione inquam καὶ, & aliis eandem vim habentibus. nam infra demonstrabimus coniunctionẽ δὲ, & alias quæ vim eandem habent, reiicere huiusmodi figuras a communi, & facere tũ casualium, tum etiam verborum transitum. itaque cum non indigeant oratione quę proxime sequitur, faciunt vt oratio interpungatur. Huiusmodi sunt hæc; Διονύσιος ἔγραψε, Τρύφων δὲ ἀνέγνω. nisi distributionẽ antecedentis multitudinis habeant; qualia sunt ista; φιλολογήσωμεν σήμερον, σὺ μὲν, κατὰ χολὴν, Il. δ ἐγὼ δὲ, κατ' οἶκον: Ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι, Σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοί. Hanc igitur obseruationem, quæ plane est subtilissima, iterum suo loco pertractabimus. Iam vero ad propositum est redeundum. Casuale, si coniunctione cõnectatur, numquam in oratione consequẽti poterit assumi a communi; at verbum poterit: & viceuersa, si verbum cõiunctioni sociabitur, numquam in oratione consequenti commune assumetur; at poterit casuale quod cum eo cõiunctum est. Proferantur exempla; καὶ Τρύφων διελέξατο, καὶ Ἀπολλώνιος. hic nomen Tryphonis non assumitur commune, sed verbum διελέξατο. & vice versa, καὶ διε-

κοινοῦ πάλιν παραλαμβανομένου τοῦ ἦρχον. Οὔ φημι δὲ τοῦτο ὡς πάντως ἐν κοινότητι τὰ τοιαῦτα παραλαμβάνεται· ἀλλ' ὡς τὰ ἐκ κοινοῦ παραλαμβανόμενα, ἐν τοιαύτῃ συμπλοκῇ καθέστηκε· λέγω τῇ ἐκ τοῦ καὶ, τῶν τε τούτῳ ἰσοδυναμούντων. δείξομεν γὰρ ὅτι ὁ δὲ, καὶ πάλιν οἱ τούτῳ ἰσοδυναμοῦντες, παραιτοῦνται τὰς κοινότητας, μετάβασιν ποιούμενοι καὶ τῶν πτωτικῶν, καὶ ἔτι τῶν ῥημάτων. ἔνθεν ἀπροσδεεῖς ὄντες τοῦ παρακειμένου λόγου, στιγμῆς ἴσ. προκειμ. D. αἴτιοι καθεστᾶσιν· ὡς ἔχει τὰ τοιαῦτα, Διονύσιος μὲν ἔγραψε, Τρύφων δὲ ἀνέγνω. χωρὶς εἰ μὴ ἐπιμεριζόμενα εἴη ἐκ πλήθους· ὡς ἔχει, φιλολογήσωμεν σήμερον· σὺ μὲν, κατὰ χολήν· ἐγὼ δὲ, ἐν οἴκῳ κατ' οἶκον· Ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι· Σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοί. Τὴν δὴ τοιαύτην τήρησιν, πάνυ ἀκριβεστάτην οὖσαν, ἐν τῇ ἐπιβαλλούσῃ τάξει πάλιν ἐκθησόμεθα. αἴτιον δ' οὖν ἐπὶ τὸ προκείμενον. Ἐὰν πτωτικὸν συμπλακῇ, οὔποτε κατὰ τὸν ἑξῆς λόγον δύναται κοινὸν παραληφθῆναι, τό γε μὴν ῥῆμα· καὶ ἀνάπαλιν, ἐὰν ῥῆμα συμπλακῇ, οὔποτε κατὰ τὸν ἑξῆς λόγον κοινὸν παραλαμβάνεται, τό γε μὴν συνὸν πτωτικόν. ἐκκείσθω δὲ ὑποδείγματα· καὶ Τρύφων διελέξατο καὶ Ἀπολλώνιος· οὐ κοινοῦ μὲν τοῦ Τρύφωνος παραλαμβανομένου, τοῦ γε μὴν διελέξατο. καὶ ἀνάπαλιν, καὶ διελέ-

διελέξατο Τρύφων καὶ ἀνέγνω· νῦν πάλιν τοῦ Τρύφωνος κοινοῦ παραλαμβανομένου. τὴν αὐτὴν σύνταξιν ποιήσεις καὶ ἐπὶ τῶν ἀντωνυμιῶν. εἰ μέντοι γε ὁ προκείμενος λόγος μὴ ἀνεδέξατο τὸν σύνδεσμον, τηνικαῦτα ἀδιαφόρως ἔχει τὸ ἐπιφερόμενον τοῦ κοινοῦ· Τρύφων περιπατεῖ καὶ Ἀπολλώνιος· περιπατεῖ Τρύφων καὶ διαλέγεται· ἀμφοτέρων ἀπὸ κοινοῦ δυναμένων λαμβάνεσθαι. ᾧ λόγῳ εἰ προσδώημεν τὸν σύνδεσμον, περὶ τὴν σύνταξιν τοῦ συνδεδεμένου τὰ τοῦ λόγου καταστήσεται· καὶ Τρύφων περιπατεῖ καὶ Ἀπολλώνιος· καὶ περιπατεῖ Τρύφων καὶ διαλέγεται· οὐ γὰρ ἐν ὑγιεῖ λόγῳ τὰ τοιαῦτα, καὶ περιπατεῖ Τρύφων καὶ Ἀπολλώνιος· [καὶ Τρύφων περιπατεῖ, καὶ διαλέγεται.] ὁμολογουμένως οὖν τὸ συνδεδεμένον πτωτικὸν, ἀπαιτεῖ [καὶ] ἕτερον πτωτικὸν πάντως, καὶ τῆς αὐτῆς πτώσεως. ὥστε προὖπτόν ἐστι καὶ ἐξ ἐκείνου, εἰπὲ καὶ ἡμῖν· καὶ γὰρ [τοῖς] ἄλλοις· Ὃν πέρι μοῦσ' ἐφίλησε, †δίδου [δ' ἀγαθόν τε, κακόν τε· Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου] δ' ἡδεῖαν ἀοιδήν. ἤ, ὡς Ἀρίσταρχος, ὡς οὐ κείμενον τὸν σύνδεσμον παραιτεῖται, ἵνα μὴ ἐξ αὐτοῦ τὸ ὁμοιόπτωτον πρόσωπον νοῆται. ἔνθεν οὖν ὀρθοτονοῦνται διὰ τὸ ἐπισυμπλεκόμενον πτωτικόν· ἔνθεν τὸ, Καί μοι ὑποστήτω, Καί μ' ἐφίλησεν, οὐ συμπλέκεται κατὰ τὸ ἀντωνυμικὸν, κατὰ δὲ τὸ ῥῆμα· καὶ ἔστι τὰ τοῦ λόγου ἐν ὑπερβατῷ.

ἐν. παρά

λέξατο Τρύφων, ἢ ἀνέγνω: nunc viceuersa nomen Tryphonis assumitur cõmune. Eandem constructionẽ feceris, si pronominibus etiam vtaris. At si antecedens oratio non recipiat coniunctionem, tum indifferenter commune illud aut sumi poterit, aut non sumi; Τρύφων περιπατεῖ, ἢ Ἀπολλώνιος: περιπατεῖ Τρύφων, ἢ διαλέγεται. ita enim vtrumque, verbum videlicet, & casuale, potest sumi a communi. At si adiungamus coniunctionem isti orationi, tunc oratio constituetur perinde atque postulat constructio copulæ; καὶ Τρύφων περιπατεῖ, καὶ Ἀπολλώνιος: ἢ περιπατεῖ Τρύφων, καὶ διαλέγεται. nam non caret culpa illa oratio, καὶ περιπατεῖ Τρύφων, ἢ Ἀπολλώνιος: & illa, καὶ Τρύφων περιπατεῖ, ἢ διαλέγεται. Ergo sine vlla controuersia casuale illud, quod cum coniunctione copulatur, exigit alterum casuale, & eiusdem omnino casus. Hoc autem fit planum etiam ex illo, εἰπὲ ἢ ἡμῖν: nam aliis etiam. &, Ὃν πέρι μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε, κακόν τε: Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν. vel (sicuti placet Aristarcho) reiicit coniunctionẽ, quasi non appositam; ne per eam persona eiusdem casus intelligatur. Hinc fit vt pronomina tenorem rectum habeant propter casuale, quod cum coniunctione iungitur: hinc etiam fit vt illa, καί μοι ὑποστήτω, καί μ' ἐφίλησε, non copulentur cũ pronomine, sed cũ verbo: & est verborum transgressio.

Od. α. Od. θ. Il. ι. Il. ι.

ἰδοὺ γὰρ ἡ συμπλοκὴ οὐκ ἐπήγαγεν ὁμοιόπτωτον πρόσωπον πρὸς τὸ συμπεπλεγμένον ὑπὸ τῶν ἀντωνυμικῶν· (ἀντωνυμιῶν) ἔνθα δὲ, ἀνέθεντο τῆς διαστολῆς αἱ ἀντωνυμίαι, παρῆκαν τὸν ἴδιον τόνον, ὡς ἀνεχόμεναι ὑπὸ τοῦ συνδέσμου. τὸν αὐτὸν δὴ λόγον ποιήσεται καὶ ἐπὶ τῶν κατὰ διάζευξιν παραλαμβανομένων, καὶ καθόλου τῶν δυναμένων εἰς σύνταξιν πτωτικὴν παραλαμβάνεσθαι. φημὶ δὴ τὸ τοιοῦτον, καθὸ καὶ σύνδεσμος [ὁ ὅτι] ἐπὶ ῥήματος φέρεται μόνον· ὅθεν οὐδὲ ἀναγκαίως διεγείρει τὰς ἀντωνυμίας, εἰ μὴ τὰ τοῦ λόγου ἀπαιτήσει. οἷόν τε γὰρ φάναι, ὅτι σε ἐτίμησα, ὑβρίσθην. καὶ καθόλου γὰρ οὐκ οἶδε διεγείρειν τὴν ἀντωνυμίαν. εἰ δὲ κατ' ὀρθὴν τάσιν φαίημεν, ὅτι σὲ ἐτίμησα, δῆλον ὅτι ὡς οὐ διὰ τὸν σύνδεσμον, διὰ δὲ τὴν ἐπακολουθήσασαν ἀντιδιαστολήν. ἀνάπαλιν οὖν ὁ ἕνεκα σύνδεσμος, φερόμενος πάντοτε ἐπὶ γενικὴν μόνως, ὀρθοτονεῖ τὴν ἀντωνυμίαν, ἡνίκα τὰς τούτων γενικὰς συνδεῖ· Εἵνεκ' ἐμεῖο κυνός. τίς γὰρ ἂν θαρρήσειεν Ἑλλήνων ἐγκλῖναι τὸ ἕνεκά μου; καὶ δῆλον ὡς μόνως πάλιν ὀρθοτονοῦνται), καθὸ συνδέονται πρός τι πτωτικὸν, τὸν λόγον ἀνέχουσι. φησὶ δέ που καὶ ὁ Ἄβρων, οὐ δεόντως ἐγκεκλίνθαι τὸ, ἤ μ' ἀνάειρ', ἢ ἐγώ σε· καθὸ διέζευκται ἡ ἀντωνυμία· ὡς οὐκ ἐὸν πρὸς αὐτὸν φάναι, ὅτι τὸ ἑξῆς ἐστιν, ἢ

nam ecce, eiuſmodi connexio non adſciuit perſonam eiuſdem caſus ad pronominum perſonam, quæ cũ coniũctione ſociata eſt; ſed pronomina, ſoluta munere diſcernendi perſonas, ſuum ſimul tenorem abiecerunt, a coniunctione quaſi ſuſtentata. Eãdem orationem conſtituet ſtructura etiam verborum, quæ diſiũctiuas particulas habebit; & in vniuerſum ea quæ in conſtructionem caſualium cadere poterit. Hoc eo dico, quod & cõiunctio ὅτι ad verba tantum fertur: itaque neceſſario non erigit tenorẽ pronominum; niſi hoc exigat oratio. licet enim dicere, ὅτι σε ἐτίμησα, ὑβρίσθην. immo etiam in vniuerſum nequit erigere tenorem pronominis. at ſi dixeris acuto tenore, ὅτι σὲ ἐτίμησα, tenor nimirum erigitur, non coniunctionis ergo, ſed propter perſonæ diſcretionem, quæ orationẽ comitatur. Diuerſa eſt ratio coniunctionis ἕνεκα. hæc enim perpetuo ad genitiuum tantummodo fertur; & tenorem rectum in pronominibus retinet, cum eorum genitiuos copulat; (Ι. ζ.) εἵνεκ' ἐμεῖο κυνός. nã quis apud Græcos audeat inclinare illud, ἕνεκά μου? Itaq; patet rurſus pronomina ſolitaria recto tenore proferri; quatenus copulata cũ caſuali aliquo, ſuſtentant orationem. Quãquam Abro quodam in loco negat (Ι. ψ.) recte inclinatum illud, ἤ μ' ἀνάειρ', ἢ ἐγώ σε: quatenus pronomen cum diſiunctiua coniunctione iunctum eſt. quaſi non liceat illi ſic occurrere; ordinem illius orationis hunc eſſe, ἢ

ἀνάειρε

ἀνάειρόν με, † ὃ αὐτὸς παρῃτήσατο· Καί μ᾽ ἐφίλησεν, ἀντὶ τοῦ, καὶ ἐφίλησέ με. εἰ μὴ κατ᾽ ἔκθλιψιν ὃν προσεθήκαμεν λόγον· ὡς ὄντως διεζεῦχθαι (ἡ ἀντωνυμία ἐκ τοῦ διαζευχθέντος λόγου· εἴγε ἐπιφέρεται), ἢ ἐγώ σε. σαφὲς γὰρ ὅτι τὸ ῥῆμα διέζευκτο· ἐπεὶ οὐκ ἂν αἰτιατικὴ πτῶσις ἐπηνέχθη, ἀλλὰ ῥῆμα· καθάπερ ἐπεδείξαμεν ἐπὶ τῆς συμπλοκῆς. † τοὺς μέντοι ὑπαναγνόντας παρεκρούσατο ἡ μονοσύλλαβος ἀντωνυμία, ἣν δεόντως δισύλλαβον παρεδεξάμεθα· πείσαντες ὡς ὑποσυνελήφθη κατὰ τὸν τρόπον τῆς κράσεως, ὁμοίως τῷ μῷ κεχαρισμένε θυμῷ, τῇ μῇ κλισίῃ. καὶ δῆλον ὅτι οὐ μετατίθησι τὸν ἴδιον τόνον ἐπὶ τὸν ἢ σύνδεσμον· συνάγεται δὲ ἐν αὐτῇ, ὡς ἐν τῷ, ἤ μ᾽ ἀνάειρ᾽, ἢ ἐγώ σε· καθάπερ καὶ ἐπὶ τοῦ διασαφητικοῦ, Ἦ ἐμοί, ὅσπερ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι), πρὸς τὸ, Ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκε. πάλιν μέντοι τὸ ἑξῆς ἐν τῷ, κἀγώ σοι συνέριθος ἔσομαι. δῆλον ὅτι προφανές, ὡς ἐπὶ πάντων τῶν τοιούτων, ὁ λόγος καθίστησι τὸ δέον τῆς συντάξεως.

(margin: εἰ D. — τῆς αὐτ. διαζ. ὅτι εἰ τὸ ῥῆμα διέζευκτο, οὐκ ἂν D. — Καί τοι ἐγὼ συνέριθος ἅμ᾽ ἕψομαι)

ιε. Τίς ἡ αἰτία τοῦ τὰς προθέσεις ὀρθοτονεῖσθαι ταῖς ἀντωνυμίαις.

Καὶ αἱ προθέσεις δὲ παρατιθέμεναι ταῖς ἀντωνυμίαις, ταὐτὸ ἀποτελοῦσι, παρ᾽ ἐμοῦ, διὰ σοῦ ἀφικνεῖται παρὰ σέ. † καὶ ἕνεκα τούτου. [τὸ παρὰ Θεοκρίτῳ, σὺν καὶ τεῖος ἄμμιν Ἀμύντας, δεόντως ἠξίωσάν τινες ὀρθοτονεῖν.]

ἀνάειρέ με: id quod ipse reiecit. ita etiam, καί μ᾽ ἐφίλησε, pro καὶ ἐφίλησέ με. nisi sit defectus: quam rationem iam attulimus: nam reuera pronomen disiunctum est ab ea oratione quae disiuncta sequitur, ἢ ἐγώ σε. vnde fit planũ, verbum fuisse disiunctũ. alioqui non sequeretur accusatiuus, sed verbum; quemadmodum superius demõstrauimus, cum de copulatiuis cõiunctionib. disputabamus. Lectores tamen fefellit pronomen monosyllabũ με, quod nos merito pro disyllabo accipimus; persuasi id latenter contineri per affectum illum qui κρᾶσις dicitur; perinde atque illud, τῷ μῷ κεχαρισμένε θυμῷ: & illud, τῇ μῇ κλισίῃ. quare illud με non reiicit suum tenorem in coniunctionẽ ἤ, sed nimirum in se ipsam colligit, in illo exemplo, ἤ μ᾽ ἀνάειρ᾽, ἢ ἐγώ σε: sicuti fit in illa coniunctione explicandi, Ἦ ἐμοί, ὅσπερ οἱ θαλερὸς πόσις εὔχομαι εἶ(ναι): quod respicit ad illud proximum superius, Ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκε. Rursus in illo, Καί τοι ἐγὼ συνέριθος ἅμ᾽ ἕψομαι, ordo minime dubius est. Ergo perspicuum est in omnibus istiusmodi exemplis, rationem constituere rectam constructionem.

(margin: Il. ι. — Il. λ. — Il. θ. — Od. ζ.)

15, *Quae sit causa vt praepositiones etiam in pronominibus retineant acutum tenorem.*

Praepositiones etiam appositae pronominibus, idem efficiunt; παρ᾽ ἐμοῦ, διὰ σοῦ: ἀφικνεῖται παρὰ σέ. Et quoniam constructio istiusmodi nota

est, superuacaneam existimo copiam exemplorum. Illud tamen est quærendum necessario, an ea res accidat ordine aliquo naturali ná constructio, quatenus nota est, non ita vrget: at ratio in omnibus non ita facile potest perspici.

παρείσοδον ἡγούμεθα, τῆς συντάξεως προδήλου οὔσης, πλείοσιν ὑποδείγμασι χρῆσθαι. ἐκεῖνο γάρ ἐστιν ἐπεξεργάσασθαι ἀναγκαῖον, εἰ κατά τινα φυσικὴν ἀκολουθίαν τὸ τοιοῦτον παρεπόμενόν ἐστιν. οὐ γὰρ οὕτω καὶ ἐπείγει τὸ τῆς συντάξεως, καθὸ πρόδηλόν ἐστι· τὸ δὲ τοῦ λόγου ἐπὶ πᾶσιν οὐκ εὐσύνοπτον.

16, *Pronomina alia fieri enclitica necessario, alia non ita.*

ις', Ὅτι ἀναγκαίως αἱ μὲν, ἐγκλιτικαὶ γίνονται, αἱ δὲ, οὔ.

Obliqui casus pronominum, iuncti verbis, & duas personas indicátes, eius quæ afficit, & eius quæ afficitur, si rectum habeant tenorem, tertiam præterea personam indicant. siquidem interest inter illud, τύπτω σε, & σὲ τύπτω: eamque ob causam constructio distincta est: quatenus absoluta est cóstructio, quia postulat pronomen subiunctiuum, eius tenorem transfert, & encliticum illud efficit: quatenus autem ad aliud refertur, recipit in principio pronomen, quod habet & vocem integram, & conuenientem tenorem. hoc patet in his exemplis, δός μοι, & ἐμοὶ δός. Illud quoque verum est, præpositiones iungi cum rectis, & cum verbis per compositionem, cum obliquis autem per appositionem. atque hæc postrema ratio, in pronominibus minime dubia est; in nominibus aliquid habet dubitationis. dicimus enim ὑπέρβολον, ἐπίκουρον. Verum, si quis accuratius rem inuestigauerit, reperiet non

Αἱ πλάγιαι τῶν ἀντωνυμιῶν, συντασσόμεναι τοῖς ῥήμασι, καὶ προσώπων δύο παρεμφατικαὶ οὖσαι, τοῦ τε διατιθέντος καὶ διατιθεμένου, διὰ τῆς ὀρθῆς τάσεως παρεμφατικαὶ γίνονται καὶ τρίτου προσώπου· εἴγε διαφέρει τὸ τύπτω σε, τοῦ σὲ τύπτω· καὶ ἕνεκα τούτου τὰ τῆς συντάξεως διεμερίσθη· καθὸ ἡ ἀπολελυμένη σύνταξις, αἰτοῦσα ὑποτακτικὴν ἀντωνυμίαν, μετατίθησι καὶ τὴν τάσιν, τουτέστιν ἐγκλιτικὰς αὐτὰς καθίστησιν· ἡ δὲ πρός τι, ἐν ἀρχῇ παρεδέξατο τὴν ἀντωνυμίαν· ᾗ σύνεστι καὶ ὁλόκληρος φωνὴ, καὶ ἡ παρεπομένη γραφή. πρόδηλον ἐκ τοῦ δός μοι, καὶ, ἐμοὶ δός. † ἀλλὰ κἀκεῖνος ὁ λόγος ἀληθής ἐστιν, ὡς αἱ προθέσεις σύντιθενται κατ᾽ εὐθείας καὶ κατὰ τὰ ῥήματα· κατὰ δὲ τὰς πλαγίας, παρατίθενται· ἐπὶ μὲν ἀντωνυμιῶν, προφανῶς· ἐπὶ δὲ ὀνομάτων, δόξει τὰ τοῦ λόγου διαψεύδεσθαι. λέγομεν γὰρ ὑπέρβολον, ἐπίκουρον. ὅπερ, εἴ τις ἀνακριβὲς ἐξετάσειεν, οὐχ εὕροι ἂν τὴν

γινόμεναι

[illegible]

μὲν τὴν πλαγίαν συντιθεμένην, συνθέτου δὲ τῆς εὐθείας κλίσιν γινομένην. ἰδιάζουσι γοῦν αἱ πλάγιαι ἐν ταῖς προθέσεσι, πρόδηλον ποιοῦνται τὴν παράθεσιν· κατὰ Κτησιφῶντος, περὶ Λεισάρχου. καὶ διότι τὸ τοιοῦτον παρεπόμενόν ἐστιν, ἐν τῇ περὶ αὐτῶν συντάξει εἰρήσεται. αἱ γὰρ προτιθέμεναι [ἐν] τῶν πλαγίαις τῶν ἀντωνυμιῶν, ἀναγκαίως ἀρκτικὰς αὐτὰς ποιοῦσι. προθετικαὶ γὰρ οὖσαι, συμπροτιθέασι καὶ τὰς πλαγίας, αἷς καὶ συντάσσονται. καὶ οὕτω τῶν ῥημάτων δευτέρων γινομένων μετὰ τὰς ἀντωνυμίας, ἀνάγκη πᾶσα ἐγγίνεσθαι ὀρθὴν τάσιν ταῖς ἀντωνυμίαις, καθὼς ἀπεδείξαμεν· ὅτι ἀδύνατόν ἐστιν ἐπινοῆσαι ἐγκλιτικὴν πρὸ ῥήματος τοῦ πρὸς ὃ ποιεῖται τὴν σύνταξιν. φαμὲν γὰρ, ἔγραψά σοι λαλῆσαι Ἀπολλωνίῳ· οὐ τῆς ἀντωνυμίας συντασσομένης τῷ λαλῆσαι, τῷ δὲ ἔγραψα, πρὸς ὃ καὶ τὴν τάσιν ἀπελείατο.

ὑπὲρ

ἀπηρείσατο D.

ιζ. Τίνες αὐτῶν μόνον ὀρθοτονοῦνται· καὶ τούτου τὸ αἴτιον.

Ἔνθεν μοι δοκεῖ ἡ μετὰ τὰ ῥήματα τῶν ὀρθοτονουμένων ἀντωνυμιῶν σύνταξις ἀνεστράφθαι, εἰ οὕτω τις φαίη, ἐλάλησας ἐμοί· τὸ γὰρ δέον ἐστὶν, ἐμοὶ ἐλάλησας. καὶ τὸ οὕτως ἔχον, Σοὶ μὲν δὴ Μενέλαε κατηφείη καὶ ὄνειδος Ἔσσεται ἤματα πάντα. εἰ γὰρ τὸ ἀπολελυμένον πρόσωπον, τῆς θέσεως τοῦ ὀρθοτονουμένου

obliquos ipsos compositos, sed a recto composito inclinatos. Cũ igitur obliqui habeant id proprietatis in præpositionibus, palàm faciunt appositionem; κατὰ Κτησιφῶντος, ὑπὲρ Λεισάρχου. Causam autem cur accidat id præpositionibus, tum exponemus, cum de earum constructione disputabimus. Præpositiones enim appositæ obliquis pronominum, efficiunt necessario vt obliqui verba antecedant. nam quia ipsæ præponuntur, faciunt vt obliqui etiam, quibuscũ construuntur, præponantur. atque ita verbis subsequentibus pronomina, sequitur necessario, vt pronomina rectos habeãt tenores; sicuti iam demonstrauimus. impossibile enim est inuenire pronomen encliticum ante verbum, quo cũ cõstruitur. dicimus namque, ἔγραψά σοι λαλῆσαι Ἀπολλωνίῳ: vbi pronomen non est construendum cum λαλῆσαι, sed cum ἔγραψα, ad quod etiam tenor reflectitur.

17. *Quæ pronomina rectos tenores habeant, & cur eos habeant.*

Hinc factum existimo vt constructio pronominum, quæ post verba tenorem rectum retinent, inuersa sit, si ita dixeris, ἐλάλησας ἐμοί. recta enim constructio est, ἐμοὶ ἐλάλησας: vt illud, quod est simile, Σοὶ μὲν δὴ Μενέλαε κατηφείη Il. ρ. καὶ ὄνειδος Ἔσσεται ἤματα πάντα. nam si persona absoluta non potest obtinere locum eius pronominis quod rectũ ha-

bet tenorem; hoc est, si encliticum pronomẽ numquam præponitur: ne illud quidem merito subiũgi poterit: quãdo vel subiunctiua pronomina præposita, omittunt suã vocem, assumunt eam quæ rectum habet tonum: Ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο. & alibi, ἐμὲ δ' ἔγνω, καὶ προσέειπε. hic enim in priore exemplo nullus est rect' tenor: at mutato ordine, vim & integritatem suam simul vox recuperauit. nam, vt constructio facile posset percipi, persona absoluta, quæ subiecta erat, abiecit ε: & quoniã hoc monosyllabis accidere non potest, vt syllabam abiiciant, tenoris sui iacturam fecit. vnde etiam obliqui omnes enclitici facti sunt. Verũ suspicati poterit quis, obliquos plurales reclamare; quatenus assumpti vt enclitici, primæ tamen syllabæ quantitatem integram retinẽt: ἤκουσεν ἡμῶν Διονύσιος. Sed diximus iã vocis proprietatem interdũ valere plus quã obseruationes perpetuas; sicuti in nominibus mobilibus, vocis proprietas excludit τὰ κοινά, i. cõmunionem illam triũ generum. nam in ἡμῶν primũ aspiratio non est demenda: demõstrauimus autẽ plurales pronominum casus habere primas syllabas aspiratas: deinde, si η suum amittat tempus, prima syllaba omnino tenuabitur. nam pronomina quæ breues habẽt primas syllabas, tenuãtur. vnde Æoles η corripiũt, & per α breuem dicunt ἀμμῶν.

Od. λ.

Od. λ.

γρ. ἡμῶν

οὐκ ἔτυχε, τουτέστιν [εἰ] ἡ ἐγκλινομένη ἀντωνυμία οὐδέποτε προτακτική, οὐδὲ ἐκείνη ὑποτακτικὴ δεόντως παραληφθήσεται· ὅπου γε καὶ αἱ ὑποτακτικαὶ ἐν ἀρχῇ γινόμεναι, παρῆκαν μὲν τὴν ἰδίαν φωνήν, μετέλαβον δὲ τῆς ὀρθῆς τάσεως· ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο. καὶ ἐν ἑτέροις· ἐμὲ δ' ἔγνω καὶ προσέειπε. νῦν γὰρ οὐ δηλουμένη ἡ ὀρθὴ τάσις, τάξεώς γε μὴν ἐναλλαγῇ, συνεπισχύει καὶ ὁ ἀπὸ τῆς φωνῆς λόγος. ὑπὲρ γὰρ τοῦ ἀνέλλιπτα τὰ τῆς συντάξεως γενέσθαι, τὸ ἀπόλυτον πρόσωπον καὶ ὑποτακτικὸν παρῆκε τὸ ε. καὶ ἐπεὶ μὴ τοῖς μονοσυλλάβοις ἠδύνατο τὸ τοιοῦτον παρέπεσθαι, λέγω τὸ συλλαβὴν ἀποβάλλειν, τοῦ γε ἀποβολὴν ἐποιήσατο. ἔνθεν γὰρ καὶ ἐγκλιτικαὶ ἐγένοντο. Οἰήσεταί τις ἀντικεῖσθαι τὰς πληθυντικάς· καθὸ εἰς ἔγκλισιν παραλαμβανόμεναι, οὐ παραφθείρουσι τὸν ἐν ἀρχῇ χρόνον· ἤκουσεν ἡμῶν Διονύσιος. εἴπομεν κατ' ἀρχήν, ὡς ἔσθ' ὅτε ἰδίωμα φωνῶν ἐπικρατεστέρας καθίστησι διηνεκεῖς τηρήσεις· ὥσπερ καὶ ἐν τοῖς διῃρημένοις τῶν ὀνομάτων, πάλιν ἰδίωμα φωνῆς ἐκκόπτει τὰ διῃρημέναι. πρῶτον μὲν γὰρ ἡ δασεῖα οὐ θέλει ἀφαιρεῖσθαι. δείκνυμεν δὲ ὅτι οὐκ ὀφεί- ἀναλόγως αἱ πληθυντικαὶ ἀπὸ δασείας ἀπήρξαντο. † εἶτα, εἰ καὶ ὁ χρόνος ἀφῃρεῖτο τοῦ η, πάντως ἂν καὶ ἡ ἄρχουσα, ψιλὴ ἐγίνετο. αἱ γὰρ ἀπὸ βραχείας ἀρχόμεναι ἀντωνυμίαι, ψιλοῦνται. ἔνθεν ὁ Αἰολεὺς συνέστειλεν εἰς βραχὺ α τὸ ἀμμῶν.

γρ. ἡμῶν

μ

καὶ συν-

καὶ συνεχὲς δὲ τὸ ε ἐν ταῖς κατὰ πρόσωπον ἐγκλίσεσι καὶ προστίθεται καὶ ἀφαιρεῖται· ἐώρων, ἕνα, ἕσπα· ἀλλὰ καὶ τὸ ἔβη, βῆ· ἔφη, φῆ· καὶ ἐν ἀντωνυμίαις δὲ ἕοι, οἷ· ἕυ, ὗ. καὶ διὰ τοῦτο αἱ ἀπὸ τοῦ ε ἀρξάμεναι ἀντωνυμίαι, ἀναγκαίως τὸ ε διαφθείρουσιν. ἠρκέσθη οὖν ἡ ἔγκλισις αὐτοῦ μόνον διὰ τῆς μεταθέσεως τοῦ τόνου· ἤκουσεν ἡμῶν. λέγω ἀπολύτως τῆς τάσεως μεταπιθεμένης κατὰ τὰς ἀρχούσας· ἀδυνάτου γὰρ ὄντος τὸ παρακείμενον μόριον παρελθεῖν· εἴγε μέχρι τριῶν χρόνων τὰ τῆς ἀμοιβῆς τοῦ τόνου γίνεται. καὶ ἕνεκα τούτου τὸ, καί σφεας, ἐξ ὅλης τῆς ἀντωνυμίας μετέθηκε τὸν τόνον· οὐ μὴν πάλιν τὸ ἡμᾶς· ὡς ἐν τῷ περὶ τόνων ἀκριβέστερον τὰ τοιαῦτα ἐπεδείκνυμεν.

ἤκουσ' ἡμῶν D.

ἐπεδείξαμεν

ιη΄, Ὅτι οὐ πάντως αἱ κατὰ τὸ τρίτον ὀρθοτονούμεναι, εἰς σύνθεσιν παραλαμβάνονται, καὶ τίνες ἐγκλίνονται, τίνες δὲ οὔ.

Κἀκεῖνο δὲ ἔτι ἔστι παραστῆσαι, ὡς τὰς μὲν ὀρθοτονουμένας ἀρκτικὰς οὔσας, παρείπετο καὶ μετατίθεσθαι τοῦ ἰδίου τόπου· καθὸ καὶ ἐν τάσει καὶ ἐν τῇ παρεπομένῃ γραφῇ ἀνελλιπεῖς οὖσαι, οὐκ ἐκωλύοντο τῆς μεταθέσεως. ἔκ γε μὴν τῶν ἐναντίων [καὶ] αἱ ἐγκλιτικαὶ προσαπηρεισμέναι προκειμένῳ τινὶ μορίῳ, ἐφ' ᾧ καὶ τὴν τάσιν μετέθηκαν, οὐκ εἶχον ἐν δέοντι τὰ τῆς μεταθέσεως. ἐστεροῦντο γὰρ τοῦ παρεπομένου αὐταῖς ἰδιώματος. πρὸς οὐδὲν γὰρ εἶχον τὰ τῆς ἐγκλίσεως μεταθέσθαι. ὅθεν καὶ μόνως ἐγκλιτικαὶ ἐπενοήθησαν,

ἐφ' ὃ D.

& ε, quæ iungitur iis quæ per personas inclinantur, modo additur, modo demitur; ἐώρων, ἴνα, ἕσπα: sicuti & ἔβη, βῆ: & ἔφη, φῆ: & in pronominibus, ἕοι, οἷ: ἕυ, ὗ. eamque ob causam pronomina quæ habent ε in prima syllaba, ε illam necessario abiiciunt. contenta igitur fuit eius inclinatio transpositione tantum tenoris, ἤκουσεν ἡμῶν. siquidem ad tria vsq; tempora licet tenoribus mutare sedes. eamq; ob causam illud pronomen integrũ καί σφεας suum tenorẽ transtulit: at non ita ἡμᾶς: id quod accuratius in libro De tenoribus demonstrauimus.

18, *Pronomina personæ tertiæ, quæ tenorem habent rectum, ad compositionem non omnino assumi: & quædam inclinari, quædam non.*

Illud etiã est demonstrandum, pronominibus, quæ rectum habent tenorem & anteponuntur, accidere vt a sua in aliam sedem transferãtur. quod licet eis facere liberius; modo tenorẽ & scripturam suam integrã retineãt. Contra vero, enclitica pronomina, quæ in aliquam orationis partem antecedentem inclinatæ, in eam tenorem suum transferũt, sedem mutare recte nequeunt. ita enim suam amitterẽt proprietatem. nihil enim haberent ad quod inclinata recumberẽt. Hinc factum est vt enclitica tantũmodo illa notata fuerint,

σφὶν, σφὲ, τοὶ per τ scriptum; & τὺ accusatiuus Dorũ, & tertię personæ duales casus. hæc enim numquam verbis anteponuntur. Illud autem admodum stultum est, si quis contrarias rationes afferens, speciẽ refellendi argumenta præbeat, & dicat etiam enclitica pronomina verbis anteponi, & rectum habentia tenorem cum præpositionibus post verba poni; vt si dixeris, σήμερον ἐλάλησα κατὰ σοῦ, σήμερόν σε ἐθεασάμην: καί τυ Φίλιππον ἔθηκεν. Constructionem enim exemplorum huiusmodi supra docuimus; nimirũ verborum transgressiones, quæ latent, ad vsitatam orationis consequentiam reuocandas esse; & quę apud poetas sunt, excipienda esse. recta enim & congrua orationis constitutio hoc postulat; σήμερον ἐθεασάμην σε: ita vt aduerbium cum verbo construatur, & pronomen ad congruam inclinationis sedem feratur. illud etiam pronomen, quod cum præpositione iunctum rectum tenorem seruat, sic ordinandum est; κατὰ σοῦ ἐλάλησα: & illud, καί τυ Φίλιππον ἔθηκεν: & ἔθηκέ σε. perinde ac si quis existimet continuatiuas aut etiam subcontinuatiuas coniunctiones in principio orationis non posse stare, quia interdum dicitur, φῶς ἐστιν, εἰ ἡμέρα ἐστίν. nam illud, εἰ ἡμέρα ἐστί, collocatione dumtaxat postpositum; quamq̃ enũtiatione vsitata soleat anteponi. sensus enim illud primum postulat; secũdo loco recipit

ἢ σφὶν, καὶ ἢ σφὲ, καὶ ἢ μὶν, καὶ ἢ τοὶ, διὰ τοῦ τ γραφομένη· καὶ ἡ παρὰ Δωριεῦσι τὺ, κατ' αἰτιατικὴν πτῶσιν· καὶ δυϊκαὶ τοῦ τρίτου προσώπου. οὐ γὰρ ῥημάτων ποτὲ προηγήσαντο. Γελοῖον μέντοι εὔηθές ἐστι δόξαι τοὺς λόγους διαχρέεσθαι, ὑποθεμένους πρὸς τὰ ἐναντία· ὡς καὶ ἐγκλιτικαὶ πρὸ ῥημάτων, καὶ ὀρθοτονούμεναι ἐν τῇ προθέσεσι μετὰ τὰ ῥήματα τίθενται· εἰ οὕτω τις φαίη, σήμερον ἐλάλησα κατὰ σοῦ· σήμερόν σε ἐθεασάμην· καί τυ Φίλιππον ἔθηκεν. εἰς γὰρ τὸ τοιοῦτον τὰ τῆς συντάξεως ἀπεδείχθη, ἵνα καὶ τὰ λεληθότα τῶν ὑπερβατῶν ὄντα, καὶ κατὰ τὸ συνήθες ἔχηται τοῦ ἀκολούθου [λόγου,] καὶ μὴ μόνον τὰ παρὰ ποιηταῖς ὡς ἐξαίρετά τις ὑπολαμβάνῃ. ἡ γὰρ δέουσα κατάστασις, τοῦθ' ὑπαγορεύει, σήμερον ἐθεασάμην σε· τοῦ ἐπιρρήματος ἐπὶ τὸ ῥῆμα φερομένου, καὶ τῆς ἀντωνυμίας ἐπὶ τὴν δέουσαν θέσιν τῆς ἐγκλίσεως. καὶ ἔτι ἐπὶ τῆς ὀρθοτονουμένης, κατὰ σοῦ ἐλάλησα· καὶ ἔτι ἐπὶ τοῦ, καί τυ Φίλιππον ἔθηκε· καὶ, ἔθηκέ σε· ὡς εἰ καὶ ἐπὶ συναπτικῶν τις ὑπολάβοι, ἢ καὶ ἐπὶ παρασυναπτικῶν μὴ ἵστασθαι τὸ καταρκτικοὺς αὐτοὺς εἶναι· εἰ καὶ φαίημεν, φῶς ἐστιν, εἰ ἡμέρα ἐστίν. αὐτὸ γὰρ μόνον τῇ συνθέσει τὸ, εἰ ἡμέρα ἐστὶ, δευτερεύει· οὐ μὴν τῇ διεξοδικῇ ἀπαγγελίᾳ. πρότερον μὲν γὰρ ἐπιδέχεται ἡ διάνοια τὸ, εἰ ἡμέρα ἐστί, καὶ τότε ἐπιδέχεται τὸ, φῶς

ἰν. σοῦ

τὸ καταρκ. D.

φῶς ἐστι. καὶ οὐ πάντως οὐχὶ προτακτικὸς ὁ εἰ συναπτικός, καίτοι γινόμενος ὑποτακτικὸς ἐνίοτε. οἵ τε παρὰ τούτων ἐσχηματισμένοι ὀρθοτονοῦνται. καὶ ὅσαι ἐκ προϋπηργμένης χάριτος τὴν ἐναντίαν διάθεσιν ὁμολογοῦσιν· ἐμοὶ ἐτόλμησε ταῦτα ποιῆσαι· ἐμὲ ὑπέμεινεν ὑβρίσαι. καὶ σαφὲς ὅτι συντείνει πάλιν ἐπὶ τὸν προειρημένον λόγον. τοιοῦτον γάρ ἐστιν, ἄλλον ὤφειλεν ὑβρίσαι, οὐκ ἐμὲ τὸν παρ' αὐτῷ τίμιον. ὁ αὐτὸς λόγος κἀπὶ τῶν παραλαμβανομένων ἐκ προϋπηργμένης ἀδικίας· δεῖ, ἐμοῦ ὁρῶντος, ἐκεῖνον αἰκίζεσθαι· οὐκ ἄλλου γὰρ ἢ ἐμοῦ τοῦ προαδικηθέντος. Ὀρθοτονεῖσθαί φασι καὶ τὰς πεπλεονακυίας· λέγω τὴν ἐμεῖο, καὶ τὰς ὁμοίας. πάνυ εὐλόγως. πρῶτον, καθὸ σώζεται πάλιν ἡ ἐν αὐταῖς διαστολή· Εἵνεκ' ἐμεῖο κυνός, καὶ Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς. Οὐ τοῦτο δέ φημι, ὅτι κἂν μὴ μετὰ τοῦ ι λέγηται, οὐ πάντως ὀρθοτονηθήσεται. ἐπεὶ ἰδοὺ καὶ δίχα τοῦ ι, σέο δ' εἵνεκ' αὐτή τε πόλεμός τε. πρόδηλον γὰρ κἀκ τοῦ σημαινομένου, καὶ [τοῦ] ἕνεκα συνδέσμου, καθὼς ἐπεδειξάμεθα. δεύτερον, οὐκ ἄλλως οὔτε πλεονασμὸν τις ἐπινοήσειεν, οὔτε ἔνδειαν, εἰ μὴ πρότερον ἡ φωνὴ ἐπιδειχθείη ὁλόκληρος· ἵνα τὸ ἐγγινόμενον πάθος, τὸ ἕτερον ἐπιρρίψῃ· λέγω τὴν ἔνδειαν, ἢ τὸν πλεονασμόν.

[Margin: γο. παρὰ τούτων] [Margin: προκείμενον] [Margin: ἄτης] [Margin: ὑποτείνεται]

φῶς ἐστι. neq; ſequitur vt particula iſta εἰ, non ſit in vniuerſum præpoſitiua, quoniã aliquãdo ſubiicitur. Rectũ habent tenorem etiam illæ coniunctiones, quæ ab iſtis figurãtur. Illa etiam pronomina rectum tenorem habent, quæ collati beneficii contrariam arguunt voluntatem; ἐμοί ἐτόλμησε ταῦτα ποιῆσαι, ἐμέ ὑπέμεινεν ὑβρίσαι. quæ ratio nimirum referenda eſt ad ſuperiorem diſputationem. eſt enim eiuſmodi; *alium debuerat afficere ignominia, non me, qui apud eum obtineo locum honeſtum.* Eadem eſt ratio eorum quæ ſumuntur propter acceptam iniuriam; δεῖ, ἐμοῦ ὁρῶντος, ἐκεῖνον αἰκίζεσθαι: me nimirum inſpectante, qui accepi iniuriam, non alio quopiam. Rectum habere tenorem aiunt etiam caſus qui abundant; nempe ἐμεῖο, & alios id genus. idque iure optimo. Primum, quia inſitam habent diſcretionem perſonarum; Εἵνεκ' ἐμεῖο κυνός, καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης. Il. ζ. Neque vero hoc aio, quaſi caſus iſte non retineat rectum tenorem, etiam ſi ſine ι pronuntietur. nam ecce ſine ι, σέο δ' εἵνεκ' αὐτή τε Il. ζ. πόλεμός τε. hoc patet cum ex ſignificatione, tum ex coniunctione εἵνεκα. Deinde, nemo poterit videre aut abundantiam, aut defectũ vocis; niſi prius cognouerit integrã ipſam vocem; vt alter affectus inditus alterũ aboleat; abundãtiam inquam, vel defectũ.

atque hæc ratio ita plana est, vt exemplis non egeat ad fidem faciendam. Nullus igitur pleonasmus inseri poterit pronominibus, quin prius integra & absoluta sint ipsa pronomina. integra autem cum sunt, rectum recipiunt tenorem. Recte igitur affectus inditus arguit vocem integram ex qua & ortus est. erant autem integra, quę per ε pronuntiantur. atque ita quæ abundant ε, rectum tenorem retinent. Postremo, maxima encliticorum quantitas, tria habet tempora. quî fieri poterit igitur, vt ἐμεῖο inclinetur? immo inclinari nō poterit, etiamsi tria habeat tempora. nam si particulæ encliticæ propensæ sunt ad breuiora tempora, quid est cur non pronomina, quæ tempore abundant, in statum inclinationi cōtrarium transeant? Pleonasmus etiam ε in ἕε, ἕοι, & in coniugatis additus, rectum tenorem sibi multo magis vindicat. nam si pronomina, quæ ab ε incipiunt, eam abiiciunt literam inclinata, vt in illis, δός μοι, ἄκουσόν μου: quî fieri poterit, vt ea quæ abundant eadem vocali, contrarium inclinationi statum non exigant? sicuti etiam superius demonstrauimus. Atque etiam duales casus primæ & secundæ personæ dumtaxat rectum tenorem habent, nimirum propter grauem. Positum enim recte est iam antea, particulas encliticas acutū in extrema syllaba habere

καὶ περιττὸν εἰς τὸ τοιοῦτον παραπίπτεσθαι. ὁ γὰρ λόγος προφανής. οὐχὶ οὖν πλεονασμὸς ἐγγενήσεται ἐν ταῖς ἀντωνυμίαις· οὐχὶ αὐτῆς πρότερον ἐντελοῦς οὔσης. ἐντελὴς δὴ καθεστῶσα, μόνως ὀρθοτονουμένη ἐστίν. ὑγιῶς ἄρα τὸ ἐγγινόμενον πάθος ὁμολογεῖ ὁλόκληρον τὸ ἀφ' οὗ ἐγένετο. ἦσαν δὲ ἐντελεῖς, αἱ σὺν τῷ ε λεγόμεναι. καὶ οὕτως αἱ πλεονάζουσαι μόνως ὀρθοτονοῦνται. τρίτον, τὸ μέγιστον μέγεθος τῶν ἐγκλιτικῶν, τρίχρονόν ἐστι. πῶς οὖν ἡ ἐμεῖο ἐγκλιθήσεται; ἀλλ' οὐ δεήσαδε, κἂν τρίχρονος ᾖ. εἰ γὰρ τὰ ἐγκλιτικὰ μόρια † καταφορὰ ἐπὶ τοὺς ἐλάττονας χρόνους, πῶς οὐχὶ αἱ πλεονάσασαι χρόνῳ ἀντωνυμίαι, εἰς τὸ ἐναντίον τῆς ἐγκλίσεως μεταστήσονται; καὶ ὁ τοῦ ε δὲ πλεονασμὸς ἐν τῷ ἕε, ἕοι, καὶ ἔτι ἐν ταῖς συζυγίαις ἐγγινόμενος, πολλῷ μᾶλλον ἐπισπᾶται τὴν ὀρθὴν τάσιν. εἰ γὰρ αἱ ἀπὸ τοῦ ε ἀρχόμεναι ἀντωνυμίαι, ἡνίκα ἐγκλίνωνται, παραφθείρουσι τὸ ε, ὡς ἐν τῷ δός μοι, ἄκουσόν μου, πῶς αἱ τούτῳ πλεονάσασαι, οὐ τὰ ἐναντία τῆς ἐγκλίσεως ἀπαιτήσουσι; καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἐδείξαμεν.

οὐδὲ ἡ σεῖο, Soph.

Ἀλλὰ καὶ αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου μόνως ὀρθοτονοῦνται, διὰ τὸν τόνον τῆς βαρείας. προηνυθέτισαι γὰρ, τὰ ἐγκλιτικὰ μόρια, ἐπὶ τέλους ἔχειν τὴν ὀξεῖαν, ἢ φύ-

σει, ἢ

σι, ἢ δυνάμει· [λέγω δὲ δυνάμει,] διὰ τὰ περισπώμενα· ἵνα ἡ τοῦ τόνου ἀναστροφὴ, τὸ μὲν προκείμενον ὀξύνῃ, αὐτὸ δὲ μεταστήσῃ εἰς βαρεῖαν τάσιν· ὅπερ ἐπὶ τοῦ νῶϊ οὐκ ἠδύνατο ἐγγενέσθαι.

κατὰ τὸ τρίτον πρόσωπον ἔνθεν Soph. ἰσοτονεῖ D. Αἱ γοῦν κατὰ τὸ τρίτον πρόσωπον μόνως ἐγκλιτικαὶ, μόνως καὶ ὀξύνονται, ἥ τε σφωὲ, καὶ ἡ σφωΐν· ἐπεὶ τίς ἡ αἰτία τοῦ μὴ βαρύνεσθαι αὐτάς; ὅθεν τὸ εἰμὶ καὶ φημὶ ὠξύνθη, διὰ τὴν ἐποῦσαν αὐτοῖς ἔγκλισιν· καίτοι τῶν ῥημάτων καταφερομένων εἰς τὴν ἐπὶ τέλους βαρεῖαν. Τὰ πύσματα οὐκ ἔστιν ἐγκλιτικὰ, διὰ τὸ βαρύνεσθαι· τά γε μὴν παρακείμενα αὐτοῖς ἀόριστα· ἐπεὶ μᾶλλον ἐν τῷ τέλει ἔχει τὴν ὀξεῖαν. Οὐ τοῦτο δέ φημι, ὅτι τὰ ἀόριστα μόνως ἐγκλιτικά ἐστιν· ἀλλ' εἴ τι τῶν τοιούτων μορίων ἐγκλιτικόν ἐστι, τοῦτο καὶ ἀόριστόν ἐστιν, ὡς τὸ, ἦλθέ τις, ἦλθέ ποτε. κἀνθένδε δείκνυται ὅτι τὸ τὶς ἀοριστούμενον, μᾶλλον ὀξύτονόν ἐστι· πευστικὸν δὲ καθεστὼς, τῷ λόγῳ τῆς ἀρχούσης βαρύνεται. ἔστι δὲ καὶ ἄλλα παραθέσθαι. Πρόδηλον οὖν ὅτι καὶ ἡ ἐκεῖνος, καὶ ἡ οὗτος, ἀνέγκλιτοί εἰσι, διὰ τὸν αὐτὸν λόγον προσγινομένου [δὲ] τοῦ ι, καὶ [μᾶλλον] δεικτικαί εἰσιν. ἦν δὲ παρεπόμενον ταῖς ἐπιτεταμέναις κατὰ δεῖξιν, τοῦ μὴ παραφθείρειν τοὺς τόνους· καθώς ἐστι τηρῆσαι ἐπὶ τῶν προκειμένων. ὁ πα-

ἴσ. καθὸ — δεικτ. D — ᾳ D. — προκ. D.

vel natura vel potentia expressum, vel inclusum: dico autem inclusum, propter ea quæ circumflectuntur: vt nimirũ tenor recurrendo, verbum quod antecedit, acuat, ipsam particulam in grauem transferat tenorem. hoc autem in casu duali νῶϊ contingere non poterat. Ergo pronomina tertiæ personæ, quæ sola inclinantur, sola etiam acuuntur; σφωὲ inquam, & σφωΐν. etenim quænam alia est causa cur non grauentur? Hinc etiam fit vt εἰμὶ & φημὶ acuãtur, quia & ipsa possunt inclinari: quamquam cetera verba grauentur in extremis syllabis. Nomina & aduerbia interrogatiua, nõ sunt enclitica; quia grauantur: at infinita, quæ sunt illis finitima, inclinantur: quoniam in extrema syllaba potius acuuntur. Neque vero illud assero, infinita esse tantummodo enclitica; sed, si qua istiusmodi particula enclitica est, eam continuo infinitam quoque esse; vt illud, ἦλθέ τις, ἦλθέ ποτε. Vnde etiam apparet, τὶς, cum infinitum est, acui potius: at cum interrogatiuum fit, grauatur propter primæ syllabæ regulam. Possem afferre alia præterea exempla, si res hoc postularet. Perspicuum est igitur, illa etiam pronomina, ἐκεῖνος & οὗτος, propter eãdem rationem non inclinari; quin etiam addita ι, maiorem habere demonstrationem. Accidit autem pronominibus, quæ habent intẽsam demonstrationem, vt tenores integros retineant; sicuti licet cernere in his quæ paulo ante protulimus. Pro-

xima vero ista disputatio necessario docet αὐτὸς pronomen acui per analogiam. Alioqui pronomina, quæ sumuntur loco pronominum tertiæ personæ, quibus accidit etiam vt inclinētur, a demonstratione excluduntur. Sed cur in nominatiuo αὐτὸς nō inclinatur? nimirum propter ipsum casum, quia ἐγὼ etiam & σύ, & cognatæ, non inclinantur. Cur igitur non in genitiuo saltem, & datiuo? Dicendum est, quia quatuor habet tempora. at in genitiuo ἡμῶν, & aliis casibus, qui quatuor habēt tempora, ratio pugnat. hi enim etsi non abiiciunt tenorem, tamen cum transferunt in primam syllabam; vt in illo, ἄκουσον ἧμιν. hoc autem non accidit his casibus αὐτῶν, vel αὐτοῦ. Atque ista ratio potest defendi. nam propterea tenori mutata sedes est, vt institutum Æolum distingueretur: eamque ob causam accusatiuus, solutus iis impedimentis, quantitate inq̄ temporum incidentium, necessario recepit inclinationem. est enim reiicienda illa quatuor temporum ratio: & illa, pronomen αὐτὸς non inclinari, propterea quod pronomina, quæ genus indicant, non inclinantur. nam inclinatio ignorat discrimen generis, aut alterius cuiuspiam accidentis. quandoquidem etiam inter coniunctiones, & verba, atque etiam aduerbia, sunt voces encliticæ, & in nomine mobili τίς. Explicatum est igitur, cur pronomina ἐκεῖνος & οὗτος non

ρακείμενος λόγος ἀναλόγως διδάσκει, ὡς ἀναλόγως ἡ αὐτὸς ὠξύνθη. ἀπέστω γὰρ τῆς δείξεως. καὶ ἡ μετάληψις τῶν κατὰ τὸ τρίτον πρόσωπον· οἷς παρηκολούθει καὶ τὸ ἐγκλίνεσθαι. Ἀλλὰ διατί ἐπὶ τῆς ὀνομαστικῆς οὐκ ἐγκλίνεται; σαφὲς ὅτι δι᾽ αὐτὴν τὴν πτῶσιν· καθότι καὶ ἡ ἐγώ, καὶ σύ, καὶ αἱ σύζυγοι. τί οὖν οὐχὶ ἐπὶ γενικῆς καὶ δοτικῆς; φαίημεν ἄν, διὰ τὸ τετραχρονεῖν. ἀλλὰ καὶ ἐπὶ τῆς ἡμῶν, καὶ ἐπὶ τῶν τετραχρόνων τὰ τοῦ λόγου μάχεται. εἰ γὰρ καὶ τὴν τάσιν οὐκ ἀποβάλλουσιν, ἀλλ᾽ αὐτήν γε μετατιθεῖσι κατὰ τὸ ἄρχον μέρος, ὡς ἐν τῷ, ἄκουσον ἧμιν. ὅπερ οὐ παρηκολούθει κατὰ τὸ αὐτῶν ἢ αὐτοῦ. καὶ τὸ τοιοῦτον ἔχει ἀπολογίαν. εἰς γὰρ ὑποστολὴν τὴν τοῦ Αἰολικοῦ τὰ τοῦ τόνου παρεπέμφθη. διὰ τοῦτο καὶ ἡ αἰτιατικὴ πτῶσις, ἀπολυθεῖσα τῶν ἐμποδιζόντων, λέγω τῆς ἐμπλώσεως τῶν χρόνων, ἀναλόγως τὴν ἔγκλισιν παρεδέξατο. περιεπεμπλέον γὰρ ἐκεῖνον τὸν χρονικὸν λόγον. καὶ καθ᾽ ὃ αἱ γένους παρεμφατικαὶ ἀνέγκλιτοί εἰσι, καὶ διὰ τοῦτο οὐκ ἐγκλίνεται ἡ αὐτός. γένος γὰρ οὐκ ἐπίσταται ἡ ἔγκλισις, οὐδὲ ἄλλο τι παρεπομένων· ὅπου γε καὶ ἐν συνδέσμοις, καὶ ῥήμασι, καὶ ἔτι ἐν ἐπιρρήμασιν ἐγκλιτικὰ γίνεται, καὶ ἐν τεθηλυσμένῳ τῷ τίς. εἴρηται οὖν διατί ἡ ἐκεῖνος καὶ ἡ οὗτος οὐκ

ἐγκλί-

ἐνεκλίθησαν. Ἀλλ' οὐδ' ὅτε ἄρθρα εἰς σύνταξιν ἀντωνυμίας παραλαμβάνεται, ἔγκλισιν ἀναδέχεται· οὐ καθὸ γένους εἰσὶ παρεμφατικά, ἀλλά, καθὸ ἄρθρα ὄντα, τῇ φύσει ἀδυνατεῖ εἰς ἔγκλισιν παραλαμβάνεσθαι. τόπον γὰρ ἐπέχει ἐναντίον τῇ ἐγκλίσει· λέγω τῶν προτακτικῶν, [οὐ μαχομένων τῶν ὑποτακτικῶν] ἐπεὶ ἔδοξε μὴ ἐμποδίζεσθαι τὰ τῆς ἐγκλίσεως [ἐν τοῖς ὑποτακτικοῖς.] ἦν γὰρ καὶ αὐτὰ προτακτικά· τὴν μὲν ἀναφορὰν ἐπιστρέφοντα εἰς τὰ προκείμενα, ἐν ἀρχῇ δὲ λόγου παραλαμβανόμενα εἰς σύνταξιν ῥηματικήν· ὃς μάλα πόλλ' ἐπλάγχθη· ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε· τῆς ἐγγινομένης στιγμῆς ἐπιμαρτυρούσης τῇ ἀρκτικῇ συντάξει τῶν ἄρθρων.

ἴσ. τῶν προτακτικῶν

Ὀρθοτονοῦνται καὶ ὅσαι συντάσσονται τῇ αὐτὸς ἐπιταγματικῇ· Ἤ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ· σοὶ δ' αὐτῷ· [σὺ δὲ] σεῦ αὐτῆς· οὐδ' ἐμοὶ αὐτῷ Θυμὸς ἐνὶ στήθεσσι σιδήρεος. Τά γε μὴν τοῦ τρίτου οὐχ ὁμαλίζεται· καθότι οὐδ' ἀληθὴς λόγος παρεδείχθη ὁ, τὰς κατὰ τὸ τρίτον πρόσωπον ὀρθοτονηθείσας, πάντως μεταλαμβάνεσθαι εἰς συνθέτους. ὡς γάρ ἐστι ψευδὴς ὑπόληψις, καὶ οὐχ ὡς ὁμαλίζεται, καὶ ὡς ὁ τόνος ἐνδέχεται αἰτία τῆς συνθέτου μεταλήψεως, εἰρήσεται κατὰ τὸ ἑξῆς. ἐνθένδε οὖν ἐνεκλίθη, † ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην,

ὡς οὐχ ὡς ὑπό- νοε Soph

inclinentur. Articuli etiam, cum in constructione vicem subeūt pronominum, inclinationem non recipiūt: non quia genus indicant, sed quia sunt articuli, & suapte natura recusant inclinationem. occupant enim locum inclinationi minime accommodatum; principia inquam orationis; non repugnantibus subiunctiuis. nam ipsi quoque præponuntur orationi: ita tamen, vt respiciant orationem antecedentem, ad quam referuntur; initium vero eius quæ sequitur, cum verbo faciant: ὃς μάλα πολλὰ πλάγχθη: ἣ μυρί' Ἀχαιοῖς ἄλγ' ἔθηκε. Quod autem articuli constructioni præponantur, fidem facit interpunctio, quæ solet adhiberi. Rectum habent tenorem etiam ea pronomina quæ construuntur cum appositiuo pronomine αὐτός: Ἤ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ: Σοὶ δ' αὐτῷ: οὐδὲ σεῦ αὐτῆς: οὐδ' ἐμοὶ αὐτῷ Θυμὸς ἐνὶ στήθεσσι σιδήρεος. Il. π. Il. τ. Il. ξ. Od. ι.

At tertiæ personæ pronomē non æque retinet rectum tenorem. Itaque falsum esse illud ostenditur, tertiæ personæ pronomina, si rectum tenorem habeant, omnino sumi pro compositis. Quod autem falsa sit hæc opinio, & quod non æque retineat rectum tenorem tertiæ personæ pronomen, & quod tenoris immutatio faciat vt pro composito sumatur, in sequentibus probabimus. hinc fit vt illud inclinatum sit, ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην, Od. δ.

πρὶν ἡμῖν πῆμα γενέσθαι: & illud,
Od. θ. Εὐρύαλος δέ ἑ αὐτὸν ἀρεσσάσθω ἐπέεσσιν. at illud rectũ tenorem
Il. δ. retinuit, ἀμφὶ ἓ παπτήνας. Itaque illud carere ratione videtur, οἵ τ' αὐτῷ: quoniam oratio ęque ad omneis pertinet. Eiusmodi tamen cõstructio habet maiorẽ significantiam assumptę discretionis, ἐμὲ αὐτὸν ἐτίμησεν, σὲ αὐτὸν ἐμέμψατο. Praponuntur igitur semper pronomina; quia rectum tenorem habent; sicuti in superioribus demonstratũ est. at si cõuersa ratione subiungantur, inclinari etiam pote-
Il. ι. runt: Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται: &, αὐτόν σε φράζεσθαι ἅμ'
Il. ι. Ἀργείοισιν ἄνωγεν. Neque vero illud assero, rectum tenorem etiam in huiusmodi constructione locũ habere non posse; sed aio in constructione istiusmodi locum esse inclinationi; Αὐτόν με προφρόνεως συνοικισθῆναι γαίας ἐσδέξεται μενοῦν.

19, *Quando pronomina simplicia sumantur pro compositis, & quando non.*

Aduersus autem eos qui pronomen αὐτὸν putant assumi vt discernat genus, paucis opus est: iis nimirum, quę sequũtur: pronomina siue demonstrationem, siue relationem habeant, non habent opus alio pnomine, quo genus eorum discernatur. nam quid dixerint in constructione istiusmodi, οὗτος αὐτὸς, ἐκεῖνος αὐτὸς, ὅδε αὐτὸς, ἐγὼ αὐτὸς? constat enim pronomina etiam non subiuncta genus distin-
Od. δ. guere. & viceuersa illud, ἐμοὶ

πρὶν ἡμῖν πῆμα γενέσθαι· καὶ τὸ, Εὐρύαλος δέ ἑ αὐτὸν ἀρεσσάσθω ἐπέεσσιν. ὠρθοτονήθη δὲ τὸ, ἀμφὶ ἓ παπτήνας. ἄλογόν τε δοκεῖ τὸ, οἵ τ' αὐτῷ· διήκοντος τοῦ λόγου ἐπὶ ἀπολύτων ὁμοίως. ἔσται μέντοι ἡ σύνταξις, εἰς ἔμφασιν πλείονα διαστολῆς παραλαμβανομένης· ἐμὲ αὐτὸν ἐτίμησεν, σὲ αὐτὸν ἐμέμψατο. ἐν προτάξει τῶν ἀπολύτων εἰσὶν αἱ ἀντωνυμίαι, καθὸ ἔχουσι τοῦ ὀρθοῦ τόνου, ὥσπερ ἐδείχθη κἀν τοῖς προκειμένοις. εἰ μέντοι τὰ τῆς συντάξεως ἀναστραφείη, οἷόν τε ἐστὶ καὶ ἐγκλίνεσθαι τὴν ἀντωνυμίαν· Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται· Αὐτόν σε φράζεσθαι ἅμ' Ἀργείοισιν ἄνωγεν. Οὐ τοῦτο δέ φημι, ὡς οὐχ οἷόν τε καὶ ἐπὶ τῆς τοιαύτης συντάξεως ὀρθοτονεῖν· ἀλλ' ὡς ἀφορμὴν ἔχει ἐγκλίσεως ἡ τοιαύτη σύνταξις· † Αὐτόν με προφρόνεως συνοικισθῆναι γαίας ἐσδέξεται μενοῦν.

ιθ', Πότε αἱ ἁπλαῖ εἰς σύνθετον παραλαμβάνονται, καὶ πότε οὔ.

Πρὸς δὲ τοὺς οἰομένους τὴν αὐτὸν συμπαραλαμβάνεσθαι εἰς διαστολὴν γένους, βραχὺς ἀρκέσει λόγος, † ὥσπερ καὶ πρόκειται· ὡς οὐ δέονται αἱ ἀντωνυμίαι τοῦ διαστέλλοντος τὸ γένος, ἢ ὑπὸ δεῖξιν πίπτουσαι, ἢ ὑπὸ ἀναφοράν. τί δὴ ἂν εἴποι τις ἐπὶ τῆς τοιαύτης συντάξεως, οὗτος αὐτὸς, ἐκεῖνος αὐτὸς, ὅδε αὐτὸς, ἐγὼ αὐτός; φαίνεται δὲ καὶ ὅτι καὶ αἱ μὴ ἐπιτεταγμέναι διήρθρωσαν τὸ γένος· καὶ ἄδηλον ἔσται κατὰ τὸ γένος

ἰμεῖ δέ γένος τό, ἐν δή ἕ ἕλετο μέγαν ὅρκον.
περιττὸν ἡγητέον πρὸς εὐήθεις ὑπο-
λήψεις ἐπιπλέον ἀντιλέγειν. Ὀρθο-
τονοῦνται μόνως καὶ ὅσαι ἐν τῷ αὐτῷ
προσώπῳ τὸ ῥῆμα ἔχουσιν· εἴγε ἐν τῷ,
σὲ γὰρ ἄζομαι, τὸ μὲν ἄζομαι ἐν πρώ-
τῳ ἐστὶ προσώπῳ, τὸ δὲ σέ, ἐν δευτέρῳ·
οὐ μὴν ἐν τῷ, σὲ γὰρ αὐτὴν πάντη
εἴσκεις. τὸ γὰρ εἴσκεις, καὶ τὸ σέ, τοῦ αὐτοῦ
προσώπου. ἔστι γε μὴν τὴν προτέ-
ραν σύνταξιν καὶ ἐγκλίνοντα φάναι, ἄ-
ζομαί σε: οὐ μὴν τὴν δευτέραν. ἐδεί-
χθη γὰρ ἐντελέστερον, ὡς ἀδύνατόν
ἐστι τὰς ἀντωνυμίας ἐγκλιθῆναι συν-
εχομένας τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρό-
σωπον· καὶ ἕνεκά γε τούτου μόνως αἱ τῆς
εὐθείας ὀρθοτονοῦνται· ἐπεὶ πάντοτε
συμφέρονται τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ
πρόσωπον. τῶν γε μὴν καὶ ἐν μετα-
βάσει γινομένων ἐφικτὰ τὰ τῆς ἐγκλί-
σεως ἐγίνετο. Οὐ τοῦτο δέ φημι, ὡς
πάντως ἐγκλιθήσονται ἀποστᾶσαι τῶν
ῥημάτων, ἀλλ᾽ ὡς καὶ ἔνεστί ποτε αὐτὰς
ἐγκλίνεσθαι. ὑγιῶς ἄρα πάλιν προσ-
αι D. ελθοῦσαι καὶ πλάγιαι τοῖς ῥήμασι κατὰ
τὸ αὐτὸ πρόσωπον, τὴν ὀρθὴν ἀναδέ-
ξονται· Οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι λε-
λασμένον· Ζωγρεῖτ᾽, αὐτὰρ ἐγὼν ἐμὲ
ἴσ. τά γε λύσομαι. τὰ τῆς τοιαύτης χρήσεως ἀρ-
μὴν χαϊκώτερον παρεφθάρη, μεταγενέστε-
ται τῆς ἀρ- ρον ἐπινοηθείσης τῆς ἀντ᾽ αὐτῶν συνθέτου
χαϊκώ-τερα μεταλήψεως, εἰς ἣν καὶ μεταλαμβάνομεν τὰς προκειμένας συντάξεις.

δή ἕλετο μέγαν ὅρκον, erit incerti generis. Superfluum existimo, stultas opiniones pluribus refutare. Rectum tantummodo tenorem habent etiã ea pronomina, quæ verbo eiusdem personæ iuncta sunt. siquidem in illo, σὲ γὰρ ἄζομαι, verbum ἄζομαι primæ personæ est, σὲ autem secũdæ. Od. ν.
at non in illo, σὲ γὰρ αὐτὴν πάντη εἴσκεις. nam & verbum εἴσκεις, & pronomen σὲ, eiusdem est personæ. Od. ν.
Licet tamẽ in priore constructione pronomen inclinare, sic, ἄζομαί σε: at non ita in posteriore. nã demonstratum est iam absolutius, pronomina non posse inclinari, si verbis in eadem persona iuncta sint: & propterea recti tantummodo pronominum casus rectum habẽt tenorem; quoniam semper sociãtur verbis in eadem persona: inclinari autem posse, si personarum fiat transitio.. Neq; vero illud assero, pronomina omnino inclinari, a verbis dissociata; sed licere interdum ea inclinari. Ergo etiam obliqui, verbis in eadem persona iuncti, rectũ tenorem recte recipient; οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι λελασμένον: &, Il. ν.
Ζωγρεῖτ᾽, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι. Il. κ.
quamquam istiusmodi veterũ vsus a recentioribus corruptus est, repertis pronominibus compositis, quę pro simplicibus sumũtur, & quæ in huiusmodi constructione vicem supplent simplicium.

Vide Eusth. Il. α, 103: & Prisc. 479, D. Hinc fit vt Homerica poesis
vsu compositorum prono-
minũ opus non habeat; quia
simplicium vsum receptum
habet; ἐμέ φημί. neque enim
dubium est quin, si composi-
ta pro simplicibus reperta
sunt, vsus simplicium super-
uacaneus fuerit. hoc enim
esset vitiosum. Sed de his op-
portunius in sequẽtibus dis-
seremus. Sequitur ergo vt
illud, πυκάσασά ἑ αὐτήν, duę sint
partes orationis, tũ propter
rationem quam modo attu-
limus, & quæ firmissima vi-
detur, tũ quia in ceteris obli-
quis hic intellectus minime
Il. ι. dubius est. ἕο enim αὐτοῦ est, &
ἕοι αὐτῷ. itaque in secunda et-
iam persona, quoniã est ap-
positum pronomen, inseruit
Od. ι. particulam γὰρ, σὲ γὰρ αὐτὴν πάν-
τη ἐΐσκεις. Tollitur ergo ambi-
guitas propositorum prono-
minum per apertam apposi-
tionem ceterorum obliquo-
rum. Eadem est ratio in illo,
Il. α. καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ,
vbi synalœphe facta est ex
appositione. integrum enim
erat, ἐμὲ αὐτόν. Simile est & il-
Od. ι. lud, εἰ μή τις σ' αὐτὸν κτείνῃ δόλῳ:
Il. π. & illud, εἰ μὲν δὴ ἕταρόν γε κελεύε-
τέ μ' αὐτὸν ἑλέσθαι. in quibus ex-
emplis pronomina, quam-
quam subiuncta, enclitice ta-
men assumpta sunt. nam si
rectum habuissent tenorem,
incõgruæ orationis speciem
præbuissent. Quate illa, quæ
a nonnullis aspirãtur, temere
Il. ι. aspirãtur; nimirum τὴν αὐτοῦ φι-
Od. λ. λέει: &, αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι

ἔνθένδε γοῦν ἡ Ὁμηρικὴ ποίησις ἀπροσδεής ἐστι τῆς συνθέτου χρήσεως· καθ' ὃ γινώσκει ἡ ποίησις τὸ ἐμὲ φημί. σαφὲς γὰρ ὅτι εἰ αὐτὶ τοῦ τοιούτου ἐπενοήθησαν αἱ σύνθετοι, περισσόν ἐστι συγχρῆσθαι τῇ ἁπλῇ συντάξει. κακία γὰρ τὸ τοιοῦτον. ὥστε εὐκαιρότερον ὑπὲρ τῶν τοιούτων κατὰ τὰ ἑξῆς εἰρήσεται. ἔνθεν δύο μέρη λόγου ἐστὶ τὸ, πυκάσασά ἑ αὐτήν. καὶ κατὰ τὸν προκείμενον λόγον πάνυ ἀκριβέστατον ὄντα, καὶ καθ' ὃ ἐν ταῖς ἄλλαις πλαγίαις τὰ τοῦ μερισμοῦ ἀναμφίλεκτά ἐστιν. ἕο γὰρ αὐτοῦ ἐστι, καὶ ἕοι αὐτῷ· ὁπότε καὶ κατὰ τὸ δεύτερον πρόσωπον, ὡς παραθέσεως οὔσης, ἐνέθηκε τὸν γὰρ σύνδεσμον· σὲ γὰρ αὐτὴν πάντη ἐΐσκεις. προφανῶς οὖν λύεται τὸ ἀμφίβολον τῶν προκειμένων ἀντωνυμιῶν, διὰ τῆς ἀναμφιλέκτου παραθέσεως τῶν ἄλλων πλαγιῶν. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ, μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ. κατὰ γὰρ παράθεσιν τὰ τῆς συναλοιφῆς ἐγένετο, τοῦ πλήρους ὄντος, ἐμὲ αὐτὸν ἐγώ· ὡς ἔχει τὸ, Εἰ μή τις σ' ἢ μάτ. αὐτὸν κλείνῃ δόλῳ· καὶ, Εἰ μὲν δὴ ἑταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέσθαι. ἐφ' ὧν καὶ ἐγκλιτικώτερον παρελήφθησαν αἱ ἀντωνυμίαι, καίπερ ἐπιτεταγμέναι. ὀρθοτονηθεῖσαι γὰρ ὡς ἀκαταλλήλου λόγου ἔμφασιν ἐποιοῦντο. διὸ καὶ μάτην τὰ τοιαῦτα ὑπό τινων προσεπνεύσθη, Τὴν αὐτοῦ φιλέει· Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας

δαμάσατας· μέγα μὲν κλέος αὐτῇ ποιεῖται· καὶ ἄλλα πλεῖστα. ὡς γὰρ ἐν ταῖς προκειμέναις συντάξεσιν ἀπεδείξαμεν ὅτι ἐκ παρεπομένων τῷ λόγῳ ἐλλείπουσαι λέξεις νοοῦνται, τὸν αὐτὸν δὴ τρόπον κἀπὶ τούτων ἔστι παραστῆσαι. συνηθέστερόν πως [ὁ ποιητὴς] ἐλλειπτικός ἐστι τῶν προκειμένων μορίων, ἀρκούμενος διὰ τῆς συντάξεως τοῦ λόγου τὸ λοιπὸν ἐμφανίσαι· αὐτὸς νῦν ἴδε πῶμα. ἡ γὰρ αὐτός, συμφέρεται ταῖς ὀρθοτονουμέναις ἀντωνυμίαις. καὶ τὸ μὲν ἴδε, (δύναται) μὴ ἐλλείπειν· τό γε μὴν αὐτὸς ἴδε, πάντως ἐλλείπει τὸ σύ. ἢ γὰρ οὕτω, ἡ αὐτὸς συμπαραλαμβάνεται) καὶ κατὰ τὸ πρῶτον, καὶ δεύτερον, ἵνα τὰς συνούσας ἀντωνυμίας ὀρθοτονήσῃ. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ, Αὐτὸς ἑκών οἱ δῶκα. πάλιν γὰρ μόνον τὸ ῥῆμα οὐ λείπει· τὸ μέντοι ὅλον, ὡς πάλιν ἐλλειπομένης τῆς [ἐγώ,] Αὐτὸς ἐγώ οἱ δῶκα. οὕτως ἔχει καὶ τό, αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν, αἰτούσης τῆς συντάξεως τό, ἡμῶν αὐτῶν. ἔστιν οὖν ὅμοιον κἀπὶ τῶν προκειμένων τὸ πλῆρες, τὴν ἐμοῦ αὐτοῦ· ὥστε κατὰ πληθυντικὴν σύνταξιν, σφῶν αὐτῶν, καὶ σφέας αὐτούς. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ, Αὐτόν μιν πληγῇσιν· τάχα τὸ μιν δυνάμενος ἀναπληροῦν τὸ λεῖπον τῆς ἀντωνυμίας. προστίθημι τὸ τάχα· ἐπεὶ ἐν ἑτέροις παρέλκουσα εὑρίσκεται· καδδέ μιν αὐτὸν εἰλύσω ψαμάθοισιν· ἠέ μιν αὐτὸν πατρὸς

ὑπακούεται γὰρ δυνάσκαί ως τὸ σύ D. ἰσ. τῷ ἰσ. ἦ, P. ar D. ὡς γ. εἰλύσω L.

δαμάσατας: &, μέγα μὲν κλέος αὐτῇ ποιεῖται, & alia complura. (Od. A.) nam quemadmodum in superioribus constructionibus docuimus, ex iis quæ accidunt orationi, siqua verba desunt, intelligi; ita etiam in his exemplis repetenda est eadem ratio. hoc enim vsitatum est poetæ, vt particulas omittat, de quib. paulo ante egimus: eo nimirum cōtentus, vt per orationis constructionem, quod deest, indicetur; αὐτὸς νῦν ἴδε πῶμα. (Od. Θ.) pronomen enim αὐτὸς apponitur pronominibus, quæ rectū tenorem habent: ac in proposito exēplo verbum ἴδε potest non defici pronomine σύ: sed αὐτὸς ἴδε, deficitur omnino. Eatenus enim αὐτὸς pronomen & in prima, & in secūda assumitur persona, vt pronomina, quibus cum iungitur, recto afficiat tenore. Eadem est istius ratio, Αὐτὸς ἑκών οἱ δῶκα. (Od. Δ.) hic enim rursus verbum non patitur defectum: integra vero oratio, quia pronomen αὐτὸς adest, illa est, ἐγὼ αὐτός οἱ δῶκα. simile est illud etiam, αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν. (Od. A.) constructio enim postulat ἡμῶν αὐτῶν. Ergo non aliter etiam in superioribus exemplis integra est cōstructio, τὴν ἐμοῦ αὐτοῦ, quēadmodū in plurali numero σφῶν αὐτῶν, & σφέας αὐτούς. Eodē modo illud accipiendum est, αὐτόν μιν πληγῇσιν (Od. Δ.) vbi fortasse illud μιν, supplet pronomen quod deficit. addidi fortasse, quoniam alias abundans reperitur: vt καδδέ μιν αὐτὸν εἰλύσω ψαμάθοισιν: (Il. Φ.) & ἠέ μιν αὐτὸν πατρὸς (Od. Δ.)

Od. β. ἐάσατε μυθήσασθαι. In illo tamē μέγα μὲν κλέος αὐτῇ ποιεῖται, nō sequitur necessario, vt pronomen deficiat: quandoquidē verbū ποιεῖται valet idē ac γίνεται: quo significatu dicimus ποιεῖται ἀγορά, æque ac γίνεται ἀγορά. Qđ autem maioris est ponderis, illud est: pronomina composita, cum ab ε incipiūt, videntur esse absolutiora; ἑαυτοῦ ἤκουσεν ὁ δεῖνα, ἑαυτοὺς ὕβρισεν, ἑαυτὸν ἐτίμησεν. Facile igitur hinc potest perspici, si figuræ absolutiores apud poetam numquā reperiūtur, multo minus eas quæ non sunt absolutæ, apud eundem reperiri: siquidē necesse est omnino, vt integrū exsistat prius quam mutilatum. Quare si dictiones ipsæ modo syllabarum indicāt & quod abūdat, & quod deest, non erit coactum si itē quod abundat, & quod deest, indicetur in ea parte quæ creuit conueniēti dictionum concursu. adde, quod iam docuimus, cum de articulis disputabamus. ostendimus enim, rationē obseruando supplere articulos qui desunt orationi. Quare nō erit nouum & inusitatū, si etiam exempla superius prolata huiusmodi careant pronominibus. Ergo si pronomina primæ & secūdæ personæ, si rectū habeant tonum, sumuntur pro composito pronomine in eodem numero, eademque persona, quamquam verbum sit coniunctum; & permanēt item simplicia, quamquam verbū accipiatur in diuersa perso-
Il. α. Il. ω. na, vt illud; ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν, Εἵλετο: &, σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχήν: necesse

ἐάσατε μυθῆσαι. οὐ μήν τι ἀνάγκη ἐπὶ τοῦ, μέγα μὲν κλέος αὐτῇ ποιεῖται, λείπειν τὴν ἀντωνυμίαν, τοῦ ποιεῖται νῦν ἐν ἴσῳ παραλαμβανομένου τῷ γίνεται, καθ' ὅτι καί φαμεν, ποιεῖται ἀγορά, ἐν ἴσῳ τῷ γίνεται. τὸ δὲ μεῖζον, αἱ σύνθετοι δοκοῦσιν ἐντελέστεραι εἶναι, ἀπὸ τοῦ ε ἀρχόμεναι, ἑαυτοῦ ἤκουσεν ὁ δεῖνα, ἑαυτοὺς ὕβρισε, ἑαυτὸν ἐτίμησε. καὶ προφανὲς ὅτι εἰ τὰ ἐντελέστερα τῶν σχημάτων οὔποτε παρ' αὐτῷ εὑρέθη, οὐδὲ τὰ ἀποσυμπεπληρωμένα· εἴγε πάντως πεποιθότος προϋφέστηκε τὸ ὁλόκληρον. εἰ γὰρ οὕτω καὶ αὐταὶ αἱ λέξεις διὰ τῆς τῶν συλλαβῶν συμμετρίας καὶ τὸ πλεονάζον ὑπενδείκνυνται, καὶ τὸ ἐνδέον, οὐ βίαιον κατὰ τὸ ἐξ αὐτοῦ ἐπηυξημένον τῇ συμμεμετρημένῃ τῶν λέξεων συνόδῳ καὶ τὸ πλεονάζον καὶ τὸ λεῖπον δείκνυσθαι. ἐδείξαμεν ὡς καὶ διὰ τῶν ἄρθρων τοῦ λόγου τὸ τήρημα ἀνεπλήρου τὰ λείποντα ἄρθρα. οὐ παρηλλαγμένον οὖν καὶ τὸ λείπειν ταῖς τοιαύταις ἀντωνυμίαις τοὺς προκειμένους λόγους. εἴπερ οὖν αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον ὀρθοτονούμεναι ἀντωνυμίαι εἰς σύνθετον μεταλαμβάνονται συνόντος τοῦ ῥήματος ἰσαρίθμως κατὰ τὸ αὐτὸ πρόσωπον, καὶ μένουσι κατὰ τὴν αὐτὴν ἁπλότητα τοῦ ῥήματος ἐν ἑτέρῳ προσώπῳ νοουμένου, ὡς τὸ, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν Εἵλετο· σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν πᾶσα ἀνάγκη,

γρ. πάντες

γρ. ἐπιδείκνυνται

ἴσ. ἐπὶ

ἴσ. αὐτῶν D.

ἀνάγκη, κἀπὶ τοῦ τρίτου προσώπου ταὐτὸν ἐκχωρεῖν, συνεπισχυούσης καὶ τῆς ἐκ τῶν λεγομένης χρήσεως. Ἔτι κατ' ὀρθὸν τόνον ἀναγνωστέον τὸ, Μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ. τὸ γὰρ ἀμύνειν, ἐν προσώπῳ τῷ τοῦ Ὀδυσσέως νοεῖται, οὐ τῷ τῆς Ἀθηνᾶς ἀπεικασθείσης τῷ Μέντορι. μὴ πεισάτω σε ὁ Ὀδυσσεὺς ἡμῖν μάχεσθαι, αὐτῷ γε μὴν ἀμύνειν· εὐλόγως τῆς ἀντωνυμίας ὀρθοτονηθείσης, πρὸς τὴν ἀντιδιαστολὴν τοῦ ἡμῖν. τὸ γὰρ, (Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεὺς, εἰς σύνθετον μεταλαμβάνεται)· ἐπεὶ τὸ γείνατο ταὐτὸν ἦν πρόσωπον τῷ ἀντωνυμικῷ· ἐγέννησε γὰρ παῖδα οὐδὲ κατ' ὀλίγον ὅμοιον ἑαυτῷ. πρόδηλον γὰρ ὅτι αὐ. ἢ D. οὐδὲ ἁπλῆ μετάληψις ἕτερον πρόσωπον ὑπαγορεύει τοῦ Τυδέως. καὶ τὸ, ζύξοντα D. Πτωχὸν δ' οὐκ ἄν τις καλέοι ζύξαντα ἓ αὐτὸν, μόνως ἀντωνυμίαν ἁπλῆν ὑπαγορεύει. οὐ γὰρ κλητέος πτωχὸς, ἵνα μὴ αὐτὸν τὸν καλέσαντα καταπονήσῃ· εἴγε χρειώδης ἡ ἀναδοχὴ τῶν ἄλλων μετακλήτων, τέκτονος, ἢ ἰατροῦ, ἢ μάντεως. οὕτως ἔχει καὶ τὸ, Ἀλλὰ τόδ', ἢ μὲν ἐμοὶ πολὺ κέρδιον, ἠδὲ οἱ αὐτῷ ἔπλετο· πάνυ ὑγιῶς τῶν ἀντωνυμιῶν τὸν δέοντα τόνον ἀναδεξαμένων, ἕνεκα τῆς παρακολουθούσης πρὸς ἄλληλα διαστολῆς, συνούσης ἔτι καὶ τῆς συμπλοκῆς. κἀπεὶ πάλιν τὸ ἔπλετο κοινὸν κατ' ἀμφοτέρων τῶν ἀντωνυμιῶν παρελαμβάνετο, οὐ δυνάμενον

est omnino etiam in tertia persona idem cōcedere; præsertim adiuuante vsu & scriptorum auctoritate. Illud etiam legendum est cum tenore recto; μνηστήρεσσι μάχεσθαι, Od. χ ἀμυνέμεναι δέ οἱ αὐτῷ. verbū.n. ἀμύνειν refertur ad personam Vlyssis, non Mineruæ, quæ Mentoris effigiē sumpserat: [vt sit,] ne tibi psuadeat Vlysses, vt nos oppugnes, eū adiuues. vbi iure optimo pnomen rectū tenorem retinet, vt statuat discrimen inter pcos & Vlyssem. nā illud, ἦ ὀλίγον Il. δ οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς, sumitur pro cōposito; quoniam verbum γείνατο est eiusdem personæ atque pronomen οἱ: genuit filium nihil similem sibi ipsi. nam illud etiam patet liquido, pronomē simplex sumptum, non indicare diuersam a Tydeo personam. Illud etiam, Πτωχὸν δ' Od. ρ οὐκ ἄν τις καλέοι ζύξαντα ἓ αὐτόν, simplex tantummodo pronomē indicat; [illo nimirum sensu;] nō est vocandus mendicus, ne ei a quo vocatus fuerit, molestus & grauis sit; siquidem alii, qui vsui esse solent, & accersendi & recipiendi sunt; fabri lignarii, vel medici, vel vates. Simile est & illud; Ἀλλὰ τόδ' ἢ μὲν ἐμοὶ πολὺ Il. θ κέρδιον, ἠδὲ οἱ αὐτῷ ἔπλετο in quo pronomina rectissime conuenientem tenorem receperunt, propter insitum discrimen personarū, adiunctis præsertim particulis copulatiuis. & quoniam rursus verbū ἔπλετο assumitur cōmune vtriq; pnomini, neq; potest

in eadem perſona alteri ſociari, vt compoſitum pronomen trãſſumatur, neceſſario cõſeruat pronomina in ſimplici figura: ſiquidẽ verbum iunctum cum cõpoſito pronomine, non poteſt ſociari cum alia perſonã: at verbum ἔπλετο, vt paulo ante dictum eſt, vtrique pronomini commune ſumptum eſt, ac retinet vim & ſignificationem duarum perſonarum extrinſecus petitam: vt ſi quis dicat, *pulchre fuit Tryphoni*. nam ſubaudiendum *ab aliqua circumſtantia*. diximus autem iam, pronomẽ compoſitum intelligi non poſſe, niſi habeat ex ipſis perſonis inſitam ſignificationem. Simile eſt

Ιλι. illud quoque, ὅστις οἵ τ᾽ ἐπέοικεν, ὅστις Ἀγαμέμνονι ἔοικεν. neque enim ratio iam exigit, Agamemnonem ſibi ipſi eſſe ſimilem: ſed ὅστις ad infinitam refertur perſonam, οἱ ad finitam Agamemnonis.

Od. ξ. Τοὺς δ᾽ ἄγαγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ. nam captiui nõ abducuntur vt ſibi ipſis, ſed vt victoribus miniſtrent. Simile eſt &

Od. ρ. illud σφίσι δ᾽ αὖτις δαῖτα πένεσθε. neque enim proci apparant ſibi epulas. Quid igitur eſt quamobrem non a recta ratione abhorrere videatur, ſi illud reiiciamus, quaſi rationi parum conſentaneum;

Ιλ. οἵ τ᾽ αὐτοί· ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη: & plures alios modos, qui commodius quam ſuperiores admitti poſſunt? nam etiam ſi daretur verũ eſſe, pronomina non inclinata omnino pro compoſitis accipi: tamen figura iſtiuſmodi aliquo modo eſſet obſer-

ἑτέρῳ προσχωρῆσαι κατὰ τὸ αὐτὸ πρόσωπον, ἵνα τὸ σύνθετον μεταληφθῇ, ἀναγκαίως συνετήρει τὰς ἀντωνυμίας εἰς ἁπλοῦν σχῆμα· εἴγε τὸ ἐν τῇ συνθέτῳ ἀντωνυμίᾳ ῥῆμα οὐ δύναται ἕτερον πρόσωπον γινώσκειν. ὡς γὰρ προείρηται, τὸ ἔπλετο κοινὸν κατ᾽ ἀμφοτέρων εἴληπται, ἔχον τὴν διάθεσιν ἔξωθεν τῶν δύο προσώπων· ὡς εἴ τις λέγοι, ἐγένετο Τρύφωνι καλῶς, δηλονότι ὑπό τινος περιστάσεως. προείρηται γὰρ, ὅτι εἰ μὴ αἱ διαθέσεις ἐξ αὐτῶν τῶν προσώπων ἐγίνοντο, ἀδύνατον ἐπινοηθῆναι τὴν σύνθετον ἀντωνυμίαν. οὕτως ἔχει καὶ τὸ, ὅστις οἵ τ᾽ ἐπέοικεν, ὅστις Ἀγαμέμνονι ἔοικεν. οὐ γὰρ νῦν ὁ λόγος ἀπαιτεῖ τὸ, τὸν Ἀγαμέμνονα ἑαυτῷ ἐοικέναι, τοῦ ὅστις ἐπὶ τὸ ἀόριστον συντείνοντος, τοῦ τε οἱ ἐπὶ τὸ ὡρισμένον πρόσωπον τοῦ Ἀγαμέμνονος. τοὺς δ᾽ ἄγαγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ. οὐ γὰρ ἄγονται οἱ αἰχμάλωτοι, ἵνα ἑαυτοῖς ὑπηρετῶσι, τοῖς δὲ μὴν ἐπικρατήσασιν. οὕτως ἔχει καὶ τὸ, σφίσι δ᾽ αὖτις δαῖτα πένεσθε. οὐ γὰρ οἱ μνηστῆρες ἑαυτοῖς τὰ πρὸς τὴν δαῖτα εὐτρεπίζουσιν. πῶς οὖν οὐκ ἄλογον παραδιώκειν ὡς ἄλογον τὸ, Οἵ τ᾽ αὐτοί· ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη· τοὺς ἑτέρους πλείονας δυναμένους μᾶλλον κατορθοῦσθαι τῶν προκειμένων. εἰ γὰρ δὴ καὶ τοῦ ἀληθὲς τὸ, πάντως τὰς ὀρθοτονουμένας εἰς σύνθετον μεταλαμβάνεσθαι, εἶχεν ὑπο-

κτ ϛ. πλ. δυναμένου μ. D. ὑπο παραίτησιν D.

παρατή-

παρατήρησιν τὸ σχῆμα, καθότι αἱ ὀφείλουσαι ἅπαξ ἐγκλίνεσθαι, εἰς ἀρχὴν τοῦ λόγου γινόμεναι, εἰς ὀρθὴν τάσιν μεταλαμβάνονται· ὡς ἔχει τό, ἡμέας ὑβρίζοντες· ἐμὲ δ' ἔγνω, καὶ προσέειπεν. ἀλλὰ καὶ συμπέπλεκται τό τε συνερχόμενον ῥῆμα πληθυντικὸν, ἔχον τὴν σύνταξιν τοιαύτην, ἐμοὶ ἐγένοντο, σοὶ ἐγένοντο, οἷ ἐγένοντο. διὸ καὶ ἕνεκα τοῦ τοιούτου, μετατίθεται εἰς τὸ ἔτευξεν, ἵνα ἑνικὸν γενόμενον, συμφωνήσῃ κατὰ τὸ ἑνικὸν τῷ, οἵ τ' αὐτῷ, ἅπασι κακὸν Τρώεσσιν ἔτευξεν, καὶ ἑαυτῷ· ἢ ὡς ὁ Κόμανος ἐν ὑπερβατῷ, τῷ Ἀλεξάνδρῳ ἐτεκτήνατο νῆας, καὶ ἑαυτῷ. αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο· ὡς φυσικῆς τινος ἀκολουθίας νόμον θεμένης, τοῦ αὐτὸς τὴν ὀρθὴν τάσιν ἐν τρίτοις προσώποις συνθέτου ἀντωνυμίας μετάληψιν ὁμολογεῖν. τί γὰρ ἂν ποιήσαιεν ἐπὶ τῶν καλουμένων κτητικῶν ἀντωνυμιῶν, ὧν ἡ θέσις ἀπαράδεκτος ἐγκλιτικῆς τάσεως; ἐφ' ὧν γε δεδείξεται ὡς κατὰ πᾶσαν πτῶσιν μενούσης τῆς αὐτῆς τάσεως, τό τε ἁπλοῦν σχῆμα τῶν ἀντωνυμιῶν ἀπαράδεκτον, † καὶ ἔτι τὸ σύνθετον, τῆς τοῦ ῥήματος συντάξεως πάλιν τὸ τοιοῦτον διαστελλούσης. πῶς οὖν οὐκ ἀπαναγνωσμα τὸ, ἀλλά οἱ αὐτῷ, κατ' ἔγκλισιν ἀναγνωσθὲν, ἀντιδιασταλτικῆς ἐπιφερομένης τῆς, περὶ ἡμῶν; ἀπόχρη εἰς ἐντελῆ διάγνωσιν τὰ προκείμενα ὑποδείγματα.

uanda, quatenus pronomina quę debent omnino inclinari, orationis tamen principio adhibita, acutum sumunt tenorem: vt illud, ἡμέας ὑβρίζοντες: Il. λ. &, ἐμὲ δ' ἔγνω, καὶ προσέειπεν. Od. λ. Huc accedit, quod verbum quod cum istis pronominibus connectitur, plurale est, & habet huiusmodi constructionem; ἐμοὶ ἐγένοντο, σοὶ ἐγένοντο, οἷ ἐγένοντο: atq; eã ob causam refertur ad verbum ἔτευξεν: vt singulare factum, congruat numero cum illo, οἵ τ' αὐτῷ, ἅπασι κακὸν Τρώεσσιν ἔτευξεν, καὶ ἑαυτῷ: vel, vt legit Comanus, τῷ Ἀλεξάνδρῳ ἐτεκτήνατο νῆας, καὶ ἑαυτῷ, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο. vt sit hyperbatum: quasi ordo quidã naturalis hoc sanxerit, vt rectus tenor pronominis αὐτὸς in tertiis personis testetur transsumptionem compositi pronominis. quid enim faciant in pronominibus vocatis possessiuis; quorum positio encliticum tenorem ferre non potest? in quibus fiet planum, quod in quolibet casu, manente eodem tenore, figura simplex pronominũ admitti potest; composita etiam, quia verbi cõstructio genus hoc torum distinguit. Nõ ne igitur perperam legitur illud, ἀλλά οἱ αὐτῷ, Od. δ. enclitice videlicet prolatum; cum sequatur pronomen ἡμῶν, quod habet vim distinguendi? Sed hactenus de iis. satis enim exemplorum attulimus ad absolutã huius rei cognitionem.

20. Diversum tenorẽ non esse causam ut pronomen compositum transsumatur.

Superuacaneũ tamen non est existimãdum, si originem & vsum istum tertiæ personę demonstremus; nimirum, si rectum habeat tenorẽ, compositi vim habere; sin minus, simpliciũ ordinem sequi. nã in primis & secundis personis cõstructio est apertissima, tũ in persona quæ transit in aliam, tũ in ea quę in aliam non transit: vt est illud, σὲ γὰρ ἄζομαι: & σὲ γὰρ αὐτὴν πάντη εἴσκεις: & illud, ἀλλ' ἐμὲ μὲν σὺ σάωσον: & αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι: & alia id genus. sed in tertiis personis difficile admodũ potest percipi. cum enim plurimæ sint tertię personæ, quæ dictione vnica significantur vel verbi, vel etiã pronominis, sequebatur propter insitam eis coincidentiã, vt tam personæ quæ transeũt in alias, tam eæ quæ reciprocationem habẽt, eiusdem dicerentur constructionis; vt pronomẽ ἕο, & eius cognata, in obliquis tertię nimirũ personæ sunt. atqui etiã κήδεται, & omnia eiusmodi verba, tertię pariter personæ sunt; quæ iũcta pronominibus, duas efficiẽt personas tertias, alterãm pronominis, alteram verbi. nam poterit esse duarũ personarum, αὐτοῦ κήδεται, quo demonstratur quis de quo sollicitus sit: & tamen illud etiam potest intelligi, τινὰ ἑαυτοῦ κήδεσθαι, hoc est, vt de seipso aliquis sollicitus sit. atque eius-

Od. ν. · Il. λ. · Il. μ.

κ', Ὅτι οὐ διάφορος τάσις αἰτία γίνεται συνθέτου μεταλήψεως.

Οὐ μὴν περιττὸν ἡγητέον τὸ παραθέσθαι τὸ ἄχρηστον τῆς γινομένης ἀφορμῆς κατὰ τὸ τρίτον, ὡς τὸ μὲν ὀρθοτονούμενον, εἰς τὸ σύνθετον ἐχώρει· τὸ δὲ μὴ οὕτως ἔχον, εἰς ἁπλῆν μετάληψιν. ἡ ἐν τοῖς πρώτοις καὶ δευτέροις προσώποις σύνταξις, περιφανεστάτη ἐστὶν ἔν τε τῷ διαβιβαζομένῳ προσώπῳ ἐφ' ἕτερον, καὶ τῷ μὴ οὕτως ἔχοντι· ὡς ἔχει τὸ, σὲ γὰρ ἄζομαι· σὲ γὰρ αὐτὴν πάντη εἴσκεις· καὶ τὸ, ἀλλ' ἐμὲ μὲν σὺ σάωσον, πρὸς τὸ, ἐμὲ ἰο. τῷ λύσομαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων. ἡ μέντοι κατὰ τὰ τρίτα πρόσωπα σύνταξις, πάνυ πως ἐστὶ δυσπαρακολούθητος. παμπόλλων γὰρ ὄντων τῶν τρίτων, καὶ διὰ μιᾶς λέξεως νοουμένων, λέγω τῆς ῥηματικῆς, ἢ καὶ ἔτι τῆς ἀντωνυμικῆς, παρείπετο διὰ τὴν ὑποῦσαν συνέμπτωσιν, τά τε ἐν μεταβάσει πρόσωπα νοούμενα, καὶ ἔτι τὰ ἐν τῇ αὐτοπαθείᾳ, τῆς αὐτῆς συντάξεως λέγεσθαι. ἡ ἕο ἀντωνυμία, καὶ αἱ σύζυγοι, κατὰ τὰς πλαγίας πρόδηλον ὅτι τρίτου εἰσίν· ἀλλὰ καὶ τὸ κήδεται, καὶ ἅπαντα τὰ τοιαῦτα ῥήματα, ὁμοίως τρίτου προσώπου· ἃ δὴ κατὰ τὴν σύνταξιν τῶν ἀντωνυμιῶν, δύο τρίτα ποιήσει· ἓν μὲν, τὸ ἐκ τοῦ ἀντωνυμικοῦ προσώπου, ἕτερον δὲ, ἐκ τοῦ ῥήματος. ἴχεται δ

μνήσκεται γὰρ ἕο κήδεται, ἐν δυσὶ προσώποις αὐτοῦ κήδεται, δι' οὗ ἐμφανίζομεν τί; τίνος κήδεται· ἀλλὰ κἀκεῖνο ἐνδεκτόν ἐστι τὸ, τινὰ ἑαυτοῦ κήδεσθαι, καὶ [illegible] δῆλον

δῆλον ὅτι οὐ δι' ἄλλων πάλιν συντάξεως τὸ τοιοῦτον εἰρήσεται, ἢ τῆς αὐτῆς. πάλιν γὰρ εἰρήσεται τό, ἕο κήδετο. ἔνθεν οὖν δυσέφικτον ἐγίνετο διαγνῶναι πότερον τίς τινος κήδεται, ἢ οὐ τινος μέν, ἑαυτοῦ δέ. φέρε γὰρ τὸν Εὔμαιον ἑαυτοῦ κήδεσθαι· τί ἂν γένοιτο ἄλλο, ἢ τό, ἐπεὶ ἕο κήδετο λίην; ἢ τοῦ Ὀδυσσέως, καὶ πάλιν προσεχώρει τό, ἐπεὶ ἕο κήδετο λίην. πρὸς τὸ τοιοῦτον οὖν διερεπίζοντο αἵ τε ὀρθοτονούμεναι εἰς τὸ ἀμετάβατον τοῦ προσώπου, λέγω εἰς τὸ σύνθετον· αἵ τε ἐγκλινόμεναι εἰς τὸ ἁπλοῦν, τουτέστι τὸ διαβιβαζόμενον εἰς ἕτερον πρόσωπον. καὶ τὸ μὲν πιθανὸν τοῦ λόγου τοιοῦτον ἦν. χρὴ μέντοι τοὺς νῦν ἐπερείσαντας, μὴ διὰ τοῦ τόνου διδάσκεσθαι, διὰ δὲ τοῦ παρεπομένου λόγου· καθάπερ καὶ ἐπ' ἄλλων ἀπείρων ἀμφιβόλων διακρίσεις παρέχονται ἐκ τῶν ἐπακολουθούντων τοῖς λόγοις, οὐκ ἐξ ἐγκλίσεων, οὐδὲ ἐξ ὀρθῶν τάσεων. καθάπερ οὖν εἴπομεν ὅτι, εἰ καὶ δοίης ἐν τῇ συνούσῃ τάσει διάκρισιν τῶν ἁπλῶν καὶ συνθέτων· ἀνάγκη πάντως ὑποστρέψαι εἰς ὃν παρεκτιθέμεθα λόγον. αἱ γὰρ κτητικαὶ τῶν ἀντωνυμιῶν, τῷ νῷ οὐ διοριζόμεναι, τὸ διττὸν τῆς μεταλήψεως ἔχουσιν· οὔνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος· πάρ τε κασιγνήτῳ Θρασυμήδει, καὶ πατέρι ᾧ. δῆλον γὰρ ὡς τῷ ἑαυτοῦ κατὰ σύνθετον προφοράν, καὶ οὐδαμόσε ἐνδιαλλαγὴ τοῦ τόνου διέστειλε τὸ σημαινόμενον διάφορον. τὸ μέντοι ἀκόλουθον τοῦ λόγου, ᾧ χρὴ ὁμοίως

ἴσχει. D.

προεκτιθέμεθα D.

κατὰ συμβαῖνον: D. σημαινόμενον

modi oratio non cõstabit nimirum constructione diuersorum verborum, sed eorundem: rursus enim erit ἕο κήδετο. vnde fit vt difficile dignosci possit quis de quo sit sollicitus, de alio, an de seipso. faciamus enim Eumæum de seipso esse sollicitum: quæ alia erit oratio quam illa, ἐπεὶ ἕο κήδετο λίην? Faciamus etiam eundem de Vlysse sollicitũ esse: eadem rursus quadrabit oratio. Vt igitur eiusmodi ambiguitas tolleretur, quæsitæ sunt voces rectum tenorem habentes, quæ notarent personæ reciprocationem, compositi pronominis significatione: contra vero inclinatæ, quæ vim haberent simpliciũ, hoc est eorum quæ in aliam personam transeunt. Atque ista ratio probabilis illa quidem est: verumtamẽ oportet nos attentius animum aduertentes, non tenore tantum, sed oratione consequẽti hoc dignoscere. nam aliæ quoque ambiguitates innumerabiles non tenore, aut inclinatione, sed oratione consequenti distinguuntur. Ergo (sicuti diximus) etiam si cõcedas distinctionem simplicium & compositorum pronominũ positam esse in tenore, quem vox habet: tamẽ necesse omnino est redire ad eam rationem quam exposuimus. pronomina enim possessiua, quamquam sensu non distinguuntur, tamen habẽt duplex hoc genus transsumptionis; Οὔνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος: Od. ξ. & Od. γ. & Πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ, καὶ πατέρι ᾧ. Od. γ. significant enim suo composito prolatu neque vspiam tenoris immutatio distinguit diuersam significationem: consequens tamen oratio distinguit: ea igitur nobis æque obseruanda. Od. ξ. Prisc. 488.

& idē in propositis pronominibus efficiendum: neq; sunt perturbādæ sententiæ, ꝑpter tenorum immutationē, aut reprehendēdæ constructiones poetarū, propterea quod oratio non respondeat obseruationi propositæ. Cōsequens est, vt ad constructionem pronominum possessiuorum veniamus.

21. *Pronomina possessiua vnico tenore pro simplicib. & composito accipi.*

Pronomina possessiua, duas personas repræsentant; nimirum possessoris, & rei possessæ. Recte igitur locum habebūt etiam in duabus constructionibus. siquidem eorum primitiua, quamquam vnicam habeant personam, duas constructiones recipiunt; sicuti supra demonstratum est. ac verba, quæ iungūtur cū possessiuis pronominibus, sunt aut ex persona rei possessæ, aut ex persona possessoris, aut ex istarū neutra, sed ex alia extrinsecus assumpta. Exemplum prioris est; ὁ ἐμὸς ἵππος τρέχει, ὁ ἐμὸς ἀγρὸς εὐφορεῖ. Eadem est ratio in secunda & tertia persona: atque istiusmodi constructio in recto casu plane est; quoniam verba cum obliquis numquā sociantur in eadem persona, cum rectis semper. Exemplū secundi; τὸν ἐμὸν ἀγρὸν ἔσκαψα, τὸν ἐμὸν φίλον ἔπεισα, τὸν σὸν υἱὸν ἐπαίδευσα. Exemplum tertii; τὸν ἐμὸν υἱὸν ἐδίδαξε, τὸν σὸν φίλον ἔπεισεν. Hic enim pater huiusmodi constructionem ad aliam

προσανέχοντας καὶ ἐπὶ τῶν προσκειμένων ἀντωνυμιῶν ταὐτὸν ἀποτελεῖν, καὶ μὴ παρὰ τὰς τῶν τόνων ἐνδείας ἐπιταράσσειν [καὶ] τὰς διανοίας, ἢ καὶ καταμέμφεσθαι τὰς ποιητικὰς συντάξεις, ὅτι μὴ τῇ προσκειμένῃ (τηρήσει ὑποδυτήσει) τὰ τοῦ λόγου. Ἀκολούθως ἰτέον καὶ ἐπὶ τὴν κτητικὴν σύνταξιν τῶν ἀντωνυμιῶν.

προσέχοντας

ἤγουν τῇ ἐνδείᾳ τῶν τόνων

κα΄. Ὅτι αἱ κτητικαὶ μονοτονοῦσαι, καὶ εἰς ἁπλᾶς, καὶ εἰς σύνθετον μεταλαμβάνονται.

Αἱ κτητικαὶ ἀντωνυμίαι, δύο πρόσωπα παριστᾶσαι, λέγω τό τε τοῦ κτήματος, καὶ τοῦ κτήτορος, δεόντως καὶ ἐν συντάξεσί τισι καταλληλήσονται· εἴγε αἱ τούτων πρωτότυποι, μονοπρόσωποι οὖσαι, δύο συντάξεις ἀνεδέξαντο, καθὼς ἀπεδείχθη τὰ τοῦ λόγου ἔχειν τῇδε· τὰ ῥήματα συνόντα ταῖς κτητικαῖς ἀντωνυμίαις, ἤτοι ἐκ τοῦ προσώπου ἐστὶ τοῦ ἀπὸ τῆς κτήσεως πεπλωκότος, ἢ ἐκ τοῦ κτησαμένου, ἢ ἐξ οὐδετέρου μὲν τούτων, ὑπ' ἄλλου δ' ἐστὶν ἔξωθεν παραλαμβανομένου. καὶ ἔστι μὲν τοῦ πρώτου, ὁ ἐμὸς ἵππος τρέχει, ὁ ἐμὸς ἀγρὸς εὐφορεῖ. ὁ αὐτὸς λόγος κἀπὶ δευτέρου καὶ τρίτου. ἡ τοιαύτη σύνταξις, πάντως ἐν ὀρθῇ πτώσει ἐστὶ, καθ' ὃ τὰ ῥήματα πλαγίαις μὲν οὐ συντάσσονται κατὰ τὸ αὐτὸ πρόσωπον, ὀρθαῖς δὲ ἀπολύτως. τοῦ δὲ δευτέρου, τὸν ἐμὸν ἀγρὸν ἔσκαψα, τὸν ἐμὸν φίλον ἔπεισα, τὸν σὸν υἱὸν ἐπαίδευσα. τοῦ δὲ τρίτου, τὸν ἐμὸν υἱὸν ἐδίδαξε, τὸν σὸν φίλον ἔπεισε. πρόδηλον γὰρ ὅτι ἡ τοιαύτη σύνταξις ἐκτός ἐστι τῶν δύο προ-

ἔχοντος τοῦ λόγου τῇδε D.

δύο προσώπων, τῶν ἐν ταῖς κτητικαῖς ἀντωνυμίαις νοουμένων. καὶ εἰσὶ πάντοτε ἐν πλαγίαις πτώσεσιν αἱ τοιαῦται συντάξεις, καθ' ὃ τὸ ῥῆμα ἐν ἑτέραις εὐθείαις νοεῖται· ἐχθρὸν ἐμὸν ἐλύπησας, τουτέστι σύ· ἤ τις ἄλλος τῶν δυναμένων κατὰ τὸ τρίτον παραλαμβάνεσθαι, ἐχθρὸν ἐμὸν ἐλύπησε Τρύφων. ἡ δὲ πρὸς τὸ κτῆμα συντρέχουσα διάθεσις, ἐάν τε κατ' ἐνεργητικὴν ἢ ἐκφοράν, ἐάν τε κατὰ παθητικήν, μόνως ἀναλύεται εἰς ἁπλῆν ἀντωνυμίαν· ὡς ἔχει τὰ τοιαῦτα, ἐμὸς διαλέγεται φίλος, σὸς ὑβρίζεται δοῦλος· ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν· (ἔστι γάρ, ὅτε ὁ αὐτοῦ με δόμος ἐκάλυψεν, ἐκεῖσε νοστήσαντα) σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεός· (ὁ ἀδελφός σου ἐξέφυγεν) ἐμὸς δέ κε καὶ παῖς εἴης· πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης. ὁ αὐτὸς λόγος κἀπὶ τῶν ὁμοίων. Οὐκ ἀπεμφαῖνον μέντοι ἐστὶ καὶ τὸ συντασσόμενον ῥῆμα ἐπὶ τὸν κτήτορα συντείνειν, εἰ σημαίνει ὕπαρξιν. εἰ γὰρ ἄλλο τι, τὰ τοῦ λόγου ἀκατάλληλα ἂν γένοιτο. οἷόν τε γὰρ ἔσται φάναι, ἐμός εἰμι οἰκέτης· ὃ πάντως μεταληφθήσεται εἰς σύνθετον, ὅτε φαμὲν οὕτως, ἐμαυτοῦ εἰμι οἰκέτης. ἀσύστατον δὲ τὸ τοιοῦτον, ἐμὸς θεράπων γράφω. δέον γὰρ γράφει· εἴγε πρὸς τὴν ὑπακουομένην τρίτου προσώπου εὐθεῖαν συντρέχει τὸ ῥῆμα· ἢ εἰ παρ' ἐν δευτέρῳ, γένοιτο πάντως καὶ μετὰ τῆς ὑπαρκτικῆς μετοχῆς, ἐμὸς ὢν θεράπων

personam pertinere, quã ad duas illas quæ in possessiuis pronominibus intelligũtur. atq; istiusmodi constructiones, sunt semper in obliquis casibus; quoniã verbum intelligitur in rectis, qui sunt diuersi: ἐχθρὸν ἐμὸν ἐλύπησας, tu videlicet: vel alius quispiam eorum qui possunt accipi in tertia persona; ἐχθρὸν ἐμὸν ἐλύπησε Τρύφων. Verbi autem significatio, quæ ad rem possessam refertur, siue vocem habeat actiuam, siue passiuã, ad pronomen simplex tantũ fertur. Exempla sunt huiusmodi; ἐμὸς διαλέγεται φίλος: σὸς ὑβρίζεται δοῦλος: ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν. significat enim, cũ eius domus me illuc reuersum texit: σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεός, ὁ ἀδελφός σου ἐξέφυγεν: ἐμὸς δέ κε καὶ παῖς εἴης: πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης. Eadem est ratio in aliis similibus. Haud tamen fuerit absurdũ, si verbum iunctum etiam ad possessorem referatur; modo significet essentiam. nã si quid aliud significet, oratio fuerit incongrua. licebit enim dicere, ἐμός εἰμι οἰκέτης: id quod omnino migrabit in compositum, cum dixerimus ita, ἐμαυτοῦ εἰμι οἰκέτης. Illud autem constare nullo modo potest, ἐμὸς θεράπων γράφω. est enim dicendum γράφει. siquidẽ verbum concurrit ad tertiæ personæ rectum casum subauditum. quod si ad secundæ personæ, etiam sic licebit, interposito verbi substantiui participio; ἐμὸς ὢν θεράπων

Od. δ.
Od. δ.
Il. ι.
Od. β.

βέχλς. Hinc eſt intelligendum, quodlibet verbū, quod proficiſcatur a poſſeſſore, agente inquam in rem poſſeſſam, admittere omnino cōpoſitum pro ſimplici, ſi qua intercedat diſcretio; τὸν ἐμὸν υἱὸν διδάσκω: τὸν σὸν υἱὸν ἐπαίδευσας. idque perneceſſario. verbum enim non amplius a recto caſu finali pendet, ſed tranſit ad perſonam pronominis. Poſitum autem fuit ſuperius, ſi verbum conſtruatur in eadem perſona cum obliquo caſu, id cōpoſitum pro ſimplici pronomen exigere omnino; vt illud, ἐμέ φημι, & alia id genus. Demonſtratum præterea eſt. pronomina poſſeſſiua ſolius genitiui eſſe caſus, ad quem etiam migrant: & ſunt quaſi caſus inclinati rerum perſonarumve poſſeſſarum, quæ ſubaudiuntur. poteſtate enim qui ſic loquitur, τὸν ἐμὸν δοῦλον ἔπαισα, nihil aliud dicit quam, τὸν δοῦλον μου ἔπαισα, qđ erit τοῦ ἐμαυτοῦ. Vnde fit vt, cum huiuſmodi pronomina reſoluuntur, ſi habeant perſonam abſolutā, in pronomen ſimplex inclinatū tranſeant: ſin opus ſit diſcretione, omnino in compoſitum. Eaq; de cauſa compoſita tantummodo rectum habent tenorem. habet enim ſuum vſum diſcretio, quam afferūt compoſita. Quare cū dici poſſet, πρὸς ταῖς ἐμαῖς θύραις ἕστηκα ἐγώ, & pro poſſeſſiuo ꝓnomine ſumi * ſimplex, πρὸς ταῖς θύραις μου ἕστηκα: tamen Menander dixit etiam, πρὸς ταῖς ἐμαυτοῦ θύραις ἕστηκα: & neceſſario admodum, ſumens compo-

βέχλς. Εἰ ἐνθένδε οὖν δεῖ νοεῖν, ὡς πᾶν ῥῆμα ἐκ τοῦ κτήτορος γινόμενον, λέγω κατὰ διάθεσιν τὴν πρὸς τὸ κτῆμα, πάντως σύνθετον μετάληψιν ποιεῖται, εἰ ἐγγίνοιτό τις διαστολή, τὸν ἐμὸν υἱὸν διδάσκω, τὸν σὸν υἱὸν ἐπαίδευσας. πάνυ ἀναγκαίως. οὐ γὰρ ἔτι τὸ ῥῆμα ἐκ τῆς κατὰ τὸ τέλος εὐθείας συνείλεκτο, μετέβη δὲ ἐπὶ τὸ αὐτωνυμικὸν πρόσωπον. [συνείχετο, μετῆλθε Soph.] προέκειται δὲ ὅτι, ἐὰν ῥῆμα κατὰ τὸ αὐτὸ πρόσωπον συναντᾶται πλαγίᾳ ἀντωνυμίᾳ, πάντως σύνθετον μετάληψιν ἀπαιτεῖ, ὡς τὸ, ἐμέ φημι, καὶ τὰ ὅμοια. ἀλλὰ μὴν καὶ δέδεικται, ὡς αἱ κτητικαὶ ἀντωνυμίαι μόνης γενικῆς εἰσι πτώσεως, [μόνως D.] εἰς ἣν καὶ μεταλαμβάνονται, καὶ ὡσεὶ αἱ ἐγκλινόμεναι πτώσεις [ὡς αἱ ▪] τῶν ὑπακουομένων κτημάτων εἰσί. † δυνάμει γὰρ ὁ λέγων οὕτως, τὸν ἐμὸν δοῦλον ἔπαισα· ὅπερ οὐκ ἄλλο τι γενήσεται ἢ τοῦ ἐμαυτοῦ. ἔνθεν τὰ τῆς ἀναλύσεως, εἰ μὲν ἐν ἀπολύτῳ εἴη προσώπῳ, εἰς ἐγκλινομένην μεταλαμβάνεται ἁπλῆν ἀντωνυμίαν· εἰ δὲ δέοιτο ἀντιδιαστολῆς, πάντως εἰς σύνθετον. διὸ καὶ μόνως αἱ σύνθετοι ὀρθοτονούμεναί εἰσι. χρειώδης γὰρ ἡ ἐξ αὐτῶν διαστολή. παρὸν οὖν φάναι, πρὸς ταῖς ἐμαῖς θύραις ἕστηκα, καὶ μεταλαβεῖν, πρὸς ταῖς θύραις μου ἕστηκα, ἀλλὰ καὶ πρὸς ταῖς ἐμαυτοῦ θύραις ἕστηκα ἐγώ, καὶ πάνυ ἀναγκαίως τοῦ Μενάνδρου τὸ σύν-

θετον

θετον παραλαβόντος, συμφερομένην ὀρθοτονουμένῃ τῇ, ἕστηκα ἐγώ. ἔμφασιν γὰρ ἔχει, ὡς οὐ πρὸς ταῖς ἄλλου. προφανῶς κἀπὶ τοῦ τρίτου προσώπου διὰ τῆς συντάξεως συντείνει, αὐτὸ μόνον ἐπιστάσεως τῆς αὐτῆς παρακολουθούσης, ἧς καὶ ἐν τοῖς προκειμένοις ἔφαμεν [δεῖν] μεμνῆσθαι. ἢ ἐν τῷ αὐτῷ (αὐτοῦ) προσώπῳ ἐστὶ τὰ τῆς διαθέσεως, καὶ τὰ τοῦ ἀντωνυμικοῦ προσώπου· ἢ (αἱ D.) ἐν ἑτέρῳ προσώπῳ καταγίνεται ἡ ἐκ τῶν ῥημάτων διάθεσις· ἐπεὶ ὁμοίως πάλιν διὰ μιᾶς φωνῆς πλείονα ὄντα τὰ πρόσωπα νοεῖται· ὡς ἔχει τὰ τοιαῦτα, Ὃν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν, κάλλεος εἵνεκα οἷο. ἔστι γὰρ, ἕνεκα τοῦ αὐτοῦ κάλλους· καθ' ὃ τὸ ἀνηρείψαντο συντείνει ἐπὶ τὴν εὐθεῖαν τοῦ θεοὶ, ἀνήρπασαν οἱ θεοὶ Γανυμήδην, τοῦ αὐτοῦ ἕνεκα κάλλους. εἰ δὲ οὖν μεταληφθείη ἡ αἰτιατικὴ τοῦ Γανυμήδην εἰς εὐθεῖαν, εἰς ἣν καὶ προσχωρήσει τὸ ῥῆμα, πάντως καὶ ἡ μετάληψις σύνθετος γενήσεται, ἡρπάγη ὁ Γανυμήδης ἕνεκα τοῦ ἑαυτοῦ κάλλους. καθὸ ἐστὶ καὶ ἐπὶ τοῦ, Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν Οἷο κασιγνήτοιο Λυκάονος· δηλαδὴ ὁ Ἀλέξανδρος. κἀπεὶ ἐξ αὐτοῦ τὰ τῆς διαθέσεως, κτῆμα δὲ ἔχει τὸν ἀδελφὸν, τὸ, οἷο κασιγνήτοιο, εἰς τὸ ἑαυτοῦ μεταληφθήσεται. ἔτι τὸ, ἔν τέ μιν ὤλεσεν ἀλκὴ, τὴν τοῦ ῥήματος διάθεσιν ἔχει ἐκ τοῦ κτήματος. ἐφ' ἧς πάλιν συντάξεως ἁπλῆ μετάληψις γενήσεται, ἡ αὐτοῦ ἀλκὴ αὐτὸν ἀπώλεσεν.

situm pronomē, quod idem valet atque simplex cum recto tenore; ἕστηκα ἐγώ: & habet significationem, se stare ad suas, nō ad alterius fores. Hęc eadē constructio aperte quadrat in tertia persona: illa tantum dubitatio eam sequitur; cuius dubitationis etiā in superioribus diximus meminisse oportere. nam verbi significatio, & persona pronominis, aut est in eadem persona, aut in diuersa est verbi significatio: quoniam æque rursus vnica voce plures personę intelliguntur; vt sunt illa, Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν, Κάλλεος εἵνεκα οἷο: (Il. υ.) quod est ἕνεκα τοῦ αὐτοῦ κάλλους: quoniam verbum ἀνηρείψαντο refertur ad rectum casum θεοὶ, οἱ θεοὶ ἀνήρπασαν τὸν Γανυμήδην, τοῦ αὐτοῦ ἕνεκα κάλλους. quod si accusatiuus Γανυμήδην transeat in nominatiuum, & verbum cum eo casu consentiat, trāssumptio fiet omnino composita; ἡρπάγη ὁ Γανυμήδης ἕνεκα τοῦ ἑαυτοῦ κάλλους. Eadem ratio est in illo loco, Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν Οἷο κασιγνήτοιο Λυκάονος: (Il. γ.) Alexander videlicet: & quoniam is agit, habet autem fratrem, illud οἷο κασιγνήτοιο, poterit sumi pro ἑαυτοῦ. Præterea illud, ἔν τέ μιν ὤλεσεν ἀλκὴ, habet significationem verbi ex re possessa. in ea rursus constructione, simplicis pronominis fiet trāssumptio, ἡ αὐτοῦ ἀλκὴ αὐτὸν ἀπώλεσεν.

quod si is qui loquitur, verbi significationem transsumat ad rem possessam τὴν ἀλκήν, fiet compositi trāssumptio, videlicet τὴν ἑαυτοῦ. at si sit alia quædam persona, ad quam verbum referatur; vt si quis dicat de Hercule, qui leonem superauit, ἑὴν ἀλκὴν ὤλεσεν: erit rursus pronomē simplex, τὴν ἀλκὴν ὤλεσεν αὐτῆς τοῦ
Od. δ. λέοντος. Præterea illud, Νέστωρ φάσχ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο, οἷσιν ἐνὶ μεγάροισιν; habet duo verba, quæ possunt construi cum illo οἷσιν ἐνὶ μεγάροισιν. quorum verborum si singulare construatur cum Nestore possessore ædium, oratio exiget compositum pronomen, ἔφασκεν ὁ Νέστωρ ἐν τοῖς ἑαυτοῦ μεγάροις. quod si verbum ἐπιμνησαίμεθα primo loco positum, cum altero iungatur nominatiuo, & is qui loquitur, personā Nestoris comprehendat; necesse est transsumptionē fieri in simplex, ὅτ' ἐπιμνησαίμεθα σεῖο οἷσιν ἐνὶ μεγάροισιν, hoc est ἐν τοῖς αὐτοῦ. Ho-
Il. π. rum simile est & illud, τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν ᾗ κεφαλῇ φορέειν. tria hic sunt subiecta; Iupiter, qui fecit potestatem Hectori, vt suo capite gestaret galeam. si igitur datiuus Hectoris subducatur, erit possessor Iupiter capitis; ὁ Ζεὺς ἔδωκεν ᾗ κεφαλῇ φορεῖν, quod erit τῇ ἑαυτοῦ. Illud etiam
Il. θ. vocatur in ambiguum; Ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμονι πολεμίζειν Θαρσεῖ ᾧ. nam ira potest

† εἰ γοῦν ὁ λέγων τὰ τῆς διαθέσεως μεταλάβοι, ὡς ἐπὶ τὸ κτῆμα, τὴν ἀλκήν, [γένοιτο ἄν, ἑὴν ὤλεσεν ἀλκήν,] τουτέστι τὴν ἑαυτοῦ. εἰ δὲ γένοιτο, ἄλλό τι πρόσωπον τὸ ῥῆμα ἀναδέξασθαι· ὡς εἴ τις ἐφ' Ἡρακλέους φαίη καταγωνισαμένου τὸν λέοντα, ἑὴν ἀλκὴν ὤλεσεν, ἔσται ἁπλῆ πάλιν ἡ ἀντωνυμία, τὴν ἀλκὴν ὤλεσεν αὐτοῦ τοῦ λέοντος. ἔτι τὸ, Νέστωρ φάσκ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο Οἷσιν ἐνὶ μεγάροισιν, ἔχει δύο ῥήματα δυνάμενα συντάσσεσθαι τῷ, οἷσιν ἐνὶ μεγάροισιν· ἐξ ὧν εἰ τὸ ἑνικὸν πρὸς ἕνα τὸν Νέστορα καὶ κτήτορα τῶν οἰκημάτων συνταγείη, τὰ τοῦ λόγου σύνθετον ἀπαιτήσειεν τὴν ἀντωνυμίαν, ἔφασκεν ἐν τοῖς ἑαυτοῦ. εἰ δὲ τὸ ἐπιμνησαίμεθα ἐν πρώτῳ καταλεγόμενον, ἐν ἑτέρᾳ εὐθείᾳ γένοιτο τοῦ λέγοντος κατὰ σύλληψιν τὴν τοῦ Νέστορος, ἀδύνατον τὰ τῆς μεταλήψεως μὴ οὐκ εἰς ἁπλῆν χωρῆσαι, ὅτ' ἐπιμνησαίμεθα σεῖο οἷσιν ἐνὶ μεγάροισιν, τουτέστιν ἐν τοῖς αὐτοῦ. οὕτως ἔχει καὶ ἐπὶ τοῦ, τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν ᾗ κεφαλῇ φορέειν. τρία γὰρ ὑποκείμενα νοεῖται· ὁ Ζεὺς, ὃς μετέδωκεν Ἕκτορι ὥστε τῇ αὐτοῦ κεφαλῇ φορεῖν. εἰ γοῦν ἡ δοτικὴ ὑποσταλείη τοῦ Ἕκτορος, γένοιτ' ἂν κτήτωρ ὁ Ζεὺς, ὡς πρὸς τὴν κεφαλήν, ὁ Ζεὺς ἔδωκεν ᾗ κεφαλῇ φορεῖν· ὃ γένοιτο τῇ ἑαυτοῦ. Ἀμφιβάλλεται γε μὴν καὶ τὸ, Ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμονι πολεμίζειν Θαρσεῖ ᾧ. δύναται γὰρ θάρσος

λίαν Soph.

ἴσ. ἑαυτ.

θάρσος ἔχειν ὁ θυμός (ὥστε εἶναι), ἐπῆρσέ με ὁ θυμὸς τῇ ἰδίᾳ δυνάμει, τουτέστι τῷ ἑαυτοῦ θάρσει, πολεμεῖν τῷ προκαλεσαμένῳ. ὃ καὶ μᾶλλον ἐπιδέχεται ἡ διάνοια· ὡσεὶ καὶ οὕτως τις λέγοι, ἰδίῳ λόγῳ ἐπῆρσέ με Τρύφων διαλέγεσθαι Ἀπολλωνίῳ. ἢ καὶ κατὰ τρίτου, ἐπῆρσέ με ὁ θυμὸς τῷ θάρσει τῷ ἐκείνου πολεμεῖν. καὶ πάλιν χρὴ νοεῖν, ὡς τὸ ῥῆμα οὐκέτι ἐγινόμενον ἐν τῷ αὐτωνυμικῷ προσώπῳ, ἀναγκαίαν μετάληψιν ἐποίει τὴν εἰς τὸ αὐτοῦ· αὐτοῦ γὰρ ὁ θυμὸς ἀνῆκε· καὶ οὐκέτι αὐτοῦ κτῆμα ἐγένετο τὸ θάρσος, ἀλλὰ τοῦ προκαλεσαμένου. †Πάμπολλος ἡ εἰς τὸ τοιοῦτον παράθεσις· ἣν τινες ἐπιπλέον παρέτειναν, αὐτὸ μόνον τὴν χρῆσιν παρατιθέμενοι τῆς μεταλήψεως, οὐ τὸν ἐμμεθόδως ἀποδειχθέντα λόγον, ὅνπερ ἡμεῖς παρεθέμεθα, πείσαντες ὡς διὰ τῆς συνόδου τοῦ ῥήματος, τὸ ἀμφιβαλλόμενον τῆς μεταλήψεως ἀδιστάκτως καθίσταται. Παραπεμπτέον οὖν τὰς τοιαύτας ἀποδόσεις, †αἴτει δ᾽ ἰὼν ἑὸν ἄγγελον. νῦν γάρ φησιν οὐκ αὐτωνυμικῶς κεῖσθαι τὸ ἑόν, ἀλλ᾽ ἐπιθετικῶς, σημαῖνον τὸ ἀγαθόν· ἢ καὶ ἐν μεταγραφῇ [τὸν] ταχὺν ἄγγελον· ὡς πάντως τῆς αὐτωνυμίας σύνθετον μετάληψιν ἀπαιτούσης. ἐπ᾽ ἐκείνου δὲ εὐπαράδεκτα τὰ τῆς αὐτωνυμίας φασίν, εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον, ἀντὶ τοῦ, τὸν ἑαυτοῦ. ἣν δὲ κἀκεῖνο αὐτωνυμικῶς παραδέξασθαι ὁμοίως

habere audaciam; vt sit, ira me *sua vi* induxit (quod est *sua audacia*) pugnare cum eo qui prouocauerat: id quod potius admittit sensus: perinde ac si quis diceret, Trypho me sua oratione induxit vt cum Apollonio dissererem. aut etiá in tertia persona, ἐπεισέ με ὁ θυμὸς τῷ ἐκείνου θάρσει πολεμεῖν, hic rursus est intelligendum, verbum facere transsumptionem necessario in pronomen simplex αὐτοῦ: nisi sit iũctum cum persona pronominis, αὐτοῦ γὰρ ὁ θυμὸς ἀνῆκεν: atq; ita τὸ θάρσος non erit res possessa ipsius, sed eius qui prouocauit.
Plurima huius rei exempla possem afferre; quæ nonnulli copiosius eatenus persecuti sunt, vt tãtummodo vsum transsumptionis ostenderẽt, non etiam afferrent rationem, quæ a me certa via demonstrata est: quam quidem rationem nos attulimus, docuimusque structuram verbi, trãssumptionis ambiguitatem indubitãter tollere.
Reiiciendæ sunt igitur huiusmodi expositiones, †αἴτει δ᾽ ἰὼν ἑὸν ἄγγελον. Il. ω. nunc enim (dicunt) vox illa ἑόν, non est pronomen, sed nomen adiectiuum, significans ἀγαθόν. aut mutata scriptura legendum est ταχὺν ἄγγελον. pronomen enim omnino exigere compositi transsumptionem. at in carmine quod sequitur, pronomen admitti posse aiunt; Εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον, id est, τὸν ἑαυτοῦ. poterat tamen illud quoque superius accipi

vt pronomen, perinde atque superiora, & transire in positionem simplicem; quoniam verbum refertur ad Priamũ; αἴτει τὸν αὐτοῦ ἄγγελον. Illud etiam Pindaricum, quod est ἐν Ἰσθμιονίκαις, exhibuit negotiũ iis qui commẽtarios in illum poetam ediderunt: Αἰολίδαν δὲ Σίσυφον κέκλοντο ᾧ παιδὶ τηλέφαντον ὦρσαι γέρας φθιμένῳ Μελικέρτᾳ. Sumẽtes enim pronomen ᾧ pro composito ἑαυτῷ, dubitant, cur dixerit Poeta Ἀθαμαντίδαν, & Sisyphi mentionem fecerit. nonnulli accipiunt illud ᾧ pro aduerbio; atque ita putant se exemisse scrupulum, tenorem includendo, ᾧ παιδί, ad similitudinem illius, ᾧτε χερνᾶτις γυνά. alii transsumunt in οἱ, κέλοντό οἱ: vt sit datiuus pro genitiuo Ἰνοῦς prædictæ; quiduis potius, quam id quod oportuerat, dubitantes. quid enim obstat quin pronomẽ ᾧ sit possessiuum, & sumatur pro αὐτῆς: ἐκέκλοντο τὸ αὐτῆς παιδίον, quod etiam Ἀθαμαντίδαν dixit. Illud etiã Homeri, quod recto tenore legi poterat, οἱ δὲ οἱ ἐβλάφθησαν, reiectum est propter temere creditã obseruationem constructionis, quæ est similis illi, οἱ ἐμοὶ ἐβλάβησαν, οἱ σοὶ ἐβλάβησαν, οἱ οἱ ἐβλάβησαν. Apparet autem, Homeri peculiarem morem reiicere lectionem illam non genuinam. Homerus enim sæpissime datiuos pro genitiuis accipit, quod nisi esset enallage, versus etiam ille fortasse culpa non careret; vt qui pronomen incongruum ha-

τοῖς προεκκειμένοις, μετιὸν εἰς ἁπλῆν μετάθεσιν, ἕνεκα τοῦ, τὸ ῥῆμα ἐπὶ τὸν Πρίαμον συντείνειν, αἴτει τὸν αὐτοῦ ἄγγελον. ἀλλὰ καὶ τὸ ἐν Ἰσθμιονίκαις Πινδάρου, ἐτάραξεν τοὺς ὑπομνηματισαμένους, † Αἰολίδαν δὲ Σίσυφον κέκλοντο, ᾧ παιδὶ τηλέφαντον ὦρσαι γέρας, φθιμένῳ Μελικέρτᾳ. μεταλαμβάνοντες γὰρ τὴν ᾧ ἀντωνυμίαν εἰς σύνθετον τὴν ἑαυτοῦ, ἀποροῦσι, πῶς οὖν εἶπεν Ἀθαμαντίδαν, καὶ Σίσυφον παρείσησιν. ἔνιοι δὲ τὸ ᾧ ἐπιρρηματικὸν ἐκδεξάμενοι, τοῦ ἀπόρου δοκοῦσιν ἀπηλλάχθαι, ἐγκλείοντες τὸν τόνον τοῦ ᾧ παιδί, καθὼς ἔχει καὶ τό, ᾧτε χερνᾶτις γυνά. οἱ δέ, καὶ εἰς τὴν οἱ μετέλαβον, κέλοντό οἱ ἵνα [ἡ] δοτικὴ ἀντὶ γενικῆς τῆς εἰρημένης Ἰνοῦς· πάντα μᾶλλον ἢ τὸ δέον ἐπιστήσαντες. τί γὰρ τὸ ἐμποδὼν τὴν ᾧ ἀντωνυμίαν κτητικὴν ὑπάρχειν, μεταλαμβάνεσθαί τε εἰς τὸ αὐτῆς, ἐκέκλοντο τὸ αὐτῆς παιδίον· ὃ καὶ Ἀθαμαντίδαν εἶπεν. καὶ τὸ Ὁμηρικὸν δέ, δυνάμενον κατ' ὀρθὴν τάσιν ἀναγινώσκεσθαι, λέγω ἐπὶ τοῦ, Οἱ δὲ οἱ ἐβλάφθησαν, παρεπέμφθη διὰ τὴν εἰκῆ πιστευθεῖσαν τήρησιν συντάξεως, ὁμοίας οὔσης τῇ, οἱ ἐμοὶ ἐβλάβησαν, οἱ σοὶ ἐβλάβησαν, οἱ οἱ ἐβλάβησαν. καὶ φαίνεται ὅτι τὸ Ὁμηρικὸν ἰδίωμα ῥύεται τὸ ἀποδιάγνωσμα, καθ' ὃ ἀπειράκις δοτικὰς παραλαμβάνει ἀντὶ γενικῶν. ὡς εἰ μὴ ἦν τὰ τῆς ἐναλλαγῆς, τάχα καὶ ὁ στίχος ἠλογεῖτο, ὡς ἀκατάλληλον ἔχων τὴν ἀντωνυμίαν.

Pind. Nem. 189,2. ὦτ' ἀπὸ τόξου ἱεῖσα

Il. ψ.

Il. ψ.

ἐγκλίνοντες D.

νυμίαν. κατὰ τὸν αὐτὸν λόγον δεῖ νοεῖν καὶ τό, τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα ἐν Λακεδαίμονι αὖθι φίλῃ· εἰ γὰρ εἶχε τὸ ἑῇ, ὡς ἐν ταῖς πλείοσιν ἐκδόσεσιν· ὃ ἦν μάλιστα ἀκόλουθον. τὸ γὰρ κάτεχε ῥῆμα, συναφές ἐστι τῇ γῇ· καὶ τὰ τῆς ἀντωνυμίας, πάντως εἰς ἁπλῆν μεταστήσεται· κατεῖχεν ἡ γῆ τοὺς προειρημένους δαίμονας ἐν τῇ αὐτῆς πατρίδι, τῆς προειρημένης Ἑλένης. ὡς κἀκεῖνο ἔχει, τότε δὲ Ζεὺς δυσμενέεσσι δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ, ἐν τῇ πατρίδι αὐτοῦ τοῦ Ἕκτορος. Οὐχ ἡγητέον τὴν τοιαύτην

ἴσ. παράθεσιν διάθεσιν παρέλκειν, καθ' ὃ ἀπήρκει τὸ ἀπόδειγμα τοῦ λόγου διακρῖναι τὰ τοιαῦτα.

ἴσ. παρεθέμεθα εἰς γὰρ γυμνασίαν τοῦ λόγου πολὺ ἐθέμεθα, καὶ ἔτι εἰς βεβαιοτέραν πίστιν τῆς τηρήσεως, καὶ ἔλεγχον τῶν παραπεμψαμένων τὸ δέον τῆς συντάξεως. Ἑξῆς ῥητέον περὶ συντάξεως τῆς ἐμοῦ κτητικῆς οὔσης, κατὰ γενικὴν πτῶσιν, καὶ γενικῆς ἀπὸ τοῦ ἐγώ· ἥτις οὐ μόνον δύναται κατὰ φωνὴν συνεμπίπτειν, ἀλλὰ καὶ ἐν τῇ συντάξει τῇ κατὰ τὴν κτῆσιν. ἥ τε γὰρ κτητική, ἴδιον τοῦτο ἔχουσα, ἐπὶ κτῆμα φέρεται, καθ' ὃ καὶ αἱ ἄλλαι πτώσεις, ἐμός, ἐμοῦ, καὶ ἑξῆς. ἀλλὰ μὴν καὶ ἡ ἀπὸ τοῦ ἐγὼ γενική, ἐπὶ κτῆμα φέρεται. διὸ καὶ πρός τινων κτητικὴ ἐκαλεῖτο. φαμὲν οὖν, Ἀριστάρχου ἐκδόσεις· τά τε κτητικὰ τῶν ὀνομάτων,

beret. Eadem ratione accipiendum est illud, τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα ἐν Λακεδαίμονι αὖθι φίλῃ, si pro φίλῃ esset ἑῇ, vt est in plerisque editionibus; esset certe hoc maxime consequens. verbum enim κάτεχεν cohæret cum nomine αἶα: pronomē autem in simplex omnino transibit: vt sit, terra cōtinebat prædictos deos in patria eius, prædictæ videlicet Helenæ. Simile est illud etiā, τότε δὲ Ζεὺς δυσμενέεσσι δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ: hoc est, ἐν τῇ πατρίδι αὐτοῦ τοῦ Ἕκτορος. Non est autem existimandū exempla hæc allata esse superuacanea; quasi futurum esset satis si rationem tātum ostēdissemus ad distinguendas istas ambiguitates. Exercitationis enim causa ea proponimus, & vt nostræ obseruationis auctoritatem magis confirmemus, eosque redarguamus, qui reiiciunt cōstructionem congruam. Dicendum deinceps est de constructione vocis ἐμοῦ: quæ est modo possessiui pronominis genitiuus, modo primitiui a nominatiuo ἐγώ. quæ constructio potest concurrere non solum voce, sed etiam constructione, cum ea quæ est pronominum possessiuorum propria. nam & genitiuus possessiuus habet hoc proprium, vt feratur ad rem possessam, quemadmodum & ceteri eius casus, ἐμός, ἐμοῦ, & qui sequuntur deinceps; & genitiuus primitiui pronominis ἐγώ, fertur ad rem possessam: itaque a nonnullis *casus possessiuus* appellatur. dicimus enim Ἀριστάρχου ἐκδόσεις. & possessiua nomina

Il. γ.

Il. χ.

atque pronomina, non ab alio genitiuo deducuntur, quam ab eo in quem resoluuntur. Illud autem perspicuum est, in nomina nullam dubitationem cadere. nam voces ipsae valent per se tollere omnem ambiguitatem: Ἑκτόρεος, Ἑκτορέου: qui resoluitur in genitiuum *Hectoris*. at pronomen de quo paulo ante dictum est, quamquam voce sit aperta & minime dubia; tamen habet opus superiore constructione, vt tollat insitam ambiguitatem. Nec me fugit apud alias dialectos geminae istius vocis esse discrimen. Vnde factum existimo vt Poeta, qui nouerat figurae huius ambiguitatem, genitiuum quidem primitiuum protulerit iuxta cuiusque linguae idioma, ἐμέθεν dicendo, vel ἐμέο, vel ἐμεῖο, vel ἐμοῦ, non autem ἐμοῦ: non quia ignorauerit genitiuum terminantem in ου: siquidem obliquos omneis, qui sequuntur eum, more communi protulit: possessiuum vero, inclinatum in fine, perinde atque rectus eius in ος terminans postulat. Semper enim eum terminantem in ου profert, vel more Thessalorum in οιο, instar adiecti-
Od. τ. ui καλοῖο: παιδὸς ἐμοῖο πατήρ: &
Od. γ. παιδὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι:
Od. β. &, εἰ δή τοι σοῦ παιδὸς ἐνέστακται μένος
ἠΰ. quod & τεοῖο, more Dorico mutata σ in τ, & interposita ε, dicitur: quod accidit nonnumquam vt post mutationem σ in τ, ε interponatur. Illud

καὶ αἱ κλητικαὶ τῶν ἀντωνυμιῶν, οὐκ ἀπ' ἄλλης πτώσεως παράγονται, ἢ ἀπὸ γενικῆς, εἰς ἣν καὶ ἀναλύονται). καὶ δῆλον ὡς μὲν τὰ ὀνόματα οὐκ ἐδέετο ἐπιστάσεως, (αὐτάρκεις γὰρ αἱ φωναὶ εἰς διαστολὴν τοῦ τοιούτου, Ἑκτόρεος Ἑκτορείου, ὡς πρὸς τὴν Ἕκτορος) ἡ μέντοι προειρημένη ἀντωνυμία, ἐμφανιζομένη διὰ τῆς σαφ.: Soph.
τῆς φωνῆς, δεήσεται τῆς εἰρημένης συντάξεως, ἵνα παρεγγράφῃ τὴν συνοῦσαν ἀμφιβολίαν. Οὐκ ἔλαθε δέ με ὡς παρὰ ταῖς ἄλλαις διαλέκτοις καὶ διττῆς φωνῆς ἐστὶν ἡ διάκρισις. ὅθεν ὑπολαμβάνω τὸν ποιητὴν, (διττῆ τῆς φ. Soph.) συνειδότα τὸ ἀμφίβολον τοῦ σχήματος, τὴν μὲν πρωτότυπον σχεδὸν διὰ πάσης διαλέκτου παρενηνέχθαι, ἐμέθεν λέγοντα, ἢ ἐμέο, ἢ ἐμεῖο, ἢ ἐμεῦ· οὐ μὴν ἐμοῦ· οὐ γὰρ καθ' ὃ ἀγνὼς ἐστι τῆς εἰς ου ληγούσης γενικῆς, ὅπου γε τὰς ἀπ' αὐτῆς πλαγίας ἁπάσας κοινότερον παρενήνεκτο· τήν γε μὴν κτητικὴν, ἀκολούθως κλιθεῖσαν κατὰ τὸ τέλος ἀπ' εὐθείας τῆς εἰς ος ληγούσης ἀπομύτοτε [γὰρ] διὰ τῆς ου προφέρεται, ἢ καὶ θετταλικώτερόν πως διὰ τοῦ οιο, καθὼς καὶ τὸ καλοῖο· παιδὸς ἐμοῖο πατήρ· καὶ, παιδὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι· † εἰ δή τοι σοῦ παιδὸς ἐνέστακται μένος ἠΰ. καὶ τεοῖο, δωρικώτερον μεταστεθέντος τοῦ σ εἰς τ, ἐπενθέσεως τοῦ ε γινομένης. καθ' ὃ παρεπόμενόν ἐστι μετὰ τὴν μετάθεσιν ἔσθ' ὅτε τὸ ε πλεονάζειν. οὐ καινὸν γὰρ εὑρέ-

γὰρ εὑρέσθαι τὸν πλεονασμὸν σὺν τῷ σ. ἢ γοῦν πάλιν σοί, γινομένη τὶν παρὰ Δωριεῦσι, γέγονε καὶ τεΐν, τεΐν τάδε μυθήσασθαι. ἀπολύτως μὲν οὖν ἡ γενικὴ φερομένη ἐπὶ ῥῆμα, ἐστὶ πρωτότυπος, ἐμοῦ ἀκούει Θέων, σοῦ ἤκουσα· καὶ ἔτι ἐν ταῖς κατὰ διάλεκτον, ἐμεῦ δ᾽ ἕλετο μέγαν ὅρκον, σεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυχήν, ἐμεῖο δὲ σύνθεο μῦθον· ἴσως παρὰ Ἰωνικὴν τὴν ἐμέο, καὶ ἐπενθέσει τοῦ ι· ἢ καί, κατὰ μετάθεσιν τοῦ υ ψιλοῦ εἰς τὸ ι, παρὰ τὴν ἐμεῦ, ὡς παρὰ τὴν ἐμοῦ, τὸ ἐμοῖο. ὥστε καὶ κατὰ τὸ τοιοῦτον ἀναλογωτάτην φωνὴν καθίστασθαι.

†Οὐχὶ οὖν καὶ ἐπὶ κτῆμα φέρεται ἡ γενική; ἀλλὰ ἐν διαφόρῳ τάσει, λέγω τῇ ἐγκλιτικῇ, καὶ διαφόροις κτήμασιν· (ἐν ἀδιαφόροις κτ. Soph.) ἐσκάφη μου ὁ ἀγρός, ἐνίκησέ μου ὁ παῖς· καὶ τὰ ἐπιφερόμενα κτήματα ἀδιάφορα κατὰ γένος, κατὰ πτῶσιν, καὶ κατ᾽ ἀριθμόν. παντὸς γὰρ κτήματος ἡ γενικὴ πτῶσις δεκτική ἐστι. καὶ ἐπὶ τῶν ὀνομάτων ταὐτό. τά γε μὴν κτητικῶς παραχθέντα ἀντωνυμικά, ἢ καὶ [εἰ] ὀνοματικά, τὸν αὐτὸν ἀριθμὸν ἐπιζητεῖ, καὶ τὸ αὐτὸ γένος, καὶ τὴν αὐτὴν πτῶσιν, Ἑκτόρεος χιτών, Ἑκτορέου χιτῶνος· ἐμὸς φίλος, ἐμοῦ φίλου. πρόδηλός ἐστιν ἡ ἑξῆς ἀκολουθία. τοιοῦτόν ἐστι, πατὴρ δ᾽ ἐμὸς αὐτίκ᾽ ὀϊσθείς· καὶ ἔτι, παρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι· καὶ ἔτι, †τῷ μῷ κεχαρισμένε θυμῷ. †Οὐχὶ οὖν καὶ τῇ γενικῇ ὀρθοτονουμένῃ, λέγω τῇ πρωτοτύ-

enim non est nouum, sed vsi-
tatum, vt eiusmodi pleona-
smus cum σ reperiatur. nam
pronomen σοὶ, factum Dori-
co more τὶν, fit postea τεΐν: τεΐν Il. λ.
τάδε μυθήσασθαι. Genitiuus igi-
tur cum verbo sociatus, sem-
per primitiuus est; ἐμοῦ ἀκούει
Θέων: σοῦ ἤκουσα. etiam in dia-
lectis; ἐμεῦ δ᾽ ἕλετο μέγαν ὅρκον: Od. δ.
&, σεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυχήν: &, Ιλ. π.
ἐμεῖο δὲ σύνθεο μῦθον: fortasse ab Od. τ.
Ionico genitiuo ἐμέο, inter-
posita ι: vel ab ἐμεῦ, mutata υ
in ι, vt ab ἐμοῦ, ἐμοῖο. Ita vt ea
re etiam vox maxime reti-
neat analogiam. Quid er-
go? genitiuus non fertur et-
iam ad rem possessam? Immo
fertur, sed diuerso tenore, in-
clinato inquam; & diuersis
rebus possessis: ἐσκάφη μου ὁ ἀ-
γρός: ἐνίκησέ μου ὁ παῖς. & res pos-
sessæ, quæ sequūtur, nullum
aut generis, aut casus, aut nu-
meri discrimen habent. ge-
nitiuus enim recipit quamli-
bet rem possessam. atque i-
dem accidit nominibus: pro-
nomina tamen, siue nomina
deducta possessiue, requirūt
idem genus, eundemque nu-
merum, & casum; Ἑκτόρεος χι-
τών, Ἑκτορέου χιτῶνος: ἐμὸς φίλος,
ἐμοῦ φίλου. & casus consequen-
tes eodem videlicet modo.
Tale est illud, πατὴρ δ᾽ ἐμὸς αὐ- Il. ι.
τίκ᾽ ὀϊσθείς: & præterea, παρὸς ἐ- Od. γ.
μοῦ κλέος εὐρὺ μετέρχομαι: &, τῷ- Il. λ.
μῷ κεχαρισμένε θυμῷ. Quid er-
go? nullus genitiuus cōstru-
etur cū genitiuo, qui habeat
rectum tenorē, cum primiti-

uo inquam? construetur certe: sed & constructio, & vox erit ambigua; quãdoquidem hoc ipsum accidit genitiuo cuiuslibet casualis. dicimus enim Ἀριστάρχου ἀγροῦ καρπός ἐστιν. ac nihil obstat vt dicas etiam ἐμοῦ ἀγροῦ καρπὸς, quemadmodum dicis Ἀριστάρχου ἀγροῦ καρπός. Verum si hoc ita facias, genitiuus ἐμοῦ redibit in pronomen possessiuum a nominatiuo ἐμός. neq; enim aliter poterit esse primitiui pronominis ἐγώ, nisi fuerit inclinatus. hoc enim ei peculiare accidit, quo comparatu a possessiuis distinguitur. possessiua enim tantum habent rectum tenorem. atque ita fiet τοῦ ἀγροῦ μου ὁ καρπός ἐστιν. Verum aliquis existimauerit hanc demonstrationem non esse absolutam, sed adhuc desiderari aliquid in ista disputatione. Cui est occurrendum hũc in modum: Si genitiuus primitiui proferatur recto tenore, habebit omnino consequentes eius proprietates. diximus enim superius, genitiuos istiusmodi nullum rerũ possessarum requirere discrimen; at possessiua, quæ ab eis deducta sunt, cum singulis casib. proferri congrue. Neque vero dicimus τῶν ἐμοῦ ἀγρῶν ὁ καρπός ἐστιν, aut τῷ ἐμοῦ ἀγρῷ συνέβη ἐσκάφθαι, aut τῆς ἐμοῦ οἰκίας, aut aliud quidpiã, quod sit diuersum ab ipso genitiuo ἐμοῦ: sed sumimus pronomina petinde ac postulat cõstructio eorum quæ subiunguntur, τῶν ἐμῶν ἀγρῶν καρπός ἐστι, τῷ ἐμῷ ἀ-

πῳ, συνοιαθήσεται γενικὴ πτῶσις; ὥστε κατὰ σύνταξιν, καὶ κατὰ φωνὴν ἀμφιβάλλεσθαι· καθ' ὅτι καὶ παντὶ πτωτικῷ γινομένῳ κατὰ γενικὴν τὸ τοιοῦτον παρέχει). φαμὲν γὰρ, Ἀριστάρχου ἀγροῦ καρπός ἐστι· καὶ οὐδὲν ἐμποδὼν τὸ φάναι ὡς Ἀριστάρχου ἀγροῦ καρπὸς, οὕτως ἐμοῦ ἀγροῦ καρπός. ἀλλὰ πάλιν γινόμενον τὸ τοιοῦτον, ὑποστρέφει εἰς κτητικὴν ἀντωνυμίαν, τὴν ἀπὸ τοῦ ἐμός. οὐ γὰρ ἄλλως ἂν τὸ πρωτοτύπου γένοιτο, λέγω τὸ ἐγώ, εἰ μὴ καὶ ἐγκλιθείη· ὅπερ ἴδιον αὐτῇ παρηκολούθει πρὸς τὴν τῶν κτητικῶν ἀντεξέτασιν, καθ' ὃ αὗται μόνως ὀρθοτονοῦνται· γίνεται γὰρ, τοῦ ἀγροῦ μου ὁ καρπός ἐστιν. Ἀλλ' ἴσως οἰήσεταί τις, τὰ τῆς ἀποδείξεως ἐντελῶς μὴ ἐπέχειν, ἔτι δὲ ἀμφιβάλλεσθαι τὰ τοῦ λόγου. πρὸς ὃν ἐστι φάναι, ὡς εἴπερ ἡ πρωτότυπος γενικὴ ἦν κατ' ὀρθὴν τάσιν ἐκφερομένη, κἂν πάντως συμπαρείπετο τὰ ταύτης ἰδιώματα. ἔφαμεν γὰρ τὰς γενικὰς περὶ τὰ ἐπιφερόμενα κτήματα ἀδιαφορεῖν· τάγε μὴν κτητικῶς παραχθέντα πρὸς ἑκάστην πτῶσιν καταλλήλως ἐκφέρεσθαι. οὐ φαμὲν δὲ τῶν ἐμοῦ ἀγρῶν ὁ καρπός ἐστιν, οὐδὲ, τῷ ἐμοῦ ἀγρῷ συνέβη ἐσκάφθαι, οὐδὲ τῆς ἐμοῦ οἰκίας, οὐδὲ ἄλλο τι κατὰ διαφορὰν, ὡς πρὸς τὸ ἐμοῦ· ἀλλὰ κατὰ σύνταξιν τὴν τῶν ἐπιφερομένων συμμεταλαμβανόμεθα τὰς ἀντωνυμίας, τῶν ἐμῶν ἀγρῶν καρπὸς, τῷ ἐμῷ ἀ-

γρῷ

γρ. φασί

ἴσ. ἴχν

γρῷ συνέβη ἐσκάφθαι. διὰ τοῦ τοιούτου λύεται, ὡς ἐπ᾽ ἄμφω μὲν τοῦ ἐμοῦ ἀγροῦ καρπὸς, σύνταξίς ἐστι τῆς κτητικῆς, εἴπερ τῆς γενικῆς ὀρθοτονουμένης. παρὸν γοῦν, ἐγκλίναντα τὴν ἀντωνυμίαν, καὶ περιγράψαντα τὴν κτητικὴν σύνταξιν, διὰ τῆς ἐγκλίσεως προσδοῦναι τὰ ἰδιώματα τῆς γενικῆς, καὶ ὅσα μὴ κατάλληλα ἐν τοῖς προκειμένοις, ταῦτα διὰ τῆς ἐγκλίσεως κατάλληλα ποιῆσαι, τοῦ ἀγροῦ μου ὁ καρπὸς, τῷ ἀγρῷ μου συνέβη ἐσκάφθαι. κἀπὶ τῶν ἑξῆς ταὐτόν.

ἐπαὶ φῶμεν, vel ἐὰν φ. Soph. ἤπερ Soph.

Δέδεικται ἄρα ὡς ἡ ὁμοφωνήσασα γενικὴ τῇ κτητικῇ ἀντωνυμίᾳ, περιγράφεται τῆς κτητικῆς συντάξεως, διὰ τὸ ἐπικρατεῖν τὴν φύσει κτητικὴν ἀντωνυμίαν, ἰδίωμα ἔχουσαν τὸ κτῆμα· ὃ οὐ μόνον διὰ τῆς γενικῆς νοεῖται, ἀλλὰ πολὺ πρότερον ἀπὸ τῆς εὐθείας. ἡ γὰρ ἐν πρωτοτύποις κτητικὴ σύνταξις, διὰ μιᾶς πτώσεως τὸ τοιοῦτον ἐπαγγέλλεται· ἡ δὲ τῆς γενικῆς κτητικῆς σύνταξις, καὶ τὰ τῆς κτήσεως συμμετατίθεται. Προσθείην δ᾽ ἂν κἀκεῖνο, ὡς οὐδ᾽ ἂν ἡ γενικὴ πρωτότυπος, κτητικὴν σύνταξιν ἀνεδέξατο, εἴπερ αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν ἔγκλισιν ἀνεδέχοντο. κἂν οὕτω γὰρ κατεκράτησεν ἡ κτητικὴ ἀντωνυμία. σαφὲς οὖν ὅτι ἀποφυγοῦσα τὴν φωνὴν τὴν κτητικὴν μετῆλθε. καὶ γὰρ ἐν τῷ καθόλου τὸ τοιοῦτον

προσχαρίσῃ D. κτητικὴ σύνταξις, μετὰ τῆς κτ. D.

quam idem significetur, forma tantum generis immutata; si dixerimus, τὰ χρύσεια λέγει. nam ne illud quidem tollit dubitationem, quod more Bœotiorum ita dicatur, ad similitudinem illius quod est apud Pindarum, ἀχεῖται ὀμφαὶ μελέων σὺν αὐλοῖς. nã id ipsum quærit oratio; quia figura neutri delitescit. nam quod generis constructio non soluit quæstionẽ, nempe quod neutra cum singulari numero apte iungantur, potest ex eo perspici, quod generum constructio fit indiscriminatim in iis tantũ partibus quæ carent casu. etenim quælibet orationis pars quæ casu caret, vnam & eandem habet constructionem cum omnibus generibus. Licet etiam sic dicere: Demonstrauimus in superioribus, nullam partem orationis fieri incongruam in eo in quo nulla discretio facta est; vt aduerbia in numero; nisi ipsa numerũ significent: non in diuersis temporibus; nisi rursus ipsa tempore distinguant; vt in illis, χθὲς, αὔριον, & in aliis quæ supra exposuimus. Coniunctiones numerum non recepẽrũt. ergo in numeris nihil peccãt: sed ne in genere quidẽ. Eadẽ ratio perspicua est in omnibus orationis partibus.

11, *Illud Homeri, σπάρτα λέλυνται, esse magis congruum quam δοῦρα σέσηπε.*

At verba, genus illa quidẽ non distinguũt; numerum & personã distinguũt, & alia, in quibus videl. versantur. Ergo

non est intelligendum, in diuersa figura esse neutrum, & in diuersa masculinũ aut fœmininum. Ergo quî dicimus, λέγουσιν οἱ ἄνθρωποι, & λέγει τὰ παιδία? Quod si numerum singularem indicat, fiet nimirũ pluralis vna cum pluralibus, quibus cum iunctum est. fit

Il. ς. autem perspicuũ, illud, ἀπάρτα λέλειπται, dictum magis secundum analogiam, quam

Il. β. δοῦρα σέσηπε. licet enim arguere figuram cũ ex primis, tum ex secundis personis. nam si recte dicimus, φιλοπονούμενα παιδία ὄντα, non φιλοπονοῦ παιδία ὄντα: & in secundis personis similiter: cur non concedatur, perperam dici φιλοπονεῖ παιδία ὄντα? Atque hæc est demonstratio veræ rationis. Caussam tamen esse existimo, cur verba receperint cõstructionem singularem, non aliam, quam vocis similitudinem, quã habet nominatiuus cum accusatiuo: id quod non accidit masculinis ac fœmininis generibus. & ideo in nominatiuo quidem incõgruitas illustris est, in illo nimirum, οἱ ἄνδρες γράφει: sed non ita in accusatiuo: persona enim γράφει, transitiue accipitur, ἄνδρας γράφει. Casus igitur, in propriis vocibus distributi, discretionem faciunt congruæ & incõgruæ orationis: sed in neutri figura, quoniam hæc ratio non accidit, euenit vt altera figura, accusatiui inquam, naturá quodãmodo sequatur. Exempli gratia;

ὀφείλει γινώσκειν ἐν διαφόρῳ σχήματι οὐδέτερον, καὶ ἐν διαφόρῳ τὸ ἀρσενικὸν ἢ τὸ θηλυκόν. πῶς οὖν φαμέν, λέγουσιν οἱ ἄνθρωποι, καί, λέγει τὰ παιδία; εἰ γὰρ ἀριθμὸν παρεμφαίνει, σαφὲς ὅτι συμπληθυνθήσεται τοῖς συνοῦσι πληθυντικοῖς. καὶ δῆλον ὅτι τό, ἀπάρτα λέλειπται, ἀναλογώτερον τοῦ δοῦρα σέσηπε. πάρεστι καὶ ἐκ τῶν πρώτων καὶ δευτέρων διελέγξαι τὸ σχῆμα. εἰ γὰρ ὑγιὲς τὸ φάναι, φιλοπονούμενα παιδία ὄντα, οὐχὶ φιλοπονοῦ παιδία ὄντα· καὶ ἔτι ἐπὶ δευτέρων προσώπων ταὐτό· πῶς οὐ δοθήσεται, ἄλογον μὲν καθίστασθαι τό, φιλοπονεῖ παιδία ὄντα; καὶ αὕτη μὲν ἀπόδειξίς ἐστι τοῦ ὑγιοῦς λόγου. Αἴτιον μέντοι ὑπολαμβάνω τοῦ παραδέξασθαι τὴν ἑνικὴν σύνταξιν τὰ ῥήματα, οὐκ ἄλλό τι, ἢ τὴν ὁμοφωνίαν τῆς εὐθείας, ὡς πρὸς τὴν αἰτιατικήν. ὅπερ οὐ παρείπετο τοῖς τε ἀρσενικοῖς καὶ θηλυκοῖς. διὸ καὶ ἐν τῇ εὐθείᾳ προφανὴς ἡ ἀκαταλληλότης γίνεται ἐν τῷ, οἱ ἄνδρες γράφει· οὐ μὴν ἐν αἰτιατικῇ. ἐν μεταβάσει γὰρ τὸ πρόσωπον νοεῖται τοῦ γράφει, ἄνδρας γράφει. Αναμερισθεῖσαι οὖν αἱ πτώσεις ἐν ἰδίαις φωναῖς, διέκριναν τό τε κατάλληλον καὶ ἀκατάλληλον. οὐ τοῦ τοιούτου δὲ παρεπομένου κατ' οὐδέτερον σχῆμα, συνέβαινε τὸ μὲν ἕτερον φυσικώτερόν πως ἔχειν, λέγω δὲ κατ' αἰτιατικήν. φέρε εἰπεῖν,

γράφει

γράφει τὰ παιδία, ὡσεὶ καὶ γράφει τοὺς παῖδας· κἀπεὶ ἐν μὲν τῷ ἀρσενικῷ οὐχ αἱ αὐταὶ φωναί· γράφει γὰρ οἱ παῖδες· ἐν δὲ τῷ οὐδετέρῳ ταὐτό, ὅπερ ἦν ἀνακόλουθον τῇ πρὸς τὴν αἰτιατικὴν ὁμοφωνίᾳ, συμβὲχον τὸ σχῆμα, δυσληπτον ἐποίει τὸ ἀκατάλληλον· καὶ διότι λανθάνει.

γράφει τὰ παιδία: perinde ac ſi dicamus γράφει τοὺς παῖδας. Et quoniam in maſculino eædem voces non ſunt; (nã eſſet γράφει οἱ παῖδες) in neutro autem eædem ſunt; quod erat inconſequens, propter ſimilitudinem vocis cum accuſatiuo, figura concurrens facit vt incongruitas difficile poſſit percipi: & propterea figura deliteſcit.

ιϛ, Τίς ἡ ἀφορμὴ τοῦ συντάσσεσθαι τὰ ἀπαρέμφατα τοῖς ῥήμασι· καὶ εἰ ἐπιρρήματά εἰσιν, ἢ οὔ· καὶ ὅτι τὸ ἀπαρέμφατον καὶ τὸ ἐπίρρημα, οὐ ταὐτόν ἐστιν.

12, Quid faciat vt infiniti modi cum verbis conſtruantur: & ſint, nec ne, aduerbia: &, non idem eſſe infinitũ modum & aduerbium.

τμῆμα β'

ἴσ. ὑπείληφα

Ἑξῆς ῥητέον καὶ περὶ τῆς καθολικῆς συντάξεως τῶν ῥημάτων· ἣν πάνυ διείληφα, πολυμερεστάτην οὖσαν, δεῖσθαι οὐ μετρίας ἐπιστάσεως. αἵ τε γὰρ παρεπόμεναι ἐγκλίσεις, λόγον ἀπαιτήσουσι τῆς συντάξεως, καὶ οἱ ἐν αὐταῖς διαμερισθέντες χρόνοι, καὶ ἡ συμπαρεπομένη διάθεσις, ἐνεργητικὴ οὖσα, ἢ παθητική· καὶ ἡ μεταξὺ τούτων πεπτωκυῖα μέση, οὐ προσχωροῦσα οὐδετέρᾳ· καὶ τὰ ἐγγινόμενα πρόσωπα ἐν τῷ καθόλου ἢ μερικῶς, ἢ οὐδ᾽ ὅλως· καὶ εἰ ἅπασαι σύμφωνοί εἰσιν αἱ διαθέσεις, ἥ τε ἐνεργητική, καὶ ἡ παθητική· τίνα τε αὐτῶν πλαγίαις θέλει ἐπαρτᾶσθαι· καὶ πότερον ἀδιαφόρως ἢ κατὰ μερισμὸν τὸν δέοντα τῶν πτώσεων. εἰσὶ καὶ ἄλλαι ἰδικώτεραι συντάξεις τῶν προκατειλεγμένων ἃς κατὰ τὸ ἐπιβάλλον διακρινοῦμεν.

Partis e Priſc. lib. 18.

Dicendum deinceps eſt de vniuerſali conſtructione verborum: quam prorſus exiſtimo, quia multiplex & maxime varia eſt, egere nõ mediocri animaduerſione. nam & modi, qui eis accidunt, exigunt rationem cõſtructionis; & tempora, quæ in modis diſtributa ſunt; & ſignificatio, quæ ſimul ea comitatur, ſiue ſit actiua, ſiue paſſiua, ſiue media, quæ inter vtramque interiecta eſt, & accedit ad neutram: & perſonæ, quas continent ſiue in vniuerſum, ſiue ſingillatim, ſiue nullo prorſus modo: & ſi genera omnia, actiuum, & paſſiuum, voce inter ſe conſentiunt: & quæ eorum cum obliquis conſtruantur: & vtrum indiſcriminatim, an pro recta caſuum diſtributione. Sunt etiam aliæ ſupradictorũ conſtructiones magis ſpeciales: quas ſuo loco diſtincte explicabimus.

13, *An infinitus sit modus: & in vniuersum, an infinita sint verba: cur enim non potius aduerbia ex verbis nata? & cur infinitus modus non præ se ferat animi affectum cum numero & persona.*

Ac rationes quæ cum ista quæstione faciũt, tot ac tales sunt: Affectus animi, pcipue verbis adhæret. is infinitis nõ adest. Præterea versantur in numeris & personis: quorũ discrimine caret infinitus: quoniam participium quoque, qđ ex ipsis verbis transsumptum est, quia caret supradictis accidentibus, exclusum est e genere verborũ. neque enim temporis mutatio in illis γράφειν, γράψαι, & insita præterea significatio, efficient vt verba prorsus vocentur: quoniam idem adest participiis; & tamen nõ sunt verba, sed participia. Cur ita? quia sunt aduerbia: quoniã modus diuersus in eiusdem personæ constructione non assumitur. neque enim dicimus γράφεις λέξαι, aut aliquid eiusmodi, quod assumi non potest: sed dicimus θέλεις γράφειν, ἀναγινώσκειν βούλει. Est autẽ aduerbiorum proprium, vt cum verbis assumantur, vel præposita, vel postposita: qđ accidit in γράφειν θέλω, θέλω γράφειν, vt ἑλληνιστὶ λέγω, λέγω ἑλληνιστί: & quemadmodum aduerbium ἑλληνιστί, assumpto verbo λέγω, absoluit orationem: ita γράφειν, assumpto verbo θέλω. Et quemadmodũ aduerbia in omni numero sine discrimine ponuntur, ita etiã θέλω γράφειν, aut γράφειν θέλομεν. Et

ιγʹ. † Εἰ ἡ ἀπαρέμφατος, ἔγκλισις· καὶ εἰ ὅλως ῥήματα τὰ ἀπαρέμφατα· τί γὰρ μὴ μᾶλλον ἐπιρρήματα, οὐχὶ τῶν ῥημάτων γενήματα· καὶ εἰ ἕνεκεν τίνος οὐ παρεμφαίνει ψυχικὴν διάθεσιν μετὰ ἀριθμοῦ καὶ προσώπου.

Καὶ εἴη ἂν τὰ συνηγοροῦντα τῷ λόγῳ, τοσαῦτα καὶ τοιαῦτα· τοῖς ῥήμασιν ἐξαιρέτως παρέπεται ἡ ψυχικὴ διάθεσις· ὅπερ οὐ σύνεστι τοῖς ἀπαρεμφάτοις· καὶ τὸ ἐν ἀριθμοῖς καὶ προσώποις καταγίνεσθαι· ὧν τῆς διαφορᾶς οὐκ ἔτυχε τὸ ἀπαρέμφατον· καθὸ καὶ ἡ ἐξ αὐτῶν μεταληφθεῖσα μετοχὴ, στερουμένη τῶν προκειμένων, καὶ τῆς τῶν ῥημάτων ἰδέας ἀπεβλήθη. οὐ γὰρ δή γε ὁ μετασχηματισμὸς τοῦ χρόνου ἐν τῷ γράφειν ἢ γράψαι, καὶ ἔτι ἡ συνοῦσα διάθεσις συνάξει τὸ ῥήματα αὐτὰ πάντως καλεῖσθαι· ἐπεὶ ταὐτὸ σύνεστι τῇ μετοχῇ, ἀλλ' οὐ ῥήματα αἱ μετοχαί. καὶ οὐ. † πόθεν δέ; ὅτι ἐπιρρήματα· καθότι ἔγκλισις μὲν διάφορος κατὰ σύνταξιν τοῦ αὐτοῦ προσώπου οὐ παραλαμβάνεται). οὐ γὰρ φαμὲν γράφεις λέξαι, ἤ τι τῶν τοιούτων μὴ δυναμένων παραλαμβάνεσθαι· φαμὲν δέ, θέλεις γράφειν, ἀναγινώσκειν βούλει. Ἴδιον δὲ τῶν ἐπιρρημάτων, τὸ σὺν ῥήμασι παραλαμβάνεσθαι, προτακτικῶς, ἢ ὑποτακτικῶς. ὅπερ παρέπεται, γράφειν θέλω, θέλω γράφειν· ὡσεὶ καὶ, ἑλληνιστὶ λέγω, λέγω ἑλληνιστί. καὶ ὡς τὸ ἑλληνιστὶ, προσλαβὸν τὸ λέγω, ἀπαρτίζει τὸν λόγον· οὕτω τὸ γράφειν, προσλαβὸν τὸ θέλω, [ἀπαρτίζει τὸν λόγον.] καὶ ὡς ἀδιαφόρως κατὰ παντὸς ἀριθμοῦ τὰ ἐπιρρήματα, οὕτω καὶ γράφειν θέλω, ἢ θέλομεν. καὶ ὡς ἀδια-

ἴσ. λέξειν Soph.
τῶν μὴ δ. Soph.

ὡς ἀδιαφόρως κατὰ τὰ πρόσωπα, ἑλληνιστὶ λέγω, ἑλληνιστὶ λέγεις, οὕτω τὸ γράφειν θέλω, γράφειν θέλεις. καὶ εἰ ἀπὸ ῥημάτων ἔσθ᾽ ὅτε τὰ ἐπιῤῥήματα παράγεται· ὡς αὐτῷ τῷ ἑλληνιστὶ τὸ ἑλληνίζω παράκειται· οὐ κωλύει καὶ τῷ γράφω παρακεῖσθαι τὸ γράφειν, οὐ μαχομένου τοῦ διαφόρου χρό- γρ. ἐνδ. νου. δύναται γὰρ κατὰ χρόνον τὸ ἐπίῤῥημα ἀπολελεῖφθαι· καθὸ ἔστιν ἐπινοῆσαι κἀπὶ τῶν μετοχῶν· εἴγε τῷ μὲν γράφω ἡ γράφων παράκειται, τῷ δὲ ἔγραψα ἡ γράψας. τῷ δὲ αὐτῷ λόγῳ, καὶ τῷ γράφω τὸ ἀλ γράφειν παρακείσεται, τῷ τε ἔγραψα τὸ γράψαι. Ἀλλ᾽ ἔστι γε πρὸς ταῦτα φάναι, καὶ πρὸς μὲν τὴν σύνταξιν τοῦ †θέλω γράφειν καὶ τῶν τοιούτων, ὡς οὐκ ἐν τῷ καθόλου δίδοται τὸ κατὰ τοῦ αὐτοῦ προσώπου διαφόρους ἐγκλίσεις μὴ παραλαμβάνεσθαι. †φαμὲν γὰρ [ἐὰν ἀναγινώσκῃς, πρόσεχε· ἐὰν διαλέγῃ, πρὸς τῷ D. ἐπίστρεφε σεαυτόν. πρὸς τὸ μηδὲ ἐν τῷ καθόλου τὴν τοιαύτην σύνταξιν διήκειν. φαμὲν γὰρ] προαιροῦμαι ἀναγινώσκειν, καὶ φιλῶ γράφειν· οὐ μὴν θέλω γράφειν, †οὐδὲ σκάπτω λέγειν. ὅπερ εἰ κατὰ τὸν λόγον ἦν τῶν ἐπιῤῥημάτων, ἐπὶ ῥῆμα φέρεσθαι ἤμελλεν. Ἔστιν οὖν τῆς συντάξεως ἡ αἰτία ἥδε· τῶν ῥημάτων ἃ [μὲν] ἐστὶν ἐμπεριεκτικὰ πραγμάτων· ἐφ᾽ ἃ καὶ ἡ ὁριστικὴ ἔγκλισις ἐπερείδεται, καὶ αἱ ὑπόλοιποι· ὡς τὸ γράφω, ἐρέσσω, τύπτω· ἃ δὲ, αὐτὸ μόνον, προαίρεσιν ψυχῆς ὁρίζεται, ἐλλείποντα τῷ πράγματι· ὡς τὸ θέλω, βούλομαι, προθυμοῦμαι·

ſicuti cum qualibet perſona ſociatur, ἑλληνιστὶ λέγω, ἑλληνιστὶ λέγεις: ita & γράφειν θέλω, γράφειν θέλεις: etiã ſi ex verbis interdũ aduerbia deriuãtur; vt ipſum ἑλληνιστὶ verbo ἑλληνίζω eſt vicinum. ad cuius ſimilitudinem nil vetat vt verbo γράφω ſit vicinũ γράφειν: nõ repugnãte diuerſo tẽpore. nã aduerbium in tempore [non] poteſt effici. quod etiam in participiis cognoſcere licet: ſiquidem verbo γράφω, proximum eſt participiũ γράφων: & verbo ἔγραψα participium γράψας: eadem ratione γράφειν & γράψαι, vicina erunt verbis γράφω & ἔγραψα. Sed aduerſus hęc dicendum eſt, cõſtructionem illam θέλω γράφειν, & ſimilium, non in vniuerſum dari, vt de eadem perſona diuerſi modi aſſumantur. Dicimus. n. ἐὰν ἀναγινώσκῃς, πρόσεχε: ἐὰν διαλέγῃ, ἐπίστρεφε σεαυτόν: quoniam huiuſmodi conſtructio non patet latius. dicimus enim προαιροῦμαι ἀναγινώσκειν, & φιλῶ γράφειν: at non θέλω γράφειν, neque σκάπτω λέγειν. quod ſi eſſet ſecundum aduerbiorum regulam, nihil obſtaret quin aduerbia cum ſuis verbis conſtruerentur. Huius igitur conſtructionis cauſa illa eſt: verborum alia, res continẽt; quibus & indicatiuus modus & ceteri adhibentur; vt γράφω, ἐρέσσω, τύπτω: alia hoc tantum, voluntatem animi præſcribunt, re deficiente; vt θέλω, βούλομαι, προαιροῦμαι.

quæ, quasi sint inania, replẽtur rei appositione: quod nihil est aliud quam infinitum de quo agitur; quod est generalissimum aliorum verborum, vt in sequẽtibus declarabitur; θέλω περιπατεῖν, βούλομαι γράφειν. quæ tamen rem adepta sunt, & eam circumscriptam continent, nil opus habebant vt cũ infinitis construerentur. nam cum τύπτω contineat τύπτειν, superfluum videtur aliam rem afferre, τύπτω γράφειν: at nõ ita (quemadmodum diximus) in θέλω γράφειν. Modus ergo infinitiuus est generalissimus; qui ꝓpter ea de quibus superius ambigebamus, necessario deficit; numero, qui non natura verbo accidit, sed sequitur personas, quę rei participes sunt. nam ipsa res vna est, γράφειν, περιπατεῖν: qđ inclusum personis, facit περιπατῶ, περιπατεῖτον, περιπατοῦσιν. Nam ñe illud quidem verũ fuerit, quod verbum sit capax personarum. rursus enim per accidẽs hoc factum est. nã personæ, quæ rei participes factæ sunt, in personas distributæ sunt; περιπατῶ, περιπατεῖς, περιπατεῖ: ipsum vero verbũ, quod personarum & numerorum expers est, construitur cum omnibus numeris & personis. Quinetiam ne affectũ quidem animi verbum recipit. Rursus enim personæ, quæ rei participes factæ sunt, affectum sibi insitum verbo

Prisc. l. 18.

ἃ δή, ὡσπερεὶ κενὰ ὄντα, ἀναπληροῦται τῇ τοῦ πράγματος παραθέσει. ὅπερ οὐκ ἄλλο τί ἐστιν, ἢ τὸ προκείμενον ἀπαρέμφατον, γενικώτατον καθεστὼς τῶν ἄλλων ῥημάτων, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται, θέλω περιπατεῖν, βούλομαι γράφειν. τά γε μὴν ἀπειληφότα διὰ τοῦ ἐπακολουθοῦντος ὁρισμοῦ τὸ πρᾶγμα, ἀπροσδεῆ καθέστηκε, ὡς πρὸς τὴν σύνταξιν τῶν ἀπαρεμφάτων. εἴληφε μὲν γὰρ τοῦ τύπτειν ἐν τῷ τύπτω, περισσὸν δὲ ἐπάγειν ἕτερον πρᾶγμα, τύπτω γράφειν· οὐ μὴν ἐν τῷ θέλω γράφειν, καθὼς ἔφαμεν. Ἔστι γε γενικωτάτη ἡ τῶν ἀπαρεμφάτων ἔγκλισις, ἀναγκαίως λείπουσα τοῖς προδιηπορηθεῖσι· τῷ παρεπομένῳ ἀριθμῷ, ὃς οὐ φύσει παρέπεται τῷ ῥήματι, παρακολούθημα δὲ γίνεται τῶν προσώπων τῶν μετειληφότων τοῦ πράγματος. αὐτὸ γὰρ τὸ πρᾶγμα, ἕν ἐστι, τὸ γράφειν, τὸ περιπατεῖν. ὅπερ ἐγγινόμενον ἐν προσώποις, ποιεῖ τὸ περιπατῶ, τὸ περιπατεῖτον, τὸ περιπατοῦσιν. οὐδὲ γὰρ ἐκεῖνο ἀληθεύεται, ὡς τὸ ῥῆμα δεκτικόν ἐστι προσώπων. πάλιν γὰρ ἐκ τοῦ παρεπομένου τὸ τοιοῦτον ἐπεγίνετο. τὰ γὰρ μετειληφότα [πρόσωπα] τοῦ πράγματος, εἰς πρόσωπον ἀνεμερίσθη, περιπατῶ, περιπατεῖς, περιπατεῖ· αὐτό γε μὴν, ἐκτὸς ὂν προσώπων καὶ ἀριθμῶν, συμφέρεται ἅπασιν ἀριθμοῖς, καὶ ἅπασι προσώποις. Ἀλλ' οὐδὲ ψυχικὴν διάθεσιν τὸ ῥῆμα ἐπιδέχεται. πάλιν γὰρ τὰ μετειληφότα πρόσωπα τοῦ πράγματος, τὴν ἐν αὐτοῖς διάθεσιν ὁμολογεῖ

ἐστιν οὐδ.

πρόσωπα

διὰ τοῦ ῥήματος. τὰ γὰρ, ὡς οὐκέτι ἐγγενόμενα ἐν προσώποις, οὐδὲ τὸ ἐν τούτοις ἐπιγινόμενον ἐνδιάθετον τῆς ψυχῆς ὁμολογεῖ. Ἴδιον αὖ ῥήματός ἐστιν, ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους, διαθέσεις τε ἡ ἐνεργητικὴ, ἡ παθητικὴ, καὶ ἔτι ἡ μέση. ὧν πάντων μετέλαβε τὸ γενικώτατον ῥῆμα, λέγω δὲ τὸ ἀπαρέμφατον· ἐπεὶ, εἴπερ τῇ φύσει ἦν ἀπαρέμφατον, πῶς ταῦτα παρεμφαίνει; ἔστι γοῦν ἐπινοῆσαι τὸ γενικώτατον ὄνομα, ἐν θέσει ἰδίᾳ καταγινόμενον ἢ κοινῇ, † οὐκ ἐν πτώσει τῇ παρεπομένῃ ἐν γένει τῷ δέοντι· τό γε μὴν εἰδικώτατον, καταγίνεσθαι ἐν πατρωνυμικῇ ἐννοίᾳ, ἢ ἐν κτητικῇ, καὶ ἔτι ταῖς ὑπολοίποις. καὶ δῆλον ὅτι οὐκ ἂν θαρρήσει τις φάναι μὴ εἶναι † εἰδικώτατον ὄνομα, ὃ μή ἐστι πατρωνυμικὸν ἢ κτητικὸν, ἤ τι τῶν ὑπὸ τὸ αὐτὸ εἶδος πιπτόντων.

Τούτῳ οὖν τῷ λόγῳ παραδεξόμεθα τὸ ὁριστικὸν ῥῆμα, καὶ τὸ εὐκτικὸν, καὶ ἔτι τὰ ὑπόλοιπα εἴδη τοῦ γενικοῦ ῥήματος· ὃ δὴ οὐ πάντως στερήσεται τοῦ μὴ ῥῆμα εἶναι, ἐὰν μὴ συναγορεύῃ τὴν εἰδικὴν σημασίαν. Ἔστι καὶ οὕτως ἐπιδεῖξαι· καθόλου πᾶν παρηγμένον ἀπό τινος, ἀνάλυσιν ἔχει τὴν πρὸς τὸ πρωτότυπον, μετὰ λέξεως τῆς σημαινούσης ταὐτὸ τῇ παραγωγῇ. παρὰ τὴν τοῦ Ἕκτορος γενικὴν, ἀποτελεῖται τὸ Ἑκτορείδης· ᾧ καὶ προστίθεται τὸ υἱὸς, καὶ διὰ τοῦτο ἀναλύεται εἰς τὸ.

testātur. Quæ autem personis nondum inclusæ sunt, ne affectum quidem animi testantur, qui in personis est. Propriū præterea verbi est, diuersum tempus in variis figuris; & significatio actiua, passiua, & media: quorum omnium particeps factum est generalissimum verbum, infinitum inquam. nam si natura esset infinitū, quomodo hæc indicaret? Licet ergo nomen generalissimum intelligere in propria vel communi positione constitutū, non in casu, qui accidit in eo genere quod exigit oratio: at specialissimū, versari in sensu patronymico, aut possessiuo, & in reliquis. Neque est obscurum illud, neminem esse ausurum negare nomen esse specialissimum, quod non sit aut patronymicum, aut possessiuum, aut aliud quodpiā, quod sub eandem cadat speciem. Ergo hac ipsa ratione verbum indicatiuum, optatiuū, & reliquas species verbi generalis admittemus; quod non prorsus priuabitur ea conditione vt non sit verbū; nisi cōsignificet significationem specialem. Possumus etiam alia ratione idem demonstrare: omne quod ab aliquo deriuatur, omnino ad suum primitiuum retexitur, cū dictione idem significāte ac suum primitiuum. Ecce a genitiuo Ἕκτορος, deducitur Ἑκτορείδης: cui etiā potest addi υἱός: iccirco retexitur in illud,

Ἕκτορος υἱός: a nomine *γοργός*, fit *γοργότερος*, accedente *μᾶλλον* aduerbio; quod rursus retexitur in *γοργὸς μᾶλλον*: a nomine *ἵππος*, efficitur *ἱππών*, *locus qui equos continet*: hoc etiam resoluitur in *τὸ τοὺς ἵππους συνέχον*. Superfluum plane esset, ad hoc probandum plura proferre exēpla: perspicua enim est res de qua agitur. Quare quilibet modus trāsumitur non ad aliud quidpiam, nisi ad infinitum, cū dictione quæ modum significet: cum dicimus, *περιπατῶ*, *ὡρισάμην περιπατεῖν*: *περιπατοίμι*, *ηὐξάμην περιπατεῖν*: *περιπάτει*, *προσέταξα περιπατεῖν*. Nonne igitur coactum & durū est, ea quæ maxime cōtinent verba omnia, a verborum sensu circumscribere? Non sum autem oblitus me alias consensisse cum aliis, & indicatiuū modum, vt aliorum principem recepisse. sed postea rationis accuratior inquisitio, coegit me mutare opinionem. Illud tamen conceditur, recte ab indicatiuo modo nos exordiri; non quia hic modus primus sit; sed quia est maxime illustris, & frequēs, & potest ostendere coincidētias insitas, & insitos affectus, & deriuationes quæ in verbis fiūt; presertim cum ne illud quidē repugnet, quod modus infinitus est inter ceteros imperfectior; siquidem dictiones etiam primitiuæ non ita late patent vt deriuatiuæ.

Prisc. l. 8.

Ἕκτορος υἱός. παρὰ τὸ γοργὸς, ἀποτελεῖται τὸ γοργότερος, προσγινομένου τοῦ μᾶλλον· ὃ δὴ πάλιν ἀνάλυσιν ἔχει εἰς τὸ γοργὸς μᾶλλον. παρὰ τὸ τοὺς ἵππους ἐμπεριεκτικόν τι ἀποτελεῖται, τὸ ἱππών· ὃ δὴ πάλιν ἀναλύεται εἰς τὸ τοὺς ἵππους συνέχον. καὶ περισσὸν ἂν εἴη εἰς τὸ τοιοῦτον πλείονα παρατίθεσθαι. δῆλον γὰρ τὸ εἰρημένον. καὶ δὴ πᾶσα ἔγκλισις οὐκ εἰς ἄλλο τι μεταλαμβάνεται, ἢ εἰς ἀπαρέμφατον, μετὰ λέξεως τῆς σημαινούσης ταυτὸ τῇ ἐγκλίσει· ὅτε οὕτω φαμὲν, περιπατῶ, ὡρισάμην περιπατεῖν· περιπατοίμι, ηὐξάμην περιπατεῖν· περιπάτει, προσέταξα περιπατεῖν. πῶς οὖν οὐ βίαιον, τὸ τὰ συνεκτικώτατα ἁπάντων τῶν ῥημάτων, περιγράφειν τῆς τῶν ῥημάτων ἐννοίας; Οὐ λέλησμαι ὡς ἐν ἑτέροις, συμφερόμενός τισι, τὴν ὁριστικὴν ἔγκλισιν παρεδεχόμην ὡς προϋφιστοῦσαν τῶν ἄλλων. ἀλλ' οὖν γε ἡ ἀκριβὴς ἐξέτασις τοῦ λόγου κατηνάγκασε τὸ μεταθέσθαι· συγχωρου- μι Soph. μένου ἐκείνου, ὡς δεόντως ἀπὸ τῆς ὁριστικῆς ἐγκλίσεως ἀρχόμεθα, οὐχ ὡς πρώτης οὔσης, ὡς δὲ ἐκφανεστάτης οὔσης καὶ πολλῆς, καὶ δυναμένης διδάξαι καὶ τὰς ἐγγινομένας συνεμπτώσεις, κατὰ τὰ ἐγγινό- ἴσ. καὶ μενα πάθη καὶ παραγωγάς· οὐδὲ τοῦ τοιούτου μαχομένου, καθὸ ἐν τοῖς τοιούτοις ἐλλιπεστέρα ἡ ἀπαρέμφατος ἔγκλισις· εἴ γε καὶ τὰ πρωτότυπα τῶν λέξεων ἐν ἐλάττονι καταγίνεται ὕλῃ τῶν παραγώγων.

ιδʹ, Εἰ

ιδ΄, Εἰ δεόντως κατὰ τὸ Ὁμηρικὸν ἔθος ἀντὶ προστακτικῶν παραλαμβάνεται· καὶ ὅτι ἡ ἐπιστολικὴ σύνταξις τὸ ἀπαρέμφατον ἔχει ἀντὶ προστακτικῶν.

Οἴομαι δὲ καὶ Ὁμηρικὸν [ἔθος,] ἐκστὰν τῆς τῶν προστακτικῶν συντάξεως, δεόντως αὐτὴν ὑπαλλάξαι τὴν ἀπαρέμφατον [ἔγκλισιν,] οὖσαν γενικήν· εἰς ἣν καὶ ἐδείχθη ἅπαντα τὰ εἰδικὰ μεταλαμβανόμενα. οὕτω [γὰρ] ἔχει καὶ ἡ ἐπιστολικὴ σύνταξις, Τρύφων Θέωνι χαίρειν· τοῦτο διαφέρουσα τῆς Ὁμηρικῆς συνηθείας, καθὸ ἡ μὲν, ἐπὶ τὸ προστακτικὸν [ἐπ' αὐτὸ] φύσει καταφέρεται· καὶ οἷόν τέ ἐστιν ἐπ' αὐτοῖς τὰ προστακτικὰ παραλαμβάνειν· οὐ προσῆπται μέντοι τῷ δοθέντι σχήματι τοῦ λόγου. οὐ μὴν ἔτι δὲ ἐν τῇ ἐπιστολικῇ συντάξει ἠδύνατο δὲ τοιοῦτον παραδέξασθαι. εἰ ἔχει γὰρ ὁ λόγος οὕτως, εἴπομεν ὡς ἀναγκαίως ἡ εὐθεῖα τῶν κυρίων ὀνομάτων παραλαμβάνεται· ἀλλὰ καὶ ἡ δοτική, ἣν περιποιεῖται ἡ τοῦ λόγου σύνταξις, οὐ δυναμένη [σύνταξιν] τὴν προστακτικὴν ἔγκλισιν παραδέξασθαι· ἀλλ' οὐδ' ἄλλην τινά. ἔστι γὰρ τὸ, Διονυσίῳ χαίρειν, ἐν ἴσῳ τῷ, Διονύσιε χαῖρε. ὅπερ οὐκ ἠδύνατο ἐγχωρῆσαι· ἐπεὶ ἡ προστακτικὴ ἔγκλισις, καὶ ἔτι ἡ κλητικὴ πτῶσις, ἐπὶ παροῦσι τοῖς προσώποις σύνεστιν· ᾧ δὲ τὰ τοῦ λόγου ἐπιστέλλεται, ἄπεστι· καὶ αὐτὸς δὲ ὁ ἐπιστέλλων, παρὼν, ἀπόντος σύνταξιν ποιεῖται. [τρίτου ἐστὶ προσώπου] ἡ γὰρ εὐθεῖα τῶν ὀνομάτων δέδεικται ὡς τρίτου ἐστὶ προσώπου-

14, An infinitus recte sumatur pro imperatiuo, ut solet Homerus usurpare: & constructionem in principiis epistolarũ usitatam, infinitum habere pro imperatiuo.

Recte itaq; Homerus solet omissa imperatiui constructione, pro eo infinitũ usurpare; quia est generalis, & in eum (sicuti demonstratũ est) speciales omnes trãssumuntur; & talis est constructio quæ in principiis epistolarũ adhibetur; Τρύφων Θέωνι χαίρειν: eo tantum ab Homeri consuetudine differẽs, quod illa ad imperatiuum natura ducitur, & pro ea licet imperatiuum sumere; qui tamen ei figuræ quam oratio accepit, non adhibetur: in constructione epistolarum, modus huiusmodi locum nõ habet: atq; hæc est ratio: Diximus iã nominatiuum propriorum nominũ necessario sumi: datiuum etiam, quẽ orationis cõstructio sibi vindicat, quia non potest admittere imperatiuum, neq; alium quempiam modum. nam illud, Διονυσίῳ χαίρειν, idem valet ac Διονύσιε χαῖρε. quod locum habere non poterat, quoniã modus imperatiuus, & casus vocatiuus, ad personas præsentes dirigitur: ea vero ad quã dirigitur epistolæ oratio, abest: quin ipse quoq; qui scribit epistolam, quamquam sit præsens, absentis tamen cõstructionem repræsentat. nã demonstratum est nominatiuum tertiæ esse personæ.

docuimus enim, cõstructionem nominatiui pronominum accedere, cũ præsentes personas demonstrat: quod rursus non patitur ista constructio: siquidem vtraque persona non cernitur, neque scribentis, neq; eius ad quem scribitur. Cum igitur nominatiuus, datiuus etiam sit iũctus in tertia persona; necesse omnino est, vt verba etiã quæ cum illis construuntur, in tertia persona versentur, & cum nominatiuo, nõ cum alio casu construantur. Verbum ergo propositi exẽpli, ad nominatiuum spectat; Ἀπολλώνιος Διονυσίῳ, χαιρέτω, vel etiam χαίρειν, vel χαίροι. atq; vt videamus orationẽ esse congruam, illud minime obscurum est, nominatiuum, non datiuum sociari cum verbo χαίρειν: & tamen significatio contraria est. nam χαίρειν pertinet ad eum, ad quem scribitur: perinde ac si iis qui sunt præsentes, diceremus χαῖρε, non nobis ipsis vindicantes verbũ χαίροιμι vel χαίρω. cum igitur hæc ratio assumi non possit, necesse est omnino vt cõstructio ad generalem infinitum referatur; quoniam nominatiuus ex vsu subauditur, quis dicit aut optat; Τρύφων Θέωνι εὔχεται ἢ λέγει χαίρειν. nam & alia ex vsu subaudiũtur; vt in illis, κόπτων ἀμφοτέρῃσιν, ὕει, βροντᾷ. præcipue vero verborum modi continent alia verba; sicuti demonstrauimus: nam in χαίροις continetur εὔχεσθαι: in χαῖρε, continetur προστάξαι: quæ

Od. ι.

ἐδείξαμεν γάρ, ὡς προσεχώρει ἡ ἐν εὐθείαις ἀντωνυμικὴ σύνταξις, ἐν δείξει οὖσα τῶν παρόντων προσώπων. ὃ πάλιν οὐκ ἐνεχώρει τῷ λόγῳ· εἴγε ἀμφότερα τὰ πρόσωπα οὐχ ὁρώμενά ἐστι, τό τε τοῦ ἐπιστέλλοντος καὶ τοῦ ἐπιστελλομένου. οὔσης οὖν τῆς εὐθείας καὶ ἔτι τῆς δοτικῆς κατὰ τὸ τρίτον πρόσωπον, ἀνάγκη πᾶσα καὶ τὰ συντασσόμενα ῥήματα, ἐν τρίτῳ καθίστασθαι, καὶ συντάσσεσθαι οὐκ ἐν ἄλλῃ πτώσει, ἢ τῇ εὐθείᾳ. τὸ γοῦν προκείμενον ῥῆμα, ἐπὶ τὴν εὐθεῖαν συντείνει, Ἀπολλώνιος Διονυσίῳ, χαιρέτω, ἢ καὶ ἔτι χαίρειν, ἢ χαίροι. καὶ ἵνα δῶμεν τὰ τοῦ λόγου κατάλληλα εἶναι, ἐκεῖνο σαφέστατόν ἐστιν, ὅτι [τὸ] ἴδωμεν κατὰ τὴν εὐθεῖαν μετέλαβε τοῦ χαίρειν, οὐχὶ τὸ κατὰ δοτικήν· ἦν γε μὴν τοὐναντίον τὸ προσχωρεῖν τῷ ἐπιστελλομένῳ τὸ χαίρειν· ὡσεὶ καὶ τοῖς ὑπ' ὄψιν σύνουσι φαμὲν τὸ χαῖρε, οὐχ ἑαυτοῖς προστιθέντες τὸ χαίροιμι ἢ χαίρω. οὐ δυναμένου οὖν τοῦ τοιούτου παραλαμβάνεσθαι, ἀνάγκη πᾶσα εἰς τὸ γενικὸν ἀπαρέμφατον παραλαμβάνεσθαι τὴν σύνταξιν· συνηθέστερον ὑπακουομένης τῆς συντάξεως, τίς λέγει, ἢ εὔχεται· + Soph. Τρύφων Θέωνι λέγει χαίρειν· συνήθως καὶ ἄλλων ὑπακουομένων, ὡς κόπτων ἀμφοτέρῃσιν, ὕει, βροντᾷ. ἐξαιρέτως γε μὴν καὶ τῶν ῥημάτων αἱ ἐγκλίσεις ἔχουσιν ἐγκείμενα ῥήματα, καθὼς ἐδείξαμεν ὅτι ἐν τῷ χαίροις ἔγκειται τὸ εὔχεσθαι· ἐν τῷ χαῖρε, τὸ προστάξαι· ἅπερ

μετὰ τῶν

μετὰ τῶν ἀπαρεμφάτων παραλαμβάνεται· ὁπηνίκα καὶ ἐγκλίσεις εἰς αὐτὰ μεταπίπτει. τὸ οὖν Διονυσίῳ χαίρειν, ἔχει συνυπάρχον ῥῆμά τι τῶν προκειμένων· φέρε εἰπεῖν, τὸ εὔχεται ἢ λέγει· ὃ γὰρ συνηθέστερον· ἔννοιαι γὰρ προστακτικώτεραι ὑπάρχουσι· καὶ ἐν δευτέροις προσώποις συγχρώμεθα, τὴν εὐκτικὴν παραπεμπόμενοι. οὕτως ἐχόντων καὶ τῶν Ὁμηρικῶν, ἄνδρα μοι ἔννεπε μοῦσα· χαῖρε ξεῖνε· μῆνιν ἄειδε θεά. ἐντεῦθεν γὰρ καὶ προειλόμην φάναι, ὡς ἀντὶ προστακτικῶν τὰ ἀπαρέμφατα παρείληπται κατὰ τὴν αὐτὴν σύνταξιν. σαφὲς γὰρ ὅτι καὶ τῷ ὑπακουομένῳ ῥήματι συγχωρεῖ τὰ τῆς αὐτοτελείας. οὐ γὰρ ἡ ἐξ ἀπαρεμφάτου σύνταξις καταλήγει λόγον, εἰ μὴ ἀναπληρωθείη δι' ὧν ἀπαρέμφατός ἐστι. τὸ οὖν δή, Θέων Ἀπολλωνίῳ χαίρειν, οὐκ ἂν εἴη αὐτοτελές, εἰ μὴ (ὡς εἴπομεν) τὸ συνυπάρχον ἐξακούοιτο ῥῆμα. Καὶ τοσαῦτα μὲν τὰ τῆς ἐπισταλτικῆς συντάξεως.

προσευκτικωτέραι

τῇ εὐκτικῇ

ιϛʹ, Τίνα μέρη λόγου ἐστὶ τὸ χρὴ καὶ τὸ δεῖ.

τμῆμα γʹ

Ἑπομένως ῥητέον καὶ περὶ τῆς ὑπολοίπου συντάξεως τῶν ἀπαρεμφάτων. τὸ δεῖ γράφειν, δεῖ ἀναγινώσκειν, χρὴ φιλολογεῖν, καὶ τὰ τούτοις ὅμοια, σαφὲς ὅτι τῆς ἐπισταλτικῆς συντάξεως διαφέρει. ἐκείνη μὲν γὰρ, ἀπροσδεὴς τῶν προκειμένων μορίων, λέγω τοῦ χρὴ καὶ τοῦ δεῖ· ἡ δέ, οὐ συγκλείει διάνοιαν χωρὶς τούτων, δεῖ ἀναγινώσκειν Τρύφωνα, δεῖ ἀκούειν σου, χρὴ ὁμιλεῖν Τρύφωνι. καὶ τί ποτε τὸ

cum infinitis sociantur: quandoquidem etiam ipsi modi in verba transferuntur. nam illud, Διονυσίῳ χαίρειν, cōtinet verbum aliquod ex iis quæ supra memorauimus; εὔχεται videlicet, aut λέγει: quod est vsitatius: sensum enim potius imperatiui quam optatiui indicat: & in secunda persona eo vtimur, reiicientes sensum optatiuum. Homerica etiam exempla id confirmant; ἄνδρα μοι ἔννεπε μοῦσα: χαῖρε ξεῖνε: μῆνιν ἄειδε θεά. atque iccirco volui superius dicere, infinitos modos pro imperatiuis in eadem constructione sumi. perspicuum enim est, sensum perfectum poscere verbum subauditum. neque enim infiniti constructio orationem claudit; nisi suppleatur aliquid ex iis quorum est modus infinitus. Quare istud, Θέων Ἀπολλωνίῳ χαίρειν, non fuerit absolutum; nisi (vt diximus) verbum quod continetur, subaudiatur. Sed hactenus de constructione inscriptionis epistolarum. Od. α. Od. ν. Il. α.

15, Χρὴ & δεῖ quæ partes orationis sint.

Consequens est vt de reliqua infinitorum cōstructione dissseramus. obscurū enim non est, δεῖ γράφειν, δεῖ ἀναγινώσκειν, χρὴ φιλολογεῖν, & alia id genus, differre ab ea constructione de qua paulo ante egimus. illa enim nō indiget his particulis, χρὴ inquam, & δεῖ: hæc autem, sine istis sensum non concludit; δεῖ ἀναγινώσκειν Τρύφωνα, δεῖ ἀκούειν σου, χρὴ ὁμιλεῖν Τρύφωνι. Est etiam decla- Pars III

randum illud, quidnam efficiat incongruam orationem in epistolarum inscriptionis cõstructione. hac enim quæstione prius explicata, fiet simul planum illud, ad quam orationis partem sit reuocãdum χρὴ & δεῖ: de quibus etiã in libro De aduerbiis, quoniam ille locus hoc poscebat, satis egimus: verũtamen nũc etiam idem, sed compendiosius, repetemus; vt hoc ipsum declaremus. absurdum enim esset, si hanc tractationẽ imperfectam relinqueremus. Quod igitur particulæ χρὴ & δεῖ sint aduerbia, hũc in modum probari posset: Quemadmodum in aliqua cõstructione modum optatiuũ antecedit aduerbium εἴθε, & imperatiuum, ἄγε: ita etiam infinitiuum antecedẽt aduerbia χρὴ & δεῖ. nemo enim debet suspicari cõiunctiones ea esse; quoniam non cõnectunt alteram orationẽ subsequẽtem; id quod coniunctionis proprium est. adde, quod indicant intẽtionem; sicuti aduerbia illa μάλα, vel ἄγαν: & in ea compositione versantur, quę nõ sequitur coniunctiones, sed vel verba, vel aduerbia. dicimus onim ἀπόδις, ἀπεχθές: ἀπῆλθεν; ἄπεστιν. Similis est ratio in ἀποδεῖ, ἀπόχρη. Illud etiam est in confesso, aduerbia diuersis personis & diuersis numeris iũgi, καλῶς γράφω, καλῶς γράφομεν: similiter in ceteris personis. at verba, eosdem numeros, easdemq; personas

ποιοῦν ἐστιν ἐν [μὲν] τῇ ἐπισταλτικῇ συντάξει τὸ ἀκατάλληλον, ἄξιον διαλαβεῖν. † προδιακριθέντος [γὰρ] τοῦ τοιούτου· λέγω δὴ τοῦ, τίνι μέρει λόγου ὑπαχθήσεται τὸ χρὴ καὶ τὸ δεῖ· περὶ ὧν καὶ ἐν τῷ ἐπιρρημάτων, ἀπαιτοῦντος τοῦ λόγου, ἐξεθέμεθα. καὶ νῦν δὲ ἐπιτομώτερα γενησόμεθα φράσει, ὑπὲρ τοῦ τὸ αὐτὸ συμπαραστῆσαι, ἄλογον ἡγούμενοι ἐλλιπῆ τὴν πραγματείαν καθίστασθαι. Ἡ μὲν οὖν συνηγορία τοῦ τὰ προκείμενα μόρια ἐπιρρήματα εἶναι, γένοιτ' ἂν τοιαύτη· καθάπερ τῆς εὐκτικῆς ἐγκλίσεως ἐπί τινος συντάξεως προηγεῖται ἐπίρρημα τὸ εἴθε· καὶ ἔτι τῆς προστακτικῆς τὸ ἄγε· [κατὰ τὸν] οὗτον τὸν τρόπον καὶ ἐπὶ τῆς ἀπαρεμφάτου ἡγήσεται τὸ χρὴ καὶ δεῖ ἐπιρρήματα. οὐδὲ γὰρ ἐκδοίό τις οἰήσεται, ὡς σύνδεσμοί εἰσι· καθὸ οὐ συνδέουσιν ἐπιφορὰν ἑτέρου λόγου· ὅπερ ἴδιον συνδέσμου. καὶ ἐμφαίνουσί τε ἐπίτασιν, ὡς καὶ τὸ μάλα, ἢ ἄγαν. καὶ ἔτι ἐν συνθέσει τοιαύτη καταγίνεται, ἢ οὐ παρακολουθεῖ συνδέσμοις, ῥήμασι δέ, ἢ ἐπιρρήμασι. φαμὲν γὰρ ἀπόδις, ἀπεχθές, ἀπῆλθεν, ἄπεστιν· εἶχε δὲ οὕτω τὸ ἀποδεῖ, ἀπέχρη. ὁμόλογον δὲ κἀκεῖνο, ὡς τὰ ἐπιρρήματα συνέστι διαφόροις προσώποις, συνέστι διαφόροις ἀριθμοῖς· καλῶς γράφω, ἢ καὶ γράφομεν· καὶ ἔτι ἐπὶ τῶν ἑξῆς προσώπων. † τά γε μὴν ῥήματα συμπληθύνεται καὶ συμπαραλαμβάνει τοῖς προσώποις, ἡμεῖς γράφομεν, ὑμεῖς γράφετε.

expunge D.

περὶ ἐπιρρ. D.

ἄλογον

ἴσ. χρὴ συμπαραλαμβάνεται τοῖς προσώποις: at D. συμπαραλαμβάνει τὰ πρόσωπα,

γράφετε. οὐ μὴν τὸ χρὴ καὶ τὸ δεῖ· χρὴ γὰρ ἡμᾶς γράφειν, χρὴ ἐμὲ γράφειν· καὶ δεῖ σε ἀναγινώσκειν, δεῖ ὑμᾶς διαλέγεσθαι. καὶ ἕνεκα πάλιν τοῦ τοιούτου, μᾶλλον ἐπιρρήματά ἐστιν. οὐδὲ γὰρ ἐνὸν φάναι, ὡς ῥήματά ἐστιν ἀπαρέμφατα· τοῖς παρακολουθεῖ, τὸ [μὴ] εἰς ἀριθμὸν διάφορον παραλαμβάνεσθαι, τὸ μὴ διακρίνειν πρόσωπον· περὶ ὧν καὶ ἐν τοῖς προκειμένοις ἐκλεθείμεθα. ἰδοὺ γὰρ οὔτε τὰ τῆς φωνῆς ὑπάρχει ἰδιώματα, οὔτε τὰ τῆς συντάξεως. ποῖον γὰρ ἀπαρέμφατον εἰς ει δίφθογγον λήγει, ἢ εἰς η; ἢ πότε ἀπαρέμφατα δύο, μετὰ πτωτικοῦ τινος, λόγον παρίστησι; φαμὲν δέ γε, δεῖ περιπατεῖν Διονύσιον. καὶ ἕνεκα τούτου ἀποστήσεται οὐ ἀριθμοῦ τῶν ἀπαρεμφάτων. οὐ μὴν πάλιν ὑποσταλήσεται τοῖς λοιποῖς ῥήμασι, καθὸ πάλιν αἰτεῖται τὸ ἀδιάκριτον πρόσωπον. καὶ ἔτι ὁ μὴ παρακολουθῶν ἀριθμός· ὃς ἦν κοινὸς πάντων ῥημάτων. Ἀλλ' ἔστι γε πρὸς ταῦτα φάναι· εἰ ἔστιν ἐπιρρήματα αὐτὰ μόνα φερόμενα ἐπὶ ἀπαρέμφατα, ὡς τὸ εἴθε ἐπὶ εὐκτικὰ, καὶ τὸ ἄγε ἐπὶ προστακτικὰ, τί δήποτε οὐ συμφέρεται τοῖς κατ' εὐθεῖαν προσώποις; ὡς ἔχει τὸ, εἴθε ἐγὼ γράφοιμι, εἴθε ἡμεῖς γράφοιμεν· ἄγε γράφετον ὑμεῖς, ἄγε γράφετε ὑμεῖς. οὐδὲ γὰρ ἔστι φάναι, δεῖ ἐγὼ γράφειν, οὐδὲ δεῖ ἡμεῖς γράφειν· τῆς τῶν ῥημάτων συντάξεως τὸ τοιοῦτον οὐκ ἐμποδιζούσης, εἴθε ὑμεῖς ἀκούοιτε, εἴθε ὑμᾶς θεάσαιτο, εἴθε ὑμῶν ἀκούοι. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ὁμοίων.

γρ. περὶ διακρ.

γρ. ὑποταγήσεται

γρ. τῶν προσώπων

αὐτὰ μόνον D.

assumunt. hoc non faciunt χρὴ & δεῖ. dicimus enim χρὴ ἡμᾶς γράφειν, χρὴ ἐμὲ γράφειν: & δεῖ σε ἀναγινώσκειν, δεῖ ὑμᾶς διαλέγεσθαι. atq; icc irco etiã aduerbia potius q̃ verba sunt. nam ne illud quidem dicendum est, verba esse infinita: quibus accidit vt cũ diuersis numeris, diuersisq; personis, sine discrimine iungãtur: de quibus etiam superius egimus. nam ecce, neq; proprietates vocis hoc patiuntur, neque etiam constructio. quis.n. infinitus terminatur ει diphthõgo, aut η? vel quãdo duo infiniti cum aliquo casuali orationẽ constituunt? dicimus.n. δεῖ περιπατεῖν Διονύσιον: & propterea in numerum infinitorũ cadere non poterunt. haud tamen ceteris subiicientur verbis; quoniã nullam habẽt discretionem personarum, nullos numeros consequentes, qui sunt cõmunes omnium verborum. Sed cõtra istas rationes dicendum est: Si sunt aduerbia χρὴ & δεῖ, quæ ipsa sola cũ infinitis sociẽtur; sicuti ἄγε cũ imperatiuis, & εἴθε cũ optatiuis: cur nã non construũtur etiam cum personis quæ habẽt nominatiuum; vt est illud, εἴθε ἐγὼ γράφοιμι, εἴθε ἡμεῖς γράφοιμεν: ἄγε γράφετον ὑμεῖς, ἄγε γράφετε ὑμεῖς? nã dicere non licet δεῖ ἐγὼ γράφειν, neque δεῖ ἡμεῖς γράφειν. at cõstructio verborum hoc non impedit; εἴθε ὑμεῖς ἀκούοιτε, εἴθε ὑμᾶς θεάσαιτο, εἴθε ὑμῶν ἀκούοι. cadem est ratio in aliis id genus.

Est præterea verborum proprium, vt etiam in præteritis extrinsecus assumat tempus: at nō aduerbiorum. dicimus enim σήμερον γράφω, σήμερον ἔγραφον. nam verbum in principio assumit tempus, & aduerbiū simul adiicitur principio. At dicimus δεῖ γράφειν, & ἔδει γράφειν:& ἔδει assumit tempus, perinde atq; ἔπλει & ἔπνει: γράφειν autem nō assumit. Atque ita, quod attentatur & asseritur esse aduerbiū, fortasse satis significationis dat se esse verbum. contra, γράφειν vocaretur in discrimen amittendæ naturæ verbi: pro quo nos omnem contulimus diligentiam, vt fidem faceremus, omnium verborū hoc esse generalissimū. Adde etiam, quod conduplicatur, qđ est verborum; vt in γεγραφέναι, & similibus. Ac ne illud quidem asserimus, verba, quæ tempus nō assumunt in præteritis, non esse verba: quandoquidem ceteri quoq; modi non assūmunt, vno tãtum excepto, nempe indicatiuo: sed illud verum est, ea quæ assumūt, verbi vim indicare. idem indicat ἐχρῆν & ἔδει. tempus videlicet in se assumptū: quæ simul, vt verba, modos infinitos habent, χρῆναι & δεῖν, ad similitudinem στῆναι & πνεῖσθαι. Quinetiam ex tenoribus idē perspici potest. circumflectitur δεῖ, perinde atque πλεῖ. Quid ergo? nonne etiā aduerbia circumflectuntur, vt πεῖ, αὐτεῖ, & πῆ per η? primum, est Doricum; hoc autem non accidit verbo δεῖ:

† ἴδιον ῥημάτων δὲ καὶ ἐν παρῳχημένοις χρόνον ἔξωθεν προσλαμβάνειν· οὐ μὴν ἐπιρρημάτων. † φαμὲν [γὰρ] σήμερον γράφω, σήμερον ἔγραφον· τοῦ μὲν ῥήματος προσλαμβάνοντος κατ' ἀρχὴν χρόνον, τοῦ δὲ ἐπιρρήματος συναρχομένου. [ἴσ. συναρχομένου] φαμὲν δέ γε, δεῖ γράφειν, καὶ ἔδει γράφειν· καὶ τὸ μὲν ἔδει, χρόνον προσέλαβεν, ὁμοίως τῷ ἔπλει καὶ ἔπνει· τό γε μὴν γράφειν οὐ προσελάμβανε. καὶ τάχα τὸ παρακινδυνευόμενον εἶναι ἐπίρρημα, ἔνδειξιν ἱκανὴν τοῦ εἶναι ῥῆμα παρείσησι· τὸ δέ γε γράφειν, † παρεκινδυνεύετο εἰ ῥῆμα, περὶ οὗ πᾶσαν ἀκρίβειαν εἰσηνεγκάμεθα, ὡς ἔστι γενικώτατον τῶν ἄλλων ῥημάτων. πρὸς οἷς καὶ διπλασιάζεται· ὅπερ ἴδιον ῥημάτων· ὡς ἐν τῷ γεγραφέναι καὶ τοῖς ὁμοίοις. οὐδὲ γὰρ ἐκεῖνο φαμέν, ὡς τὰ μὴ προσειληφότα κατὰ τοὺς παρῳχημένους τὸν χρόνον, [τῷ χρόνῳ] οὐχὶ ῥήματά ἐστιν· ἐπεὶ καὶ αἱ ἑξῆς ἐγκλίσεις ἅπασαι, οὐ προσλαμβάνουσι· μόνη γὰρ ἡ ὁριστική· ἀλλ' ἐκεῖνο ἦν ἀληθές, ὡς τὰ προσλαβόντα, ῥήματος μερισμὸν ὑπαγορεύει. ὑπεδείκνυτο δὲ καὶ τὸ ἐχρῆν, καὶ τὸ ἔδει, προσειληφότα· † οἷς καὶ ὡς ῥήμα [ἴσ. ῥήμασι] συνέστιν ἀπαρέμφατα, τὸ χρῆναι καὶ τὸ [μαστω ἔστω] δεῖσθαι· καθότι καὶ στῆναι καὶ πνεῖσθαι. ἀλλὰ καὶ ἐκ τῶν τόνων ἔστιν αὐτὰ καταλαβέσθαι. περισπᾶται δὲ δεῖ ὁμοίως τῷ πλεῖ. † οὐχὶ οὖν καὶ ἐπιρρήματα περισπᾶται, ὡς τὸ πεῖ, αὐτεῖ, καὶ πῆ διὰ τοῦ η· τὸ πρῶτον, Δώριον· ὅπερ οὐ παρείπετο τῷ δεῖ

τὸ δεύτε-

τὸ δεύτερον, ἀντὶ τοῦ παρακειμένου τοῦ ποῦ· τὸ δ' αὐτῇ, ἀντὶ τοῦ οὗ, καὶ αὐτοῦ ὃ σύνεστι τῷ αὐτῇ. ὅπερ οὐ παρείπετο πάλιν τῷ δεῖ. ἦν γὰρ κατὰ συναίρεσιν ἐκ τοῦ δέει συνῃρημένον, ὁμοίως τῷ πλέει, καὶ ῥέει, καὶ χέει· πρῶτον δὲ πρόσωπον ἔχει † τὸ δέω, ὡς τὸ πλέω· ὅπερ ἐστὶν εὑρέσθαι καὶ ἐπὶ ἑτέρου ῥήματος, τοῦ δέω, σημαίνοντος τὸ ἐνδέομαι. ἓν δὲ κἀπὶ τοῦ χρὴ τὸ πάθος παρεπόμενον, ὃ συνωνυμεῖ τῷ χρῶ καὶ χρέω, ἀφ' οὗ καὶ τὸ χρέος, ὡς ἀπὸ τοῦ δέω τὸ δέον. καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι, ὡς φῶ φημί· ἀφ' οὗ τρίτον πρόσωπον χρησίν, ὡς φησίν· ἐξ οὗ ἐν ἀποκοπῇ ἀπετελέσθη, ὁμοίως τῷ παρὰ Ἀνακρέοντι, σὲ γὰρ Ἰαργήλιος ἐμμελέως δίσκειν.

ιϛʹ, Πότε τοῖς ἀπαρεμφάτοις συντάσσεται· καὶ τί τὸ τούτου αἴτιον.

Καὶ τὰ μὲν τῆς φωνῆς οὕτω καθιστέον· τά γε μὴν τῆς συντάξεως, τῇδε ἀναπληρωθείη. δοκεῖ ἑνικῶς συντάσσεσθαι διαφόροις προσώποις καὶ ἀριθμοῖς, ῥῆμα καθεστὼς ὁριστικόν. ὅπερ οὐ παρείπετο, εἰ τὴν σύνταξιν ἐλάμβανε τῶν προσώπων καὶ τῶν ἀριθμῶν. ἔστι γὰρ τὸ δεῖ ἡμᾶς γράφειν, ἔχον σύνταξιν τοῦ δεῖ πρὸς τὸ γράφειν, οὐ πρὸς τὸ ἡμᾶς. καὶ διὰ τοῦτο ἀπολύτως ἐν τῇ τοιαύτῃ συντάξει, οὔτε πρόσωπον διακρίνει, οὔτε ἀριθμόν· † ἐπεὶ ᾧ συμφέρεται, τοῦτό ἐστιν ἀπαρέμφατον· καὶ διὰ τοῦτο οὐ συμμετατίθεται τῷ συμμετατιθεμένῳ· λέγω δὲ τῷ ἀπαρεμφάτῳ.

Ισ. οὐ: Soph. μὴ συμ.

secundum est loco vicini adverbii ποῦ: αὐτῇ autē, pro genitiuo οὗ & αὐτοῦ, qui continetur in αὐτῇ. id quod rursus nō accidit verbo δεῖ. est enim per cōtractionem factum ex integro verbo δέει, perinde atq; πλέει, ῥέει, & χέει: & habet primā personam δέω, ad similitudinē verbi πλέω: quæ reperitur etiam in altero verbo, δέω scilicet, quod significat *indigeo*. Accidit præterea apocope in χρή. est enim synonymū verbo χρῶ, & χρέω, ex quo fluxit τὸ χρέος, vt a δέω τὸ δέον. χρῶ autē verbo accidit deriuatio χρῆμι, vt verbo φῶ, φημί: ex eo itaq; nata tertia persona χρησίν, vt φησίν: ex quo deinde per apocopen factum χρή: quale est illud apud Anacreontem, σὲ γὰρ παργήλιος ἐμμελῶς δίσκειν.

16, *Quando cum infinitis modis construatur, & quæ sit huius rei causa.*

Acistarum partiū vox ita est demonstranda: earū vero constructio ita compleri poterit: verbum quod modi indicatiui est, numeri singularis, cum diuersis personis ac numeris cōstruitur: quod ei non accideret, si sumeret cōstructionem personarū atq; numerorum. nā δεῖ ἡμᾶς γράφειν, habet constructionē verbi δεῖ cum infinito γράφειν, non cum accusatiuo ἡμᾶς: & propterea ppetuo in huiusmodi constructione, neq; personā, neq; numerū discernit: quoniā ea pars quacum construitur, est infinitus: eamque ob causam non cōmutatur iunctum cum eo quod nō commutatur, nempe cū infinito.

Atque etiam significatio est eiusmodi. nam cum res gerendę non geruntur, tum supradictorum verborum appositio sumitur ad absolutionem eorum quæ requiruntur. nam δεῖ φιλολογεῖν, est perinde ac si dicas, ἐπιλείπει τὸ φιλολογεῖν: in quo etiamsi verbo ἐπιλείπει vtamur, nihilominus cõstructio erit imperfecta: perfecta enim est, ἐπιλείπει τὸ φιλολογεῖν ἡμᾶς, ἐπιλείπει τὸ φιλολογεῖν ἐμέ. neque est qui dicere audeat λείπει esse aduerbium; etiamsi infinite vna figura tantum proferatur, propter cõstructionem quam habet cũ infinito. Hæc .n. & sola causa fuerit cur in infinitis istiusmodi, qui sunt in epistolarũ inscriptionibus, χρὴ vel δεῖ nõ assumantur. nam diximus in infinitis huiusmodi subaudiri verbum λέγει vel εὔχεται: Ἀπολλώνιος Διονυσίῳ λέγει ἢ εὔχεται χαίρειν. illud autem cõsistere non potest, vt infinitum admittat duas verborum constructiones indicatiui modi, sed vni⁹ tantum. Itaque dicimus θέλει γράφειν, vt δεῖ γράφειν. cum tamẽ in illo, Διονυσίῳ χαίρειν, subauditum contineatur λέγει, vel εὔχεται, si χρὴ vel δεῖ interponatur, consistere non potest; nisi recesserit epistolaris constructio. tum enim licebit nobis dicere, δεῖ χαίρειν. Præterea χαίρειν non accedit ad eum ad quẽ scribitur, neq; in eo insitũ est, quod in constructione δεῖ χαίρειν, inerit.

ἔστι γὰρ καὶ τὸ δηλούμενον τοιοῦτον. † τῶν γὰρ μὴ γινομένων πραγμάτων ἐλλιπεστέρων ἀποτελουμένων, ἡ ἐγγινομένη παράθεσις τῶν προκατειλεγμένων ῥημάτων παρελαμβάνετο, εἰς ἐντέλειαν τῶν προσηκόντων. τὸ γὰρ δεῖ φιλολογεῖν, τοιοῦτόν ἐστιν· ἐπιλείπει τὸ φιλολογεῖν· ὡς εἰ καὶ αὐτῷ τῷ λείπει προσχρησαίμεθα, οὐδὲν ἧττον τὰ τῆς συντάξεως ἐνδεῆ καταστήσεται· λείπει τὸ φιλολογεῖν ἡμᾶς, λείπει τὸ φιλολογεῖν ἐμέ. καὶ οὐκ ἔστιν ὅστις τολμήσει φάναι τὸ λείπει ἐπίρρημα, κἂν ἀπαρεμφάτως καθ' ἕνα σχηματισμὸν ἐκφέρηται, ἕνεκα τῆς οὔσης συντάξεως τοῦ ἀπαρεμφάτου. † αὕτη γὰρ καὶ μόνη ἂν εἴη αἰτία τοῦ μὴ ἐν τοῖς τοιούτοις ἐπισταλτικοῖς ἀπαρεμφάτοις [τὸ χρὴ ἢ δεῖ παραλαμβάνεσθαι. εἴπομεν γὰρ ὡς ἐν τοῖς τοιούτοις ἀπαρεμφάτοις] ὑπακουόμενόν ἐστι τὸ ῥῆμα τὸ λέγει, εὔχεται· Ἀπολλώνιος Διονυσίῳ λέγει ἢ εὔχεται χαίρειν· ἀσύστατον δὲ παραδέξασθαι ἀπαρέμφατον δύο συντάξεις ὁριστικῶν ῥημάτων. ἑνός γε μήν. καὶ διὰ τοῦτο φαμέν, † θέλει γράφειν, [ὡς] δεῖ γράφειν. ἐγκειμένου γε μὴν ἐν τῷ Διονυσίῳ χαίρειν, τοῦ λέγει, ἢ εὔχεται, ἀσύστατον τὸ ἐπενεχθῆναι τὸ χρή, ἢ δεῖ, εἰ μὴ ἀποσταίη ἡ ἐπισταλτικὴ σύνταξις, ἐφ' ἧς ἂν λοιπὸν φαίημεν, δεῖ χαίρειν. ἄλλως τε οὐ προσγίνεται τῷ ἐπιστελλομένῳ τὸ χαίρειν, οὐχ ὑφίσταται, ὅπερ ἐν τῷ δεῖ χαίρειν ἐσήμηνε).

ἴσ. γὰρ τὸ δηλούμενον τοιοῦτον· τῶν γιν. Soph. ἴσ. ἐλλιπέστερον

ἴσ. ὁ δ.

ἴσ. οὐχ ὑφίσταται

Ἑξῆς

τιμῶμαι δέ

Ἑξῆς ῥητέον καὶ περὶ τῶν συντασσομένων πτώσεων τοῖς ἀπαρεμφάτοις· καὶ πρῶτόν γε ἐξεταστέον, εἰ ἀληθὲς τὸ ἐπὶ αἰτιατικὴν αὐτὰ πάντα φέρεσθαι, ὡς τὸ χρὴ καὶ δεῖ· χρὴ ἀναγινώσκειν Διονύσιον, καὶ τοῖς τοιούτοις. οὐ μέντοι τὸ ἀληθὲς ὂν τοῦ λόγου, ὡς οὐκ αὐτὰ τὰ ἀπαρέμφατα πάντως αἰτιατικὴν ἀπαιτεῖ πτῶσιν, τὸ καὶ ἐν τοῖς ὁριστικοῖς, καὶ τῇ ὑπολοίπῳ ἐγκλίσει συντασσομένην. ἔστι γὰρ τὰ τοῦ λόγου οὕτως ἔχοντα· τὸ χρὴ καὶ τὸ δεῖ, αἴτια γίνεται αἰτιατικῆς παραθέσεως· καθὸ ῥήματα ὄντα, πλαγίαν ἀπαιτεῖ τὴν δέουσαν· καθὸ καὶ ἄλλοις πλείοσι ῥήμασι τὸ τοιοῦτον παρηκολούθησε τὸ ἐπὶ γενικὴν φέρεσθαι, ἢ δοτικὴν, ἢ αἰτιατικήν· ᾧ λόγῳ καὶ ἡ τοῦ λείπει σύνταξις ἐπ' αἰτιατικὴν φέρεται· δεῖ ἐμὲ, δεῖ σέ. τοῦτο γάρ ἐστι τὸ ἀκατάλληλον τοῦ λόγου, δεῖ ἐμὲ ἀκούειν. οὐ γὰρ, ὡς ἔφαμεν, ἡ τῶν ἀπαρεμφάτων χρῆσις τὸ τοιοῦτον ἀπαιτεῖ. παράκειται γοῦν ἡ ἐπισταλτικὴ σύνταξις, οὐκ οὔσης αἰτιατικῆς πτώσεως. ἀλλὰ καὶ ἐν τοῖς τοιούτοις, τῷ περιπατεῖν ἥδομαι· καὶ, περιπατεῖν ἐθέλω ἤπερ γράφειν· ἐθέλει κοιμᾶσθαι ἢ περιπατεῖν. ὧν εἴ τις ἀφέλοι τὰ συνόντα μόρια καὶ προσθείη τὸ δεῖ, πάντως ὑπακουσθήσεται καὶ ἡ αἰτιατική· δεῖ περιπατεῖν, χρὴ διαλέγεσθαι. ὥστε καὶ τὰ ἀπαρέμφατα λαμβάνουσι τὴν αἰτιατικὴν, οὐ τὴν ἐν τῷ καθόλου, ἀλλὰ τὴν ἐμφερομένην ὑπολοίποις ἐγκλίσεσι,

ἴσ. παίτας D.

τὸ κατ. D.

ἐν ταῖς ἐπ. Soph.

Pars IIII

Dicendũ deinceps est de casibus, qui construuntur cum infinitis: ac primum quærendum est an verũ sit, infinitos omneis modos cum accusatiuo construi, quemadmodũ χρὴ & δεῖ, χρὴ ἀναγινώσκειν Διονύσιον, & alia id genus. vera tamẽ oratio illa erat, Infinitos ipsos nõ omnino exigere accusatiuum; qui cũ indicatiuo & reliquis cõstruitur modis: & ratio hæc est: χρὴ & δεῖ faciunt, vt accusatiuus apponatur; quoniam verba sunt, & postulant obliquum conuenientem; quemadmodum & aliis quamplurimis verbis idẽ accidit vt vel cũ genitiuo, vel cum datiuo, vel cum accusatiuo cõstruantur. eadem ratione cõstructio verbi λείπει fertur ad accusatiuum; δεῖ ἐμὲ, δεῖ σέ. hæc enim est oratio congrua; δεῖ ἐμὲ ἀκούειν. non.n. infinitorũ ratio (vt diximus) hoc postulat. nam patet in epistolarum inscriptionibus, & in eiusmodi constructione, nullum accusatiuum esse. atq; etiam in aliis similibus; τῷ περιπατεῖν ἥδομαι: & περιπατεῖν ἐθέλω, ἤπερ γράφειν: ἐθέλει κοιμᾶσθαι, ἢ περιπατεῖν. quibus si quis detrahat partes iunctas, & reponat earum loco δεῖ, etiam accusatiuus omnino subaudietur: δεῖ περιπατεῖν, χρὴ διαλέγεσθαι. Itaq; etiam infiniti sumunt accusatiuum non generalem, sed eũ qui ceteris etiã modis aptari potest;

φιλεῖ Θέωνα, φιλεῖ Τρύφωνα, ἐὰν φιλῇ Τρύφωνα: vnde illa quoq; oritur oratio, φησὶ φιλεῖν Τρύφωνα. vnde etiam duo accusatiui ad huiusmodi constructionem accedunt. genitiui enim & datiui fit cõstructio, cum reliqui etiam modi ad genitiuum ferũtur; ἀκούει Τρύφωνος: vel ad datiuum, δίδωσι Τρύφωνι: & in ceteris itẽ modis. ex quibus rursus infiniti transsumpti, eundem casum recipiunt; φησὶν ἀκούειν Τρύφωνος, φησὶ διδόναι Τρύφωνι. quibus si addideris δεῖ, subtracto necessario (sicuti demonstrauimus) verbo φησὶ, rursus accusatiuus accedet; δεῖ ἀκούειν Τρύφωνος Ἀπολλώνιον, δεῖ ἐρᾶν Θέωνος ἐμὲ, δεῖ σοι Τρύφωνα χαρίζεσθαι. nam si in his etiam exemplis accusatiuum ex integra constructione subtraxeris, constructio erit similis eius in qua deficiebat accusatiuus, & subaudiebatur; si ita dixeris, δεῖ σοι χαρίζεσθαι, δεῖ σου ἀκούειν. hic enim accusatiuus omnino subauditur: quem si receperit oratio, suam absolutionem demonstrabit. nam nisi deesset accusatiuus, sequeretur vt verbum adiunctum, in eodem pleonasmo, in quo accusatiuus, versaretur; δεῖ σοι χαρίζεσθαι ἐμὲ, δεῖ ἀκούειν σου Δίωνα.

17, *Quando infiniti modi ad duos ferantur accusatiuos.*

Cum igitur hæc ita se habeant, si verbum (quemadmodum iam diximus) infinitus inquam modus, natura feratur ad accusatiuum, tunc vel duo accusatiui accedunt:

φιλεῖν Θέωνα, φιλεῖν Τρύφωνα, ἐὰν φιλῇ Τρύφωνα· καὶ οὕτω γὰρ, φησὶ, φιλεῖν [καὶ] Τρύφωνα. ἔνθεν γὰρ καὶ δύο αἰτιατικαὶ παραγίνονται τῇ τοιαύτῃ συντάξει. γενικῆς μὲν γὰρ καὶ δοτικῆς γίνεται σύνταξις, ὅλαι πάλιν καὶ ἡ ὑπόλοιπος ἔγκλισις ἐπὶ γενικὴν φέρηται, ἀκούει Τρύφωνος· ἢ ἐπὶ δοτικῆς, δίδωσι Τρύφωνι· καὶ πάλιν ἐπὶ τῶν ἑξῆς ἐγκλίσεων· ἐξ ὧν πάλιν τὰ μεταλαμβανόμενα ἀπαρέμφατα τὸ αὐτὸ ἀναδέχεται, φησὶν ἀκούειν Τρύφωνος, φησὶ διδόναι Τρύφωνι. οἷς εἴ τις προσθείη τὸ δεῖ, ὑφελομένος ἀναγκαίως τὸ φησὶ, καθὼς ἐδείξαμεν, πάλιν προσγενήσεται καὶ ἡ αἰτιατικὴ, δεῖ ἀκούειν Τρύφωνος Ἀπολλώνιον, δεῖ ἐρᾶν Θέωνος ἐμὲ, δεῖ σοι Τρύφωνα χαρίζεσθαι. καὶ γὰρ ἐπὶ τούτων τὴν αἰτιατικὴν ὑποστέλλειν ἐθέλοι τις τῇ δευτέρῃ συντάξει, ὁμόλογον ἔσται τῇ λειπούσῃ αἰτιατικῇ, εἰ οὕτω φαίημεν, δεῖ σοι χαρίζεσθαι, δεῖ σου ἀκούειν. πάντως γὰρ αἰτιατικὴ ἐστὶν ἡ ὑπακουομένη. ἣν ἀπολαβὼν ὁ λόγος, τὸ ἑαυτοῦ τέλος παρέστησε· ἐπεὶ, εἰ μὴ ἔλιπεν, ἔδει τὸ προσενεχθὲν ὡς ἐν πλεονασμῷ τῆς αἰτιατικῆς καταγίνεσθαι, δεῖ σοι χαρίζεσθαι ἐμὲ, δεῖ ἀκούειν σου Δίωνα. δοτικῶ

ιζ', Πότε ἀπαρέμφατα ἐπὶ δύο αἰτιατικὰς φέρεται.

Τούτων οὖν τῇδε ἐχόντων, ἐὰν (ὡς εἴπομεν) τὸ ῥῆμα φύσει φέρηται ἐπ' αἰτιατικὴν, λέγω τὸ ἀπαρέμφατον, τότε τηνικαῦτα καὶ δύο αἰτιατικαὶ παραγίνονται· τότ.

μία

συντάξεως μία μὲν, ἐκ συνθέσεως τοῦ δεῖ καὶ χρή· ἑτέρα δὲ, ἐκ τῆς τοῦ ἀπαρεμφάτου συντάξεως· ὡς ἔχει τὰ τοιαῦτα, δεῖ Τρύφωνα διδάσκειν Διονύσιον, δεῖ Τρύφωνα τιμᾶν Διονύσιον, δεῖ σε ἐμὲ τιμᾶν.

Ἔστι καὶ ἑτέρα σύνταξις δύο αἰτιατικὰς ἀποτελοῦσα, ὁπηνίκα καὶ τὰ ἐγκείμενα ῥήματα ἐπ᾽ αἰτιατικὰς φέρεται· οἷον τὸ ἀναγκάσαι, τὸ ποιῆσαι, καὶ τὰ ὅμοια. φέρεται γὰρ ἐπ᾽ αἰτιατικήν. ἀλλὰ καὶ τὸ ἑλεῖν, ὑβρίσαι, καὶ τὰ τούτοις ὅμοια. ἐφ᾽ ἧς αὖ συντάξεως γένοιτο, ἀνάγκασόν με, ὕβρισόν με, ποίησον Τρύφωνα φιλεῖν Ἀπολλώνιον. ὑβρισόν D. Ἐκ δὴ τῶν τοιούτων συντάξεων, καὶ τὰ ἀμφίβολα γίνεται. γενικῆς μὲν γὰρ οὔσης ἢ δοτικῆς, εὔληπτα τὰ τοῦ λόγου ἐστὶ, λέγουσι Τρύφωνα ἀκούειν Ἀπολλωνίου, ποίησον Τρύφωνα χαρίσασθαι Ἀπολλωνίῳ· οὐ μὴν ἐν τῷ, δὸς δέ τ᾽ ἔμ᾽ ἄνδρα ἑλεῖν· συνέβη ἐμὲ φιλεῖν Τρύφωνα. προσνεῦον γὰρ τὸ ἀπαρέμφατον ἀμφοτέραις ταῖς αἰτιατικαῖς, οὐκ ἐμφανῆ καθίστησι τὸν ἐνεργοῦντα καὶ τὸν ἐνεργούμενον.

πή, Πῶς διακριτέον τὰ ἐν ἀμ[illegible] τῶν δύο αἰτιατικῶν.

Τὰ μέντοι τῆς διαλύσεως οὕτως ἂν ἔχοι εἶτ᾽ ἐκ τοῦ πλουτεῖ Τρύφων, ὑγιαίνει Τρύφων, γίνεται μετάληψις, φασὶ Τρύφωνα πλουτεῖν, λέγουσι Τρύφωνα ὑγιαίνειν. δῆλον ὡς καὶ ἐπὶ τῶν ὁμοίων τοῦτο γενήσεται. ἔστω γάρ τι, Θέων ὕβρισε Δίωνα. † πρόδηλον

vnus, ex ſtructura verbi δεῖ & χρή alter, ex infiniti modi cõſtructione: vt ſunt illa exempla; δεῖ Τρύφωνα διδάσκειν Διονύσιον, δεῖ Τρύφωνα τιμᾶν Διονύσιον, δεῖ σε ἐμὲ τιμᾶν. Eſt altera præterea conſtructio, quæ duobus abſoluitur accuſatiuis; cum nimirum verba etiam inſita ad accuſatiuos feruntur; vt eſt ἀναγκάσαι, ποιῆσαι, & alia id genus: conſtruuntur enim cum accuſatiuo. quinetiam ἑλεῖν, ὑβρίσαι, & alia horum ſimilia. In qua conſtructione fuerint ἀνάγκασόν με, ὕβρισόν με, ποίησον Τρύφωνα φιλεῖν Ἀπολλώνιον. Atq; ex hoc genere conſtructionum oriuntur ambigua. nam ſi genitiuum vel datiuum habeat cõſtructio, facile poteſt percipi; λέγουσι Τρύφωνα ἀκούειν Ἀπολλωνίου, ποίησον Τρύφωνα χαρίσασθαι Ἀπολλωνίῳ. At non eadem eſt ratio in illo, δὸς δέ τ᾽ ἔμ᾽ ἄνδρα ἑλεῖν. & συνέβη ἐμὲ φιλεῖν Τρύφωνα. in his enim exemplis infinitus modus inclinat in vtrumque accuſatiuum: atque ita non patefacit agentem ac patientem. Il. κ.

18, *Quomodo ſit diſtinguenda oratio ambigua, poſita in duobus accuſatiuis.*

Sed poterit ambiguitas iſta hoc modo tolli, ſi fiat videlicet transſumptio; vt in hoc exemplo; πλουτεῖ Τρύφων, ὑγιαίνει Τρύφων: φασὶ Τρύφωνα πλουτεῖν, λέγουσι Τρύφωνα ὑγιαίνειν. idem nimirum erit in ſimilibus. Fac vero eſſe aliquid eiuſmodi, Θέων ὕβρισε Δίωνα. hic patet Priſc. lib. 18.

persona eius qui fecit iniuriam, & eius qui accepit. hinc igitur fiet trāssumptio significatione eadem; λέγουσι Θέωνα ὑβρίσαι Δίωνα. sic nemo ambiget verbum cū priore accusatiuo iungendū esse, cum quo erat in nominatiuo iunctum; Τρύφων ὕβρισε, λέγουσι Τρύφωνα ὑβρίσαι, subsequente persona quæ patitur; exempli gratia Δίωνα, Θέωνα. Hinc ergo fit vt etiam prior accusatiuus cum infinito iunctus, actiuam sequatur significationem: vt si quis etiam sic enuntiet; περιέχει ὁ οὐρανὸς τὴν γῆν, λέγουσι περιέχειν τὸν οὐρανὸν τὴν γῆν: & vice versa, περιέχει ἡ γῆ τὸν οὐρανόν, λέγουσι τὴν γῆν περιέχειν τὸν οὐρανόν. nam illud etiam est in confesso, significationem actiuā antecedere passiuā. tunc enim patitur quis, cum in se suscipit agentis actionem: id quod earum negantia testantur. nam qui dicit οὐκ ἔδειρα, negat antecedentem significationem in illius persona qui passiuam significationem fassus est in verbo δαρῆναι. Et si hoc verum est, rationi fuerit consentaneum, vt verbum quod accusatiuo concessit actiuam significationem, indicet simul secundum accusatiuum in passiua significatione positum; quandoquidem passiones sequuntur actiones; συνέβη ἐμὲ φιλεῖν Ἀπολλώνιον. hoc enim fuerit eiusmodi, ἐγὼ φιλῶ Ἀπολλώνιον. Perspicuum est etiam in exemplo superiore,

[τὸ προσώπου] τοῦ ὑβρίσαντος καὶ τοῦ ὑβρισθέντος. ἐξ οὗ κατὰ τὴν αὐτὴν διάθεσιν μεταληφθήσεται), λέγουσι Θέωνα ὑβρίσαι Δίωνα. καὶ δῆλόν ἐστιν ὡς τὸ ῥῆμα προσέκειται τῇ προτέρᾳ αἰτιατικῇ, ᾗ προσέκειτο κατ᾽ εὐθεῖαν, Τρύφων ὕβρισε, λέγουσι Τρύφωνα ὑβρίσαι· ἐπιφερομένου τοῦ διατιθεμένου προσώπου· φέρε εἰπεῖν Δίωνα, Θέωνα. ἐκ δὴ τοῦ τοιούτου ἡ προϋλαβοῦσα αἰτιατικὴ μετὰ τοῦ ἀπαρεμφάτου προσεχώρησε καὶ τῇ ἐνεργητικῇ διαθέσει. καὶ εἰ ὧδέ τις ἀποφαίνοιτο, περιέχει ὁ οὐρανὸς τὴν γῆν, λέγουσι περιέχειν τὸν οὐρανὸν τὴν γῆν· καὶ ἀνάπαλιν, περιέχει ἡ γῆ τὸν οὐρανόν, λέγουσι τὴν γῆν περιέχειν τὸν οὐρανόν. κἀκεῖνο γὰρ ὁμολογούμενόν ἐστιν, ὅτι ἡ ἐνεργητικὴ διάθεσις προτέρα τῆς παθητικῆς. τότε γὰρ πέπονθεν, ὅτε ἀναδέδεκται [ὁ] τὴν ἐνεργητικὴν διάθεσιν. ὥστε καὶ τὰ τούτων ἀποφατικὰ ὁμολογεῖ. †ὁ γὰρ λέγων οὐκ ἔδειρα, ἀναιρεῖ τὴν προκατάρξασαν διάθεσιν [τοῦ ὁμολογήσαντος προσώπου τὴν παθητικὴν διάθεσιν] ἐν τῷ δαρῆναι. καὶ εἰ τοῦτο ὑγ[illegible]ὔλογον ἂν εἴη τὸ παραχωροῦν ῥῆμα τῇ αἰτιατικῇ τὴν ἐνεργητικὴν διάθεσιν ἐμφανίζειν, καὶ τὴν δευτέραν παραλαμβανομένην αἰτιατικὴν ἐν πάθει καθίστασθαι [ἐπεὶ] καὶ δεύτερα τὰ πάθη τῶν ἐνεργειῶν ἐστι, συνέβη ἐμὲ φιλεῖν Ἀπολλώνιον. τοιοῦτον γὰρ ἂν εἴη, ἐγὼ φιλῶ Ἀπολλώνιον. καὶ δῆλον ὅτι τὸ τοιοῦτον ὑπερβατόν ἐστι, τὸ,

τῆς ἐξ [illegible] φωνήσεως

†δὸς

τόδε δέ τε μ' ἄνδρα ἐλθεῖν [τόνδε.] Καὶ τοσαῦτα μὲν περὶ συντάξεως τῶν ἀπαρεμφάτων.

ιθ', Ὅτι χρὴ ὁριστικὴν καλεῖν τὴν ἔγκλισιν, ἤπερ ἀποφαντικήν.

τμῆμα ε'

Ἀκολούθως ῥητέον καὶ περὶ τῶν ὑπολοίπων ἐγκλίσεων· αἷς παρέπεται ἀπὸ τῶν ἐν αὐταῖς δηλουμένων πραγμάτων, τὴν θέσιν τοῦ ὀνόματος ἀναδέχεσθαι. ἡ μὲν γὰρ καλουμένη ὁριστική, καλεῖται καὶ † ἀποφαντική. καὶ δῆλον ὅτι κοινῆς μὲν ἐννοίας † εἶχε τὸ καλεῖσθαι αὐτὴν ἀποφαντικήν· εἴγε καὶ τὸ ἀποφαίνεσθαι κατὰ πάσης φράσεως παραλαμβάνεται. ἀλλὰ καὶ ἐπιρρήματά τινα ἀποφαντικὰ καλοῦμεν. ἰδίας μέντοι ἐννοίας ἔχεται ἡ ὁριστική. διὰ γὰρ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. ἔνθεν γὰρ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ ἔτι αἰτιολογικοί, συντείνουσιν ἐπὶ ταύτην. † ὁριζόμενοι [γάρ] φαμεν, γέγραφα· καὶ διαβεβαιούμενοι, ὅτι γέγραφα, εἰς ἐπίτασιν τοῦ ὁρισμοῦ. ἀντιπαράκειται πάλιν τούτου ἐναντίον κατὰ ἀπόφασιν, ὅτι οὔ. ἀλλὰ καὶ ἐπὶ αἰτιολογικῆς ἐννοίας. † ὡς γὰρ φάσκομεν ὅτι περιπατῶ, ἐπὶ λήμματι τῷ τοιούτῳ, τὸ αἰτιῶδες συνάπτεται), ὅτι περιπατῶν κινοῦμαι. ὅπερ οὐκ ἀληθεύσει, εἰ ἀναστροφὴν λάβοι τὰ τοῦ λόγου, ὅτι κινοῦμαι περιπατῶν. καὶ δῆλον ὅτι οὐ διὰ τὸν ὁρισμὸν τὸν ἐγκείμενον τοῖς ῥήμασι, διὰ δὲ τὸ ἀκόλουθον τοῦ συνδέσμου ἐγγινόμενον

αἰαδι-δέχθαι

προσκεῖται ἀντιπάκειται

ὅτι περιπατῶ, κιν.

ὅτι κινοῦμαι, περιπατῶ.

δός δέ τι μ' ἄνδρα ἐλθεῖν, esse hyperbatum. Sed hactenus de infinitorũ constructione. Il. α.

19, *Modum indicatiuum appellãdum esse potius ὁριστικὴν, quàm ἀποφαντικήν.*

Consequenter dicendum est de reliquis etiam modis; quibus accidit vt a reb. quas significant, positionem nominis suscipiant. nam modus qui vocatur ὁριστικὴ, vocatur etiã ἀποφαντική. est aũt perspicuum, quod sensum cõmunem sequitur, cum vocatur ἀποφαντική: siquidem verbum etiam ἀποφαίνεσθαι de qualibet oratione sumitur. atq; etiam aduerbia nonnulla ἀποφαντικὰ vocamus. habet tamẽ propriũ sensum indicatiuus modus. per hunc enim modum enũtiamus & finimus: & iccirco coniunctiones quę vocantur affirmatiuæ, & prætereà causales, ad hunc modum pertinent. nã finientes, dicimus γέγραφα: id confirmãtes, dicimus ὅτι γέγραφα, ad finitionis intensionem. Huic rursus opponentes contrarium, negantes dicimus ὅτι οὔ. atque etiam in sensu causali. nam cum aimus περιπατῶ, in eiusmodi enuntiatione, causam adiungemus hoc modo; ὅτι περιπατῶ, κινοῦμαι: quæ oratio nõ erit vera, si partes eius hoc modo conuertantur, ὅτι κινοῦμαι, περιπατῶ. Hoc autem nimirum euenit non propter finitionem verbis insitam, sed propter adiunctæ cõiunctionis consequẽtiam:

Pars V Prisc.lib. 18.

Prisc.lib. 18.

quoniam verba, quantum in eis est, seorsum posita, propter insitam finitionem, verum asserēt; κινοῦμαι, περιπατῶ.

20, Particulam οὐ negantem, necessario construi cum solis indicatiuis.

Perspicuum est igitur, modum indicatiuum continere affirmationem: atq; ideo aduerbium negādi οὐ, quod pugnat cū aduerbio affirmandi ναὶ, cū eo construi; vt insitam affirmationem tollat; οὐ γράφει, οὐ περιπατεῖ. cū optatiuo vero vel imperatiuo nō iungitur, quia in his modis non continetur affirmatio, quę pugnat cū negatione, & quæ (vt paulo ante diximus) tollitur a particula negante οὐ. Cur aūt aduerbiū prohibendi μὴ iungatur cū supradictis modis, cum de imperatiuo & optatiuo modo tractabimus, dicemus. dicimus enim μὴ γίνωσκε, μὴ γνοίης, μὴ γνῷς. Illud tamē etiam est animaduertendum, ne cū infinito quidem particulam negantem οὐ iungi; quoniam ne iste quidem modus quidquam affirmat. nam in illo, οὐ δεῖ γράφειν, modus indicatiuus est rursus qui negatur, δεῖ inquam, vel χρή: perinde ac si diceremus, οὐ λείπει τὸ φιλολογεῖν. ergo hac etiam constructione demōstratur, χρὴ & δεῖ verba indicatiui modi esse. Ac ne illud quidem dubium est, subiunctiuū modum iunctum cū iis particulis, quib. subiectus est, & earum vi recepta, recusaturum esse particulam negandi οὐ.

ἐπεί, ὅσον ἐπ' αὐτοῖς, τὰ ῥήματα κατ' ἰδίαν τασσόμενα, διὰ τὸ ἐγκείμενον ὁρισμὸν ἀληθεύουσι, κινοῦμαι, περιπατῶ.

κ΄. Ὅτι ἡ οὐ ἀπόφασις, ἀναγκαίως ὁριστικοῖς μόνοις συντάσσεται.

Σαφὲς οὖν ὅτι καὶ ἐγκειμένην ἔχει τὴν κατάφασιν. καὶ ἕνεκα τούτου τὸ καλούμενον ἀποφατικὸν ἐπίρρημα, ὡς ἂν μαχόμενον τῇ ναὶ καταφάσει, τὸ ἐπιτρέχει τὴν ὁριστικὴν ἔγκλισιν [ἵνα τὴν ἐγκειμένην κατάφασιν ἀποστήσῃ, οὐ γράφει,] οὐ περιπατεῖ· οὐ μὴν ἔτι τὴν εὐκτικὴν ἢ προστακτικήν: (οὐδὲ γὰρ ἔγκειται) ἐν ταῖς τοιαύταις ἐγκλίσεσιν ἡ μαχομένη τῇ ἀποφάσει κατάφασις· ἥν, ὡς προείπομεν, συνέβη ἀναιρεῖσθαι ὑπὸ τῆς οὐ ἀποφάσεως. διότι μέντοι ἡ μὴ ἀπαγόρευσις ἐπὶ τὰς προειρημένας ἐγκλίσεις συντείνει, οὕτως εἰρήσεται. φαμὲν γὰρ μὴ γίνωσκε, μὴ γνοίης, μὴ γνῷς. Χρὴ μέντοι νοεῖν, ὅτι οὐδὲ ἐπὶ τὸ ἀπαρέμφατον συντείνει ἡ οὐ ἀπόφασις. οὐδὲ γὰρ δι' αὐτῆς τι καταφάσκεται. ἐν γὰρ τῷ, οὐ δεῖ γράφειν, πάλιν τὸ ὁριστικόν ἐστι ῥῆμα, τὸ ἀποφασκόμενον· λέγω [τὸ] δεῖ ἢ χρή· ὡς εἰ καὶ λέγοιμεν, οὐ λείπει τὸ φιλολογεῖν. καὶ διὰ τῆς τοιαύτης συντάξεως ἄρα δέδεικται, ὅτι τὸ χρὴ καὶ τὸ δεῖ, ὁριστικὰ ῥήματά ἐστιν. Ὁμόλογον δ' ὅτι καὶ ἡ καλουμένη ὑποτακτικὴ ἔγκλισις, συνηρτημένη οἷς ὑποτέτακται, τὴν ἐκ τούτων δύναμιν ἀναδεξαμένη, ἀπροσδεὴς γίνεται τῆς οὐ ἀποφάσεως·

ἐν τῷ περὶ αὐτῶν

τὸ

μετὰ γοῦν τὴν τούτων σύνταξιν οἷόν τε πάλιν ἐστὶν αὐτὴν ἀποφαίνεσθαι, ἐὰν θέλῃς, οὐκ ἀναγινώσκω, ἤ, οὐκ ἀναγνώσομαι. καὶ μάλιστά γε ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος. δίχα γὰρ οἱ παρῳχημένοι οὐ παραλαμβάνονται ἐν ὑποτακτικοῖς, ἐν τῷ ἰδίᾳ περὶ αὐτῶν εἰρήσεται).

δία

κα΄. Ἕνεκεν τίνος ἡ ὁριστικὴ ἔγκλισις εἰς ἐρώτησιν ἐπιτηδεύεται.

Ἥ γε οὖν προκειμένη ὁριστικὴ ἔγκλισις, τὴν ἐγκειμένην κατάφασιν ἀποβάλλουσα, μεθίσταται τοῦ καλεῖσθαι ὁριστική. εἰς γὰρ ἐπερώτησιν παραλαμβάνεσθαι ἐγχωρεῖ· ἡνίκα φαμὲν γέγραφας; λέληκας; καὶ εἰ μὲν μὴ εἴη τὸ τοιοῦτον ἀληθές, φαμὲν οὔ· εἰ δὲ ἀληθὲς εἴη τὸ γεγραφέναι, φαμὲν ναί. καὶ γὰρ δὴ οὕτως ἡ ἐπερώτησις ἀναπληρωθεῖσα δὲ διὰ τῆς καταφάσεως, ἀποστρέφει εἰς τὸ εἶναι ὁριστική. καὶ μεγίστη ἂν εἴη ἔνδειξις τοῦ τοιούτου, τὸ, ἔσθ᾽ ὅτε τῷ ναὶ μὴ χρῆναι μορίῳ, ῥήματι δὲ τῷ αὐτῷ διὰ ὁριστικῆς προφορᾶς· ὡς ἂν ἐγκειμένης τῆς καταφάσεως. πρὸς γὰρ τὸ γράφεις κατ᾽ ἐρώτησιν, φαμὲν γράφω· ἢ κατὰ βεβαίωσιν τοῦ ὁρισμοῦ, δυνάμει διπλασιάσαντες τὴν κατάφασιν, ναὶ γράφω. οὕτως ἔχει καὶ τὸ, ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπας· οὐκ ἀλόγου τοῦ τοιούτου ὄντος. εἴ γε ἐν τοῖς προκειμένοις παρεστήσαμεν ὅτι πολλάκις τὰ ἰσοδυναμοῦντα, παραλλήλως τίθεται εἰς πλείονα ἔμφασιν, ὡς τὸ, τάχιον περιπατεῖ, καὶ μᾶλλον τάχιον περιπατεῖ.

ἀποβαλοῦσα

λελάληκας

χρῆσθαι

nam post eorum cõstructionem, licet rursus eã negare; ἐὰν θέλῃς, οὐκ ἀναγινώσκω, vel, οὐκ ἀναγνώσομαι: in præsenti potissimum, & futuro. cur autem præterita non assumantur in subiunctiuis, seorsum disseremus, cũ de eis tractabimus.

21, Cur modus indicatiuus ad interrogationem aptus sit.

Verum indicatiuus modus, de quo agimus, amissa insita affirmatione, vocari desinit indicatiuus. ad rerum.n. interrogationem locũ habere potest; vt cum dicimus, γέγραφας; λελάληκας; quod si nõ fuerit verũ, subiicimus οὔ: sin fuerit verum, aliquem scripsisse, respondemus ναί. atq; ita fit interrogatio: qua cõpleta per affirmationem, modus in indicatiuum rursus reuertitur. cuius rei argumentũ firmissimum illud est, ꝙ in respondendo interdum vtimur nõ particula affirmandi ναὶ, sed eodem verbo cũ indicatiua prolatione, in qua nimirum continetur affirmatio. nã ad γράφεις interrogatiue prolatũ, respõdemus γράφω: vel, ad finitionis cõfirmationem, potestate geminantes affirmationem, ναὶ γράφω. Tale est illud, ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες. Idq; a ratione non abhorret: siquidem in superioribus declarauimus, τὰ ἰσοδυναμοῦντα (i. *idẽ significantia*) sæpius iungi inuicem ad maiorem significationẽ; vt, τάχιον περιπατεῖ, & μᾶλλον τάχιον περιπατεῖ.

Il. α

22. De modo Optatiuo & Imperatiuo: & an recte εἴθε particula antecedat optatiuum: & ἄγε aduerbium esse imperatiui modi.

Prisc. lib. 18. Similiter & modus optatiuus, ducta origine ab eo affectu quo optamus, hoc nomen adeptus est. Sũt autem aduerbia quæ significant optationem, αἴθε & εἴθε: αἴθ' ἐγὼ γενόμαν χρυσός: αἴθ' Ἀφροδίτα τόνδε τὸν πάλον λαχοίην: αἴθ' οὕτως ἐπὶ (Il. α.) πᾶσι χόλον τελέσει Ἀγαμέμνων. In quorũ vsu, quæritur an constructio habeat iũcta secum aduerbia per redundantiam: quoniam modus potestate cõtinet aduerbium εἴθε. nam in illis, εἴθε ἔγραψε Τρύφων, εἴθε ἐλάλησεν, & in aliis id genus, εἴθε proculdubio recte appositũ est; vt modus indicatiuus aduerbio optandi, quod est appositum, constructionem optatiui suscipiat. Perspicuũ enim est, non idem esse, ἔγραψε Τρύφων, atque illud εἴθε ἔγραψε Τρύφων: sed fiunt nimirum eiusmodi appositiones ad maiorem intẽsionem rerum significandarum. atque hoc ipsum declarauimus in illo ναὶ γράφω, & aliis pluribus.

23. Quæ re differant aduerbia optandi, a modis optatiuis; & aduerbia imperandi, ab imperatiuis.

Illud tamen tenendũ est, inter modum optatiuũ verborum, & aduerbia optandi, hoc interesse, quod verba vna cum re quam continent, significant affectum optandi. nã γράφοιμι, rei optatio est,

κβ'. Περὶ τῆς εὐκτικῆς ἐγκλίσεως.

Ὁμοίως δὲ καὶ ἡ εὐκτικὴ ἔγκλισις, ἀπὸ τῆς γινομένης εὐχῆς κατὰ παραγωγὴν τῆς ἐγκλίσεως ἔτυχεν. εἰσὶν οὖν [κλίσεως] τῆς εὐχῆς ἐπιρρήματα παραστατικά, D. αἴθ' ἐγὼ γενόμαν χρυσός· αἴθ' Ἀφροδίτα τόνδε τὸν πάλον λαχοίην· αἴθ' [λαχοίη] οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων. [πλέσει] Καὶ μήποτε τὰ τῆς συντάξεως δόξῃ κατὰ παρέλκον ἔχειν τὰ συνόντα ἐπιρρήματα· καθὸ ἡ ἔγκλισις δυνάμει ἐγκείμενον ἔχει τὸ εἴθε. ἐπὶ μὲν γὰρ τοῦ, εἴθε ἔγραψε Τρύφων, εἴθε ἐλάλησε, καὶ ἔτι τῶν τοιούτων, δῆλον ὅτι ἐν τῷ δέοντι παράκειται τὸ εἴθε· ἵνα ἡ ὁριστικὴ ἔγκλισις διὰ τοῦ παρακειμένου εὐκτικοῦ ἐπιρρήματος, εὐκτικὴν σύνταξιν ἀναδέξηται. δῆλον γὰρ ὡς διαφέρει τὸ, ἔγραψε Τρύφων, τοῦ, εἴθε ἔγραψε Τρύφων. ἀλλὰ σαφὲς ὅτι εἰς πλείονας ἐπιτάσεις τῶν σημαινομένων αἱ τοιαῦται παραθέσεις γίνονται, ὡς παρεστήσαμεν ἐπὶ τοῦ ναὶ γράφω, καὶ ἄλλων πλειόνων.

κγ'. Τίνι διαφέρει τὰ εὐκτικὰ ἐπιρρήματα τῶν εὐκτικῶν ῥημάτων· ὁμοίως καὶ τὰ προστακτικά.

Χρὴ μέντοι νοεῖν, ὡς διαφέρει ἡ ἐκ τῶν ῥημάτων εὐκτικὴ κλίσις τῆς ἐ- [ἔγκλισις] πιρρηματικῆς, τῷ, τὰ μὲν ῥήματα μετὰ τοῦ συνόντος πράγματος σημαίνειν τὴν εὐκτικὴν διάθεσιν· τὸ γὰρ γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γρα-

τοῦ γράφειν· καὶ τὸ φιλολογοίμι, τοῦ φιλολογεῖν· τό γε μὴν εἴθε, σχεδὸν ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρείσαται καὶ τὸ ἔν τινι

ἴσ. ἐν τινι

τὰ τῆς εὐχῆς. τὸ τοιοῦτον [καὶ] ἐπ' ἄλλων πλείστων παρεπόμενόν ἐστιν ἀποδεῖξαι. τὸ λευκότερος, ἐπιτείνεται εἰς τὸ τῆς λευκότητος· καὶ ἔτι τὸ γλυκύτερος, εἰς τὸ τοῦ γλυκέος. κοινῆς μέντοι ἐπιτάσεως ὀνόματά ἐστι τὰ τοιαῦτα, βελτίων, ἄρειστος, ἀμείνων· ἀλλὰ καὶ τὰ τοιαῦτα ἔχεταί τινος ἐννοίας, ἀφ' ἧς καὶ τὴν ὀνομασίαν εἴληφε, καὶ τροπικώτερον μετῆλθεν εἰς κοινὴν ἐπίτασιν· ὡς τὸ ἁλιεὺς, κἂν ποτάμιος ᾖ· καὶ ἡ πυξὶς, κἂν διαφόρου ὕλης τύχῃ. ἐκεῖνο μέντοι ὁμόλογόν ἐστιν, ὡς τὸ εἷς διαφέρει τοῦ Αἴας· ᾗ αὐτὸ μόνον ὄνομά ἐστιν ἀριθμοῦ τὸ εἷς· τὸ δὲ Αἴας, μετὰ ἰδίας ποιότητος παρυφιστάμενον ἔχει τὸ εἷς. καὶ ἔτι τὸ ἐγὼ, πρὸς τὸ γράφω· καθὸ μετὰ πράγματος καὶ τῶν συμπαρεπομένων, τὸ γράφω ἐγκείμενον ἔχει τὸ ἐγώ. αὕτη γε μὴν ἡ ἀντωνυμία αὐτὸ μόνον ἐστὶ πρόσωπον. ἔτι καὶ τὸ ἰλιόθεν, διαφέρει τοῦ ἄλλοθεν· καθὸ τὸ μὲν ἰλιόθεν, μετὰ τῆς ἐκ τοῦ τόπου σημασίας, συμπαρείστησι καὶ τὸ ἴδιον τοῦ τόπου· τό γε μὴν ἄλλοθεν, αὐτὸ μόνον παρείστησι τὴν ἐκ [τοῦ] τόπου σχέσιν. ἔτι καὶ τὸ τάχιστος, μετά τινος ὑποκειμένου, τὴν ἐπίτασιν σημαίνει· οὐ μὴν τὸ ἄγαν. αὐτὸ γὰρ μόνον ὄνομα ἐπιτάσεώς ἐστιν.

ὄνομα ἐστὶ προσώπου

ὄνομα μόνον

nempe τοῦ γράφειν: & φιλολογοίμι, τοῦ φιλολογεῖν. at εἴθε aduerbium, nomen propemodum optationis est. nam non declarat simul cuius rei fiat optatio. Idem aliis accidit quamplurimis: λευκότερος, intenditur in qualitate τῆς λευκότητος: & γλυκύτερος, in qualitate τοῦ γλυκέος. Et quamquam voces huiusmodi sunt nomina communis intensionis, vt βελτίων, ἀμείνων, ἄρειστος: tamē hæc etiam aduerbia sequuntur quendam sensum, a quo nomen acceperunt, & metaphorice ad communem intēsionem transierunt: vt nomen ἁλιεὺς, etiamsi fluuialis piscator sit: & ἡ πυξὶς, etiamsi ex diuersa sit materia. Illud tamen est confessum, inter εἷς, & Αἴας, hoc esse discriminis, quod εἷς est nomē ipsum tantummodo numeri: Αἴας autem, præter qualitatem propriā, continet simul nomen numerale εἷς. Idem discriminis est inter ἐγὼ & γράφω: quoniam γράφω, vna cum re, & aliis accidentibus, continet ἐγώ: hoc autem pronomen, nomen tantummodo personæ est. ἰλιόθεν etiam differt ab aduerbio ἄλλοθεν: quoniam ἰλιόθεν, præter significationem motus de loco, etiam ipsius loci proprietatem simul repræsentat; ἄλλοθεν vero illud solummodo declarat, motum videlicet de loco. Præterea τάχιστος significat intēsionem cum aliquo supposito: at non ita aduerbium ἄγαν: est enim solum nomen intensionis.

Eadem est ratio in γράφων & ἄγε. nam ἄγε, etiam est nomẽ tantum imperii: γράφων vero, vna cum insito imperio, rem quoque ipsam indicat, & numeros, & personas, quæ modum illũ comitantur. Possunt proferri plurima ad hoc ipsum confirmandum. Illud tamen, αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι: &, ὡς ὄφελες σὺ μὲν αὐτόθι μετ' ἀθανάτῃς ἁλίῃσι ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν: nõ est in ordinem istorũ quæ sunt inter se paria, referendum. nam vox illa ὤφελον, simul ostendit personæ discretionem quæ aduerbio εἴθε non inest: eamq; ob causam nimirum εἴθε construitur cũ optatiuis, qui personarum discretionẽ habẽt; αἴθ' οὕτως Εὔμαιε φίλος Διὶ πατρὶ γένοιο: &, αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων. Cum indicatiuis etiam iũgitur, sicuti declarauimus; vt in illo, εἴθ' ἔγραφε Τρύφων: sed non ita cũ infinitis, quoniam neq; per aduerbium, neq; per ipsum infiniti modum, quocũ iũgitur aduerbiũ, fit planum ad quã personam dirigatur optatio. Quare, vt id quod deest, cõpleatur, assumitur ὤφελον, ad indicandã personã, ad quam pertinet optatio. nam in illo, αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, Achilles intelligitur, ad quem oratio dirigitur; intelligitur autem non ex alia quapiam re, quam ex aduerbio ὄφελες. Hactenus etiam de constructione εἴθε aduerbii, & eius similibus.

Il. α. Il. γ. Od. ξ. Il. δ.

οὕτως ἔχει καὶ τὸ γράφων, ὡς πρὸς τὸ ἄγε. πάλιν γὰρ ὄνομα μόνον προστάξεώς ἐστι τὸ ἄγε· τὸ δὲ γράφων, μετὰ τῆς ἐγκειμένης προστάξεως, καὶ τὸ πρᾶγμα ὑπαγορεύει καὶ τοὺς συνόντας ἀριθμούς· ἔτι καὶ τὰ πρόσωπα. Ἔστι δὲ πλεῖστα εἰς τὸ τοιοῦτον παραθέσθαι. τό γε μὴν, αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, καὶ τὸ, ὡς ὄφελες σὺ μὲν αὐτόθι μετ' ἀθανάτῃς ἁλίῃσι ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν, οὐ χρὴ παραλαμβάνειν εἰς τὸ τῶν παραλλήλων λόγον. ἰδοὺ γὰρ ἐκ τοῦ ὤφελον παρυφίσταται καὶ τοῦ προσώπου διάκρισις· ἥτις οὐ σύνεστι τῷ εἴθε. καὶ δῆλον ὅτι ἕνεκα τοῦ τοιούτου, τὸ μὲν εἴθε συντάσσεται εὐκτικοῖς, οἷς σύνεστι τὸ διακρίναι πρόσωπα· αἴθ' οὕτως Εὔμαιε φίλος Διὶ πατρὶ γένοιο· αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων. ἀλλὰ παρεστήσαμεν ὡς καὶ ἐν ὁριστικοῖς, ἐν τῷ, εἴθ' ἔγραφε Τρύφων· οὐ μὴν [ἐν] τοῖς ἀπαρεμφάτοις· ἐπεὶ καὶ διὰ τοῦ ἐπιρρήματος, καὶ διὰ τοῦ συνόντος ἀπαρεμφάτου, ἄδηλον ποίῳ τρόπῳ τὰ τῆς εὐχῆς προσώ- ἐπιγίνεται. ὅθεν εἰς ἀναπλήρωσιν τοῦ λεί- πω ποντος, τὸ ὤφελον παραλαμβάνεται, εἰς ἐμφανισμὸν προσώπου, ᾧ τὰ τῆς εὐχῆς προσγίνεται. ἐν γὰρ τῷ, αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, νοεῖται ὁ Ἀχιλλεὺς πρὸς ὃν ἡ ἀπόστασις τοῦ λόγου· οὐκ ἐξ ἄλλου [του] ἢ τοῦ ὤφελες.

Καὶ τοσαῦτα μὲν περὶ συντάξεως τοῦ εἴθε καὶ τῶν ὁμοίων αὐτῷ.

κα΄. Ὅτι

κδ', Ὅτι ἐν τῶν εὐκτικῶν εἰσι παρῳχημένοι χρόνοι, καὶ τῶν προστακτικῶν.

Ἤδη μέντοι καὶ περὶ τῆς ἐγγινομένης χρονικῆς διαθέσεως ἐν τῇ ἐγκλίσει διαπορήσουσί τινες, ὡς μάτην εἰσκυκλεῖται ἡ τῶν παρῳχημένων χρόνων φωνὴ κατὰ ἔγκλισιν, ὡς οὐ δυναμένου τοῦ τοιούτου συστῆναι· καθὸ καὶ ἐπ' ἄλλων μερῶν λόγου, δηλουμένου παρέμπτωσις, αἰτία γίνεται τοῦ μὴ συνίστασθαι σχήματά τινα τῆς λέξεως ἐν ῥήμασιν, ἢ τοῦ πλουτῶ, ἢ ὑπάρχω, ἢ τινος τῶν τοιούτων, παθητικὴ ἐκφορά· καὶ ἐπὶ τοῦ μάχομαι, ἡ ἐνεργητική. καὶ ἐν γένεσι· καθὸ οὔτε τοῦ ἐκτρώσασα, τὸ ἀρσενικόν τις ζητήσει, οὔτε τοῦ ἄρσεν τὸ θηλυκόν. καὶ ἦν εἰς τὸ τοιοῦτον παράθεσις δυσπερίληπτος. καὶ δὴ οὖν ἐπὶ τοῦ προκειμένου, ἐκεῖνό φασιν· εἰ ἐν τοῖς οὐκ οὖσιν, αἱ εὐχαὶ γίνονται εἰς τὸ ἐγγενέσθαι, πῶς τὰ γινόμενα, εὐχῆς ἔτι δέεται; πρὸς ὃ ἔστι φάναι, ὡς πᾶσα ἀνάγκη ὑπάρξαι καὶ τὴν ἐκ παρῳχημένου εὐχήν. φέρε γὰρ τὸν ἐπιβάλλοντα χρόνον τοῦ γινομένου ἀγῶνος ὀλυμπιάσι παρῳχῆσθαι, καὶ πατέρα εὔχεσθαι ὑπὲρ παιδὸς ἀγωνισαμένου, περὶ τῆς τούτου νίκης· καὶ δῆλον ὡς οὔτε ποιήσεται εὐχὴν διὰ τὸν τοῦ ἐσομένου χρόνου, οὔτε μὴν τοῦ κατὰ τὸν ἐνεστῶτα παρατεινομένου· ταῦτα γὰρ τῷ παρῳχημένῳ ἀντίκειται. ἐξ οὗ ἀνακόλουθος γένοιτο ἡ εὐχή, εἴθε νενικήκοι μου ὁ παῖς, εἴθε δεδοξασμένος εἴη.

ὠρχημένου

24, *Modos optatiuos & imperatiuos habere tempus præteritum.*

Iam vero nonnulli dubitant etiam de significatione temporum, quæ inest modo. inquiunt enim, vocem præteriti temporis in modis frustra versari; quoniam hæc res consistere non potest. nam in aliis quoq; orationis partibus, rei significatæ interuentus facit vt formæ quædam dictionum in verbis nõ consistant; vt verbi πλουτῶ, ὑπάρχω, & similiũ passiua prolatio, & verbi μάχομαι actiua. Eadẽ ratio in generibus est. nemo enim quæret masculinum genus participii ἐκτρώσασα, neq; fœmininum nominis ἄρσεν. atq; ad hoc probãdum exempla innumerabilia proponũt. Sed de hoc, de quo iam quæritur, illud aiũt: Si pro rebus quę non sunt, vt sint, optationes fiunt, quî ea quæ facta sunt, optatione amplius indigent? Huic quæstioni occurrendum sic est: Necesse omnino est optationem etiam præteriti exsistere. fac enim iustum tempus ludorum Olympicorũ præteriisse; & patrem aliquem pro filio, qui certauit, optare victoriam: dubium non est eum non esse optaturum aut futuro, aut præsenti tempore, quod extẽditur: nam hæc tempora præterito opposita sunt; itaque optatio caruerit consecutione: sed optabit tempore præterito; εἴθε νενικήκοι μου ὁ παῖς: εἴθε δεδοξασμένος εἴη.

Licet etiã hoc dicere: verum esse quod aiunt, optationes fieri pro rebus quæ nõ sunt: nã quia τὸ φιλολογεῖν non adest, dixeris, εἴθε φιλολογοίμι: quia τὸ πλουτεῖν non adest, dixeris εἴθε πλουτοίμι. Illud tamen intelligendum est, quod poscitur optatione, accipi vel ad præsentis extensionem, vt in eo agat quis diutius; vt si dixeris, ζώοιμι ὦ θεοί: vel ad rerum quæ non sunt, absolutionem; vt Agamemnon optat, εἴθε ὦ θεοὶ πορθήσαιμι τὴν Ἴλιον. hic fit optatio de præterito & absoluto tempore. nam temporis prorogationem detestandã potius duxerit. nam cũ Troiam popularetur, queritur hunc

Il. β. in modũ; ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί, καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται. at in ζώοιμι, cõtrarius est intellectus. nemo enim optauerit vitæ consumationem, dicendo, ζήσαιμι. consumationis enim eiusmodi optatio, recte tollit commorationem in vita. Eadem quæstio trãsfertur in modum imperatiuum. hic enim rursus, quæ non sunt facta, imperantur: est autem verum, ea quæ præterierunt, facta esse. quare eadẽ de causa temporis præteriti modus imperatiuus nõ est vsurpan-

Prisc. lib. 18. dus. Verum aduersus hæc idem dicendum rursus: nam κλειέσθω ἡ θύρα, differt ab illo, κεκλείσθω ἡ θύρα: quoniam præsentis temporis prolatio, indicat præsens imperiũ, quod est propriũ præsentis, quod

ἔστι καὶ οὕτω φάναι, ὡς ἀληθεύει, ὅτι ἐπὶ τοῖς μὴ οὖσιν αἱ εὐχαὶ γίνονται. οὐ συνιόντος γὰρ τοῦ φιλολογεῖν, φαίη μὲν ἂν, φιλολογοίμι· οὐ συνιόντος τοῦ πλουτεῖν, τὸ πλουτοίμι. χρὴ μέντοι νοεῖν, ὡς τὸ ἐξαιτούμενον ἐκ τοῦ εὐκτικοῦ, ἢ εἰς παράτασιν τοῦ ἐνεστῶτος παραλαμβάνεται, ἵνα ἐν αὐτῷ διαγίνηται· ὡς εἴ τις φαίη, ζώοιμι ὦ θεοί· ἢ εἰς τελείωσιν τῶν μὴ ὄντων πραγμάτων· ὡς Ἀγαμέμνων εὔχεται, εἴθε ὦ θεοὶ πορθήσαιμι τὴν Ἴλιον. εὐχὴ γὰρ νῦν γίνεται εἰς τὸ παρῳχημένον καὶ συντελὲς τοῦ χρόνου. τὴν γὰρ παράτασιν, ἀπευκταίαν ἡγεῖται. πορθοῦντι γὰρ αὐτῷ τὴν Ἴλιον, ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοὶ, καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται. καθότι πάλιν κατὰ τὸ ἐναντίον ἐστὶν ἐπινοῆσαι ἐπὶ τοῦ ζώοιμι. οὐ γὰρ δή γέ τις παραλήψεται εἰς εὐχὴν τὴν τοῦ ζῆν συντελέσαι, ἐν τῷ ζήσαιμι· ἡ γὰρ τοιαύτη συντέλεια τῆς εὐχῆς, δυνάμει περιγράφει τὴν τοῦ βίου διατριβήν. Τὸ αὐτὸ ἄπορον μέτεισι καὶ ἐπὶ τὰ προστακτικά. πάλιν γὰρ τὰ οὐ γινόμενα προστάσσεται· καὶ ἀληθὲς ὅτι τὰ παρῳχημένα γέγονε. καὶ κατὰ τὸ αὐτὸ οὐ χρὴ παρῳχημένου χρόνου προστακτικὸν παραλαμβάνειν. καὶ ἔστι γε πάλιν ἐπὶ τῶν τοιούτων ταὐτὸ φάναι, ὅτι διαφέρει τὸ κλειέσθω ἡ θύρα, ὡς τὸ τοῦ κεκλείσθω· καθὸ ἡ μὲν κατὰ τὸν ἐνεστῶτα πρόσ... ἐκφορὰ, ὑπαγορεύει τὴν ὑπὸ τοῦ προστάξιν· ὅπερ ἐνεστῶτος τοῦ παρῳχημένου παρατεταμένου

μένου ἦν ἰδεῖν· τό γε μὴν κεκλείσθω, τὸ ἔκπαλαι ὀφειλόμενον διαθέσει γενέσθαι. ἀλλά, ὡς εἴπομεν, ὅσα μὴ προστάσσεται αὐτοῖς εἰς παράτασιν. ὁ γὰρ ἀποφαινόμενος οὕτω, γράφε, σκάπτε, ἐν παρατάσει τῆς διαθέσεως τὴν πρόσταξιν ποιεῖται· ὡς ἔχει καὶ τό, βάλλ' οὕτως· αἴ κέν τι φόως Δαναοῖσι γένηαι. φησὶ γάρ, ἐν τῷ πολέμῳ καταγίνου εἰς τὸ βάλλειν. ὅ γε μὴν λέγων κατὰ τὴν τοῦ παρῳχημένου προφοράν, γράψον, σκάψον, οὐ μόνον τὸ μὴ γενόμενον προστάσσει, ἀλλὰ καὶ τὸ γινόμενον ἐν παρατάσει, ἀπαγορεύει· εἴγε καὶ τοῖς γράφουσιν ἐν πλείονι χρόνῳ, προσφωνοῦμεν τὸ γράψον· τοιοῦτόν τι φάσκοντες, μὴ ἐμμένειν τῇ παρατάσει, ἀνύσαι δὲ τὸ γράφειν.

κε΄. Εἰ συνεστῶτα τὰ τοῦ πρώτου προσώπου προστακτικά.

Τὰ δεύτερα πρόσωπα τῶν προστακτικῶν, πρόδηλον ἔχει τὴν σύνταξιν, κἂν ὁμόφωνα καθεστήκῃ τῇ ὁριστικῇ ἐγκλίσει. ἡ γὰρ συνοῦσα αὐτοῖς κλητική, ἀφίστησι τὴν ἀμφιβολίαν τὴν πρὸς τὸ ὁριστικὸν καὶ τὸ συντασσόμενον ἐπίρρημα· λέγω δὴ τὸ ἄγε· ὥς γε ἐν τοῖς ἑξῆς παραστήσομεν. τὰ γὰρ τρίτα, καὶ τῇ φωνῇ διαφέροντα, οὐδὲ κατ' ὀλίγον ἀμφιβάλλεται. τά γε μὴν τοῦ πρώτου προσώπου, πρός τινων οὐδὲ παραλαμβάνεται, λόγοις τοιούτοις κεχωρίσθαι (φασὶ) δεῖ τὸν προστάσσοντα τοῦ προστασσομένου. ὅπερ οὐκ ἔστιν ἐπινοῆσαι ἐν πρώτῳ προσώπῳ.

tempus producitur: sed κεκλείσθω, indicat id quod factũ iampridem oportuerat. In iis tamen, quæ (vt diximus) non imperantur cum temporis prorogatione. nam qui sic enuntiat, γράφε, σκάπτε, imperat prorogando significationem: quale est illud, βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι. Il. θ. ait enim, Versator sic in prœlio ad feriendum: qui vero loquitur, & tempore preterito profert γράψον, σκάψον, non solum imperat quod factum non est, verum etiam quod fit prolatione temporis, vetat: siquidem etiam iis qui scribunt tardius, dicimus γράψον: significãtes tale quidpiam, ne cõmoretur in temporis prolatione, sed expediat scripturam.

25. *An possit in imperatiuis prima persona subsistere.*

Secundæ personæ imperatiui modi minime controuersam constructionem habent, etiã si voce concurrant cum modo indicatiuo. vocatiuus enim, qui iungitur cum eis, & aduerbiũ ἄγε, tollit ambiguitaté, quæ potest intercedere inter hũc modum, & indicatiuum; quẽadmodum in sequẽtibus planum faciemus. tertiæ namque minime sunt ambiguæ; quoniam habent vocem peculiarem. primæ tamen personæ, a nonnullis ne assumuntur quidẽ: qui argumẽta afferũt huiusmodi. Aiunt, cũ qui imperat, diuersum esse oportere ab eo cui imperatur. hoc aũt in prima psona nõ posse inueniri.

est enim prima persona, quæ de se ipsa enuntiat: secunda, ea ad quam sermo dirigitur de eo qui enuntiat: in quam etiam cadit modus iste, φεῦγε, λέγε, γράφε. Illud etiam perspicuum est, vocatiuos versari in duabus personis; nempe in ea quę vocat, & in ea quę vocatur: & propterea nulli sunt vocatiui pronominũ primæ personæ; secundæ vero sunt. Patet igitur, ex istiusmodi quoq; constructione demõstrari, nullas imperatiui primas esse personas: quoniam hic modus constructionem vocatiui recipit, quæ in prima persona (vt demonstratũ est) consistere nõ potest. adde, quod, quemadmodũ nemo potest intelligi, qui se ipsum vocet; quia eadem persona separari non potest: ita etiam neminẽ inuenies, qui sibi ipsi imperet; quia persona separari nõ potest. omnis enim imperatiuus modus constat ex persona præstantiore & inferiore. Qui aũt admittũt primam personam in Imperatiuis, non refutatis argumentis superioribus, vsum tantummodo proferũt:
Il. ζ. φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν: &c.
Il. ι. ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων: & alia omnia quæ vsus communis ita profert. vnde primã etiam personam singularem assumere nituntur. nam quemadmodum in secũdis personis numeri pluralis, penultima, abiecta syllaba τε, fit vltima secũdæ sin-

ἔστι γὰρ πρῶτον, τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον· δεύτερον δὲ, τὸ πρὸς ὃ ἡ ἀπότασις τοῦ ὑπὲρ αὐτοῦ προσφωνουμένου· [margin: ἴσ. τοῦ ἀποφαινομένου·] εἰς ὃ καὶ ἐνεχώρησεν ἡ ἔγκλισις, ἐν τῷ φεῦγε, λέγε, γράφε. ἀλλὰ κἀκεῖνο δῆλόν ἐστιν, ὡς αἱ κλητικαὶ ἐν δυσὶ προσώποις καταγίνονται, τῷ τε προσκαλοῦντι, καὶ τῷ προσκαλουμένῳ· καὶ διὰ τοῦτο τῶν κατὰ τὸ πρῶτον πρόσωπον ἀντωνυμιῶν κλητικαὶ οὐκ ἦσαν· τῶν γε μὴν πάλιν κατὰ τὸ δεύτερον. σαφὲς οὖν ὅτι καὶ ἐκ τῆς τοιαύτης συντάξεως δείκνυται, ὡς πρώτου προσώπου οὐκ ἔστι προστακτικά. τὴν γὰρ οὐχ κλητικῆς σύνταξιν ἀναδέχεται· [margin: τῶν κλητικῶν] ἥτις ἐδέδεικτο ἀσύστατος κατὰ τὸ πρῶτον πρόσωπον. καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἑαυτόν τινα προσκαλούμενον, διά γε τὸ ἀχώριστον τοῦ προσώπου· οὕτως οὐδὲ ἑαυτῷ προστάσσοντα, διά γε τὸ ἀχώριστον τοῦ προσώπου. πᾶν γὰρ προστακτικὸν, ἐκ προσώπου ἐπικρατεστέρου συνέστηκεν, ὡς πρὸς ἐπικρατούμενον. Οἵ γε μὴν παραδεχόμενοι τὰ ἐν πρώτοις προσώποις ἐπιφερομένην πρόσταξιν, οὐκ ἀνασκευάσαντες τοὺς προκειμένους λόγους, παρατίθενται ὡς προστακτικὰ ἐν τῇ χρήσει· φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν· ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων· καὶ ἄπειρα κατὰ τὴν κοινὴν χρῆσιν οὕτω λεγόμενα. ἐξ ὧν πειρῶνται καὶ τὰ ἑνικὰ παραλαμβάνειν. ὃν γὰρ τρόπον, τῶν δευτέρων πληθυντικῶν ἡ παραλήγουσα, ἀποβαλοῦσα τὸ τε, λήγουσα γίνεται τῶν ἑνικῶν·

κῶν λέγετε, λέγε· νοεῖτε, νόει· τὸν αὐτὸν δὴ τρόπον καὶ τῶν προφορῶν ἡ προλήγουσα, ἀποβάλλουσα τὸ μεν, καταστήσει τὸ ἑνικὸν προστακτικόν· φέρωμεν, φέρω· ἀριθμήσωμεν, ἀριθμήσω. καὶ οὐ ξένον εἰ ὁμοφωνεῖ ταῖς ὁριστικαῖς φωναῖς ὅπου γε καὶ ἡ ἐν δευτέροις προσώποις ὁμοφωνία ἐγγίνεται. πρόδηλον ἐκ τῆς συντάξεως, τῆς, ἄγε λέγωμεν, ἄγε φέρωμεν· ἧς τὸ ἑνικὸν γενήσεται, φέρε λέγω, φέρε ἀριθμήσω. τὸ γοῦν δεύτερον πρόσωπον τῆς ὁριστικῆς ἐγκλίσεως, οὐ συνεμπῖπτον τῇ προστακτικῇ ἐγκλίσει, οὐδὲ τὴν τούτων σύνταξιν ἀναδέχεται. τίς γὰρ ἂν φαίη, φέρε λέγεις, ἢ φέρε ἀριθμήσεις; οὕτω δὲ ἔχει κἀκεῖνο, Ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω, καὶ ἴδωμαι· Ἀλλ' ἄγ' ἐγών, ὅς σεῖο γεραίτερος εὔχομαι εἶναι, ἐξείπω.

κς'. Ὅτι ἡ ὑποθετικὴ ἔγκλισις, οὐ πάντως ἡ αὐτὴ τῇ προστακτικῇ· καὶ τίνος ἕνεκεν συντάξεως ἡ ὑποτακτικὴ ἔγκλισις εἴρηται.

Ἔμοιγε μὴν δοκεῖ τὰ τῆς ἐγκλίσεως ἐπιτετάραχθαι· ἐπεὶ σχεδὸν ἐγκλίσεις δύο † συνωθοῦνται εἰς μίαν ἔγκλισιν. ἔχει δὲ τὰ τῆς ἀποδείξεως τῇδε· δέδοται ὅτι οὐ προσκαλούμεθα ἑαυτούς· οὐδὲ μὴν προστάσσομεν ἑαυτοῖς, καθ' ἣν εἴπομεν ἔννοιαν τῶν προστακτικῶν. ἑαυτοῖς ὑποτιθέμεθα μέντοι ἑαυτοὺς ὥς γε ἔχει ἐπὶ τοῦ Διός. ἐν γὰρ πολλαῖς ὑποθήκαις ἐγγενόμενος, καὶ μίαν αἱρήσει ὑπονοήσας, τοιοῦτόν τι εἶπε·

gularis; λέγετε, λέγε: νοεῖτε, νόει: ita etiam in primis, penultima, abiecta syllaba μεν, primam personam singularem cōstituet: φέρωμεν, φέρω: ἀριθμήσωμεν, ἀριθμήσω. Neq; est mirum si in eandem incurrit vocem in quam modus indicatiuus: siquidem idem accidit secūdis personis. Hoc autem fit manifestum ex illa constructione; ἄγε λέγωμεν, ἄγε φέρωμεν: cuius singularis numerus erit, φέρε λέγω, φέρε ἀριθμήσω. At secunda persona indicatiui modi, quæ non coincidit in eandem vocem in quam imperatiuus, ne cōstructionem quidem eius recipit. quis.n. dixerit, φέρε λέγεις aut φέρε ἀριθμήσεις? Huiusmodi est illud, ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω, & ἴδωμαι: Od. ν. &, ἀλλ' ἄγ' ἐγὼν, ὅς σεῖο γεραίτερος εὔχομαι εἶναι, ἐξείπω. Il. ι.

26. *Modum hypotheticum non omnino eundem esse atque imperatiuum: & cuius constructionis causa repertus fuerit modus subiunctiuus.*

Ego tamen existimo modum esse cōfusum quoniam duo fere modi in vnum confunduntur. Huius rei demōstratio illa fuerit: Cōcessum iam est illud, nos neque vocare nos ipsos, neque nobis ipsis imperare: propter imperatiui intellectum, de quo iam diximus: proponimus tamen nobis ipsis; vt Iupiter apud Homerū facit; qui, cum multa iam sibi proposuisset, & vnam demum sententiam probasset, tale quidpiā dixit;

Il. β. πέμψω ἐπ' Ἀτρείδην Ἀγαμέμνονα οὖλον ὄνειρον: cuius rursus transsumptio facta est in infinitū, vt oratio narrationi accommodaretur; πέμψαι ἐπ' Ἀτρείδην Ἀγαμέμνονα οὖλον ὄνειρον. Ex eiusmodi singulari natus etiam pluralis numerus, qui secundæ ac tertiæ personæ cōceptionem contrahit; πέμψωμεν, ἀριθμήσωμεν. quem vsui accōmodatum maxime fieri existimo in personis videlicet præstantioribus: siqui-

Prisc. lib. 18. dem inferiorū personarum constructionem omnino nō recipit. diximus enim iam, imperatiua ex personis præstantioribus & inferioribus constare, quæ imperium rei recipiunt. vt igitur declinaret imperium, quod in secūdis personis fit; in prima suscipit conceptionē: quæ constructio in singulari numero hypothetica demōstrata est. & quia nimirum prima persona id obtinuit, etiam ceteræ personæ; quæ societatem cum ea coierunt, eundē sunt adeptæ modum. Tale est illud, quod a Schenelo dictum

Il. ε. est; ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων: ne videlicet præstantiori personæ imperaret, si dixisset χάζευ. Simile est etiam il-

Il. ζ. lud Nestoris; ἀλλ' ἄνδρας κτείνωμεν. nam cum se ipsum simul comprehēdisset, fecit alacriores Græcos ad prœliū, quod vrgebat. Ergo nō existimo secūdas & tertias psonas esse istiusmodi modorū, qui vocantur ὑποθετικοί. nam

Πέμψω ἐπ' Ἀτρείδην Ἀγαμέμνονα οὖλον ὄνειρον. οὗ πάλιν ἡ μετάληψις γενήσεται εἰς ἀπαρέμφατον κατὰ τὸ διηγηματικόν· πέμψαι ἐπ' Ἀτρείδην Ἀγαμέμνονα οὖλον ὄνειρον. ἀπὸ δὴ τοῦ τοιούτου ἑνικοῦ μετῄει καὶ πληθυντικὸς ἀριθμός, ἐπισπώμενος τὴν ἐκ δευτέρων καὶ τρίτων προσώπων σύλληψιν, πέμψωμεν, ἀριθμήσωμεν. ὃν μάλιστα καὶ εὔχρηστον ὑπολαμβάνω καθίστασθαι, ὡς πρὸς τὰ ἐπικρατοῦντα πρόσωπα· εἴγε σύνταξιν ἐπικρατουμένων προσώπων ἄντικρυς οὐκ ἀναδέχεται. εἴπομεν γὰρ ὡς τὰ προστακτικὰ ἐξ ἐπικρατούντων ἐστὶ προσώπων, καὶ ἐξ ἐπικρατουμένων· ἃ καὶ τὴν πρόσταξιν ἀναδέχεται τοῦ πράγματος. ἵν' οὖν ἐκκλίνῃ τὴν ἐν δευτέροις προσώποις γινομένην πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρῶτον· ἥτις κατὰ τὸ ἑνικὸν ἐδείχθη ὑποθετική. καὶ δῆλον ὅτι τῇ ἐπικρατείᾳ τῇ κατὰ τὸ πρῶτον, καὶ τὰ συγγενόμενα πρόσωπα, τῆς αὐτῆς ἐγκλίσεως ἐτύγχανε. τοιοῦτον γάρ ἐστι καὶ τὸ πρὸς Σθενέλου εἰρημένον· ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων· ἵνα μὴ τῷ ὑπερέχοντι προσώπῳ προστάξῃ ἐν τῷ χάζου. τοιοῦτόν ἐστι καὶ τὸ πρὸς Νέστορος εἰρημένον, ἀλλ' ἄνδρας κλείνωμεν. ἑαυτὸν γὰρ συλλαβών, προθυμοτέρους καθίστησι τοὺς Ἕλληνας εἰς τὸν κατεπείγοντα πόλεμον. Οὐ δὴ οὖν δεύτερα καὶ τρίτα ὑπολαμβάνω πρόσωπα εἶναι τῶν τοιούτων ὑποθετικῶν. ἵνα γὰρ μὴ γίνηται

μὴ γίνηται δεύτερον πρόσωπον, ἐγένετο καθ' ἣν εἴπομεν σύλληψιν τῶν ἑνικῶν. ἔστι καὶ διὰ τῆς φωνῆς τὸ τοιοῦτον παραστῆσαι. πάσης ἐγκλίσεως τὰ δεύτερα πρόσωπα πληθυντικά, εἰς τε λήγοντα, ἰσοχρονεῖ κατὰ τὴν παραλήγουσαν τοῖς πρώτοις· λέγοιμεν, λέγοιτε· λέγομεν, λέγετε. διὰ τοῦτο φαμὲν τὸ ῥιπτοῦμεν παράκειται τῷ ῥιπτεῖτε· τὸ δὲ ῥίπτομεν, τῷ ῥίπτετε. περισσὸν ὑποδείγμασι χρῆσθαι, καθολικοῦ ὄντος τοῦ λόγου. πῶς οὖν καὶ κατὰ τὸν λόγον τῆς φωνῆς παρακείσεται τὸ φεύγετε τῷ φεύγωμεν; τὰ εἰς θε λήγοντα, μιᾷ ἐνδεῖ συλλαβῇ τῶν εἰς θα ληγόντων, κατὰ πᾶσαν ἔγκλισιν. οὐκ ἄρα καὶ κατὰ [τὸ] τοιοῦτον, τὸ πεποιώμεθα παρακείσεται δεύτερον τῷ πεποιῆσθε. φαίνεται οὖν ὅτι τὸ λεῖπον τῶν προστακτικῶν προσώπων, λέγω τὸ πρῶτον, καὶ τὰ λείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα, † εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις εἰς μίαν φωνὴν παραλαμβάνεσθαι· ἵν' ἑκάτερα ἀνταναπληρωθῇ τοῦ λείποντος, τῶν ἐγκλίσεων καὶ κατὰ τὸ σημαινόμενον συντρεχουσῶν.

παρα- κεῖσθαι

ἴσ. δευ- τέρῳ

Εἰ δέ τινες προσβιάσαιντο καὶ ἐν δευτέροις προσώποις καταγίνεσθαι τὰ ὑποθετικά, καθ' ὁμοφωνίαν τὴν πρὸς τὰ προστακτικά, ἐκεῖνο ἂν φαίημεν, ὡς συνοῦσα ἡ διὰ τοῦ ἄγε σύνταξις, ἐξαίρετον καταστήσει τὴν προστακτικὴν ἔγκλισιν. προφανῶς γὰρ τὸ ἐγκελευστικὸν ἐπίρρημα, ἐπιτείνει τὴν πρόσταξιν.

ne fecūda fieret perfona, factus eſt per conceptionē numeri ſingularis; ſicuti ſuperi⁹ diximus. Hoc ipſū voce quoque probari poteſt. Secundę perſonæ pluralis numeri, in quolibet modo terminantes in τε, habent penultimā temporibus parem primis; λέγοιμεν, λέγοιτε: λέγομεν, λέγετε. atq; iccirco dicimus ῥιπτοῦμεν eſſe finitimum ῥιπτεῖτε: ῥίπτομεν vero, finitimum ῥίπτετε. Sed ſuperuacaneū eſt exemplis vti; quoniā hæc ratio vniuerſalis eſt. quî ergo, etiam ſecūdum vocis regulam, φεύγετε finitimum fuerit φεύγωμεν? Verba in θε terminantia, in quolibet modo ſunt vna ſyllaba breuiora terminātibus in θα. ergo πεποιώμεθα ex iſta regula nō erit proximū πεποιῆσθε, ſecundæ ſcilicet perſonæ. Apparet igitur, primā imperatiui perſonam, quæ deficit; & ſecundam ac tertiam τῶν ὑποθετικῶν, quæ & ipſæ deficiunt, in vnū confundere duos modos, vt pro vno ſumātur; vt, quæ deſunt vtriq; modo, ſuppleantur, & duo modi concurrant etiam ſignificatione. Quod ſi qui contendant violētius, τὰ ὑποθετικὰ etiam in ſecūdis verſari perſonis propter vocis ſimilitudinem, quā habēt communem cū imperatiuis; illud reſpondebimus, conſtructionē aduerbii ἄγε, quæ cum imperatiuis cōiungitur, eximere ac vindicare modū imperatiuum. hortādi enim aduerbium, imperium intendit & auget.

Cap. 27. Consequens est vt etiam de tertiis imperatiuorũ personis disseramus: quas & ipsas secundas esse aiunt; eo tamen differre a prioribus, quod illæ per se rei imperiũ recipiunt, hæ autem hortantur vt aliis personis imperetur. nam λεγέτω, & alia id genus, continent proculdubio binas hortationes: alteram, quæ in secunda persona versatur; alterã, quæ ex ea transit in tertiã. Idem cognosci potest etiam in vnius personæ pronominibus. nam pronomen ἐγώ, & eius coniugata, & semel intelliguntur singulari numero, & vnã personam indicant. Possessiuum tamen ἐμός & bis in numero singulari intelligitur, & duas subindicat personas. fortasse etiam pronomen quod habet rectum tenorem, quãquam sit simplex, propter discretionem insitam duas personas indicat: comparatiua etiam nomina, & omnia quę habẽt ad aliquid relationem. Quare etiam λεγέτω, secundam & tertiam personam indicat. Sed aduersus hæc dicendum est, falsum esse illud, quod duæ intercidãt personæ; quia neq; in secunda persona versatur vox illa λεγέτω, neq; ratio hæc in imperatiuis præcipue capere poterit; quæ multo ante debuerat exsistere in modo indicatiuo. enũtiamus enim apud nõnullos de nonnullis; ὀρθῶς διαλέγεται Τρύφων. ἡμέρα ἐστίν. atque hæc, & alia eorum similia, non cõtinuo secundæ personæ dici pote-

Ἐχομένως ῥητέον καὶ περὶ τῶν κατὰ τὸ τρίτον προστακτικῶν. ἃ δὴ καὶ αὐτὰ δευτέρου προσώπου φασὶν εἶναι, διαφέρειν δὲ τῶν προκειμένων καθὸ ἐκεῖνα μὲν, αὐτόθεν πρόσταξιν πράγματος παραδέχεται· ταῦτα δὲ, ἐγκελεύεται εἰς ἑτέρων προσώπων πρόσταξιν. τὸ γὰρ λεγέτω, καὶ τὰ ὅμοια, σαφὲς ὅτι καὶ τὰς ἐγκελεύσεις ἔχει διττάς, τήν τε ἐν δευτέρῳ καταγινομένην, καὶ τὴν ἐξ αὐτοῦ εἰς τρίτα μετιοῦσαν· καθάπερ ἐστὶν ἐπινοῆσαι κἀπὶ τῶν μονοπροσώπων ἀντωνυμιῶν. ἡ μὲν γὰρ ἐγώ, καὶ αἱ σύζυγοι, καὶ ἅπαξ ἑνικῶς νοούμεναί εἰσι, καὶ ἓν πρόσωπον ὑπαγορεύουσιν· ἥ γε μὴν ἐμός, καὶ δὶς ἑνικῶς νοεῖται, καὶ δύο πρόσωπα παρεμφαίνει. ἴσως δὲ καὶ ἡ ὀρθοτονουμένη ἀντωνυμία, καίπερ ἁπλῆ ἦ, † διὰ τὴν ἐπιούσης διαστολῆς τὸ δισσὸν πρόσωπον [ὑπαγορεύει· καὶ τὰ συγκριτικά, καὶ τὰ πρός τι ἅπαντα. καὶ δὴ οὕτω τὸ λεγέτω δεύτερον καὶ τρίτον ὑπαγορεύει. ἀλλ' ἔστι γε πρὸς ταῦτα φάναι, ὡς ψεῦδός ἐστι τὸ παρεμπίπτειν δισσὸν πρόσωπον·] οὔτε μὴν ὅτι ἐν δευτέρῳ προσώπῳ καταγίνεται, οὔτε μὴν ἐξαιρέτως ἐπὶ τῶν προστακτικῶν ἐγχωρήσει τὸ τοιοῦτον. πολὺ γὰρ πρότερον καὶ ἐπὶ τῆς ὁριστικῆς ἐγκλίσεως τὸ τοιοῦτον ἂν παρέποιτο. ἀποφαινόμεθα γὰρ καὶ πρός τινας περί τινων· ὀρθῶς διαλέγεται Τρύφων· ἡμέρα ἐστί. καὶ οὐ πάντως τὰ τοιαῦτα, ὅτι πρός τινά ἐστι, καὶ κζ

ἐστι, καὶ δεύτερα εἰρήσεται). διὸ καὶ ἐπιμεμπτέοι οἱ ἀφορισάμενοι τὸ δεύτερον πρόσωπον πρὸς ὃν ὁ λόγος, ὅτι μὴ προσετίθεσαν καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου καὶ δὴ τὰ προκείμενα, συντάσσεται μὲν δευτέροις προσώποις, οὐ μὴν δεύτερά ἐστιν. οὐ γὰρ κατὰ τῶν προσφωνουμένων αἱ προστάξεις γίνονται, κατὰ δὲ τῶν ἐν τοῖς τρίτοις νοουμένων. σαφὲς κἀκ τοῦ παρεπομένου ἀριθμοῦ. ἡνίκα γὰρ δευτέρῳ προστάσσεται, ἑνικῶς μὲν γὰρ λέγε, πληθυντικῶς δὲ λέγετε. οὐ μὴν ἐν τῷ λεγέτω ταὐτὸ παρακολουθήσει. τρίτου γὰρ καθεστῶτα, τὴν ἐν τρίτοις προσώποις
ἴσ. ἀναλλαγὴν διαλλαγὴν ἔχει τοῦ ἀριθμοῦ, λεγέτω, λεγέτωσαν· τοῦ εἰρημένου δευτέρου προσώπου, οὐδαμῶς [τὸ] τοιοῦτον ἀναδεχομένου. ὃ δὴ εἰ φύσει προσείχετο κατὰ προσώπου
ἀριθμὸν μερισμόν, ἀνεδέξατο ἂν καὶ τὸν συνόντα ἀριθμὸν ἑνικὸν καὶ πληθυντικόν· καθάπερ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, ἡμέτερος, ἐμός. νυνὶ δὲ τὸ λεγέτω καὶ λεγέτωσαν, καὶ τὰ ὅμοια, οὐκ ἔχει διαστολὴν τὴν κατὰ τὸ δεύτερον πρόσωπον ἐν ἀριθμῷ, πότερον ἑνί τις ἀποφαίνεται περὶ ἑνός, ἢ πλείοσι περὶ ἑνός, ἢ καὶ περὶ πλειόνων. οἷόν τε γάρ ἐστι φάναι καὶ ἀθροίσματι, γρηγορείτω ὁ στρατηγὸς ὑμῶν· καὶ ἑνί, γρηγορείτω σου ὁ δεσπότης. καὶ οὐδεμία ἐστὶν ἐναλλαγή, ἢ μόνη κατὰ τὸ τρίτον νοουμένη ἧς ἐστι καὶ τὰ πρόσωπα. τὸ δὴ οὖν λεγέτω, καὶ πάντα τὰ τοιαῦτα, σημαίνει ἀπόντων προσώπων προσ-

runt, quia ad aliquē referūntur. Quare reprehendendi sunt, qui secūdam personam, ad quam dirigitur sermo, distinxerunt; quod nihil addiderunt de ea persona de qua est sermo. Iam vero superiora exempla, cum secundis illa quidem personis construuntur, secundæ tamen personæ non sunt. nam non imperant iis quos alloquimur, sed iis qui intelligūtur in tertia persona. Idem potest perspici etiā ex numero, qui his accidit. nam cū secundæ personæ imperatur, singulari numero dicitur λέγε, plurali vero λέγετε. idem tamen tertiæ λεγέτω non accidet. nam cū tertiæ personæ sit, in tertiis personis numeri varietatem patitur; λεγέτω, λεγέτωσαν: in quo secunda persona, quæ recta est, nihil tale recipit: quæ si natura esset insita per personæ distributionem, simul reciperet insitū numerum singularē & pluralem, sicuti fit in pronominibus ἡμέτερος, ἐμός. Iam vero λεγέτω & λεγέτωσαν, & similia, nullam secundæ personæ discretionem habent in numero, vtrū vnum alloquaris de vno, an plureis de vno, aut etiam pluribus. nam licet & cœtui alicui dicere, γρηγορείτω ὁ στρατηγὸς ὑμῶν: & vni cuipiam, γρηγορείτω σου ὁ δεσπότης. hic nulla est facta varietas: nisi ea quæ in tertia tantum persona intelligitur, ad quā personę pertinent. Ergo λεγέτω, & omnia id genus, significant in absenteis personas impetium,

[vt sit internuntia: Prisc. lib. 18.] assumpta necessario earũ loco, secunda persona *quæ sit imperii internuntia: quoniã rursus imperium extra secundam personã consistere non potest. hinc enim fit vt iungatur cũ vocatiuis, qui semper in secunda persona intelliguntur. Expositum autem est superius, voces indicatiui modi plerumque coincidere; vt λέγετε, & λέγεσθε, & διανοεῖσθε, & omnia id genus. Et quoniam rursus vocatiui coincidũt cum nominatiuis, & indicatiui modi iunguntur cum nominatiuis, vocatiui autem cum imperatiuis; illud etiam, διανοεῖσθε ἄνθρωποι, nondum discretum est; nisi accesserint ea quæ vtriusq; partis orationis propria sunt. nam in nominatiuo dixerimus, ἄνθρωποι ὄντες διανοεῖσθε, nõ in imperatiuo modo, (vt nonnulli putãt) sed in indicatiuo; quẽadmodum intelligi potest in prima etiam & tertia persona; ἄνθρωποι ὄντες, διανοούμεθα: ἄνθρωποι ὄντες διανοοῦνται. Eadem ratio manifesta fit ex singulari cõstructione; ἄνθρωπος ὢν διανοῇ: ἄνθρωπος ὢν διανοοῦμαι: & in tertia, διανοεῖται. in qua constructione, si vocatiuus intercedat, duæ illæ voces immutãtur; ἄνθρωπε διανοοῦ. Idem probatur ex participio coniuncto. nam participium ὤν, cum vocatiuo cõsistere non potest; cum nominatiuo potest. nam nõ dicimus ἄνθρωπε ὤν, sed ἄνθρωπος ὤν. Eodẽ modo pronomen σύ demonstraba-

τάξιν, ἀναγκαίως δευτέρου προσώπου ἐναλλασσομένως παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως· ἐπεὶ πάλιν ἡ πρόσταξις ἐκ τοῦ δευτέρου προσώπου ἀσύστατός ἐστιν· [προσ- ξεως γρ. ἐξ] ἔνθεν γὰρ καὶ τῷ ἐν δευτέρῳ προσώπῳ νοουμέναις ἀπολύτοις κλητικαῖς συνέστη. προέσκειται δὲ ὡς [προείρηται] τὸ πλέον συνεμπίπτουσι τῆς ὁριστικῆς ἐγκλίσεως αἱ φωναί· ὡς τὸ λέγετε καὶ λέγεσθε, καὶ ἔτι διανοεῖσθε, καὶ ἅπαντα τὰ τοιαῦτα. καὶ ἐπεὶ πάλιν αἱ κλητικαὶ συνεμπίπτουσι ταῖς εὐθείαις, συντάσσεται δὲ εὐθείαις [γίνεται δὲ] τὰ ὁριστικά, καὶ ἔτι αἱ κλητικαὶ τοῖς προστακτικοῖς, πάλιν τὸ, διανοεῖσθε ἄνθρωποι, οὔπω διακέκριται· εἰ μὴ ἐπιπροσγένηται τὰ ἰδιάζοντα πρὸς ἑκάτερα τῶν μερῶν τοῦ λόγου. φήσομεν γὰρ ἐπ' εὐθείας, ἄνθρωποι ὄντες διανοεῖσθε· οὐχ ὡς οἴονταί τινες, κατὰ προστακτικὴν ἔγκλισιν, κατὰ δὲ ὁριστικήν· καθάπερ ἐστὶν ἐπινοῆσαι κἀπὶ τοῦ πρώτου καὶ τρίτου, ἄνθρωποι ὄντες διανοούμεθα, ἄνθρωποι ὄντες διανοοῦνται. κἀκ τῆς ἑνικῆς συντάξεως προφανὴς ὁ λόγος, ἄνθρωπος ὢν διανοῇ, ἄνθρωπος ὢν διανοοῦμαι· καὶ ἔτι διανοεῖται. ἐφ' ἧς συντάξεως κατὰ τὸ κλητικὸν αἱ δύο φωναὶ ἐναλλάσσονται, ἄνθρωπε διανοοῦ. ἀλλὰ κἀκ τῆς συνούσης μετοχῆς προφανές. οὐ γὰρ συνίσταται ἡ ὢν μετοχὴ μετὰ κλητικῶν, μετὰ μέντοι τῶν εὐθειῶν. οὐ [κλητικῶς] γὰρ φαμὲν ἄνθρωπε ὤν, ἄνθρωπος δὲ ὤν. οὕτως ἀπεδείκνυτο καὶ ἡ σύ,

ὡς εἴη

[margin: εὐθείας] ὡς εἴη εὐθεῖα ἐν τῷ σὺ ὤν, ὡσεὶ καὶ ἐγὼ ὤν. καὶ μετὰ τοῦ ἄρθρου δὲ λέγομεν, οἱ ἄνθρωποι διανοεῖσθε, † οὐ κατ' ἔγκλισιν τοῦ διανοεῖσθε, [κατὰ δὲ τὴν ὑπάρχουσαν ἑκάστῳ διάνοιαν, ἣν ὁριζόμεθα ἐν τῷ διανοεῖσθε·] ὡς εἰ καὶ λέγοιμεν ὑπάρχειν ἐν ἡμῖν τὸ λογιστικόν, τοῦ ἄρθρου μηνύοντος τὴν εὐθεῖαν. εἰ γὰρ προστεθείη τις τὸ ὦ, γενήσεται καὶ τὸ διανοεῖσθε προστακτικόν, ὦ ἄνθρωποι διανοεῖσθε. ἀλλ' εἰ καὶ ἔτι τὸ ἄγε, ἄγε διανοεῖσθε ὦ ἄνθρωποι. ἐφ' ἧς συντάξεως πάλιν, εἴ τις ἀναθείη τὸ ὅτι, ὅτι διανοεῖσθε, μεταστήσεται τὰ τῆς συντάξεως εἰς ὁριστικὴν ἔγκλισιν. καὶ ταῦτα μὲν περὶ τῶν ὁμοφωνούντων. Περὶ δὲ τῶν μὴ ὁμοφωνούντων μήτε ἐν τοῖς ὀνόμασι μήτε ἐν τοῖς ῥήμασιν, οὐδὲ κατ' ὀλίγον τὰ τῆς συντάξεως δεῖται λόγου· ἄνθρωπος ἔγραφεν, ἄνθρωπε γράφε. εἰ γὰρ ἀνὰ μέρος πάλιν τὸ ἕτερον γένηται ὁμόφωνον τὸ [margin: τῷ συμφερομένῳ] συμφερόμενον, τὸ ἀμφίβολον ἀποτείψεται. φέρε φάναι περὶ τοῦ Ἑλικών, καὶ τῶν ὁμοίων ὀνομάτων. προσκείμενον γὰρ τὸ ὁριστικόν, εὐθεῖαν σύνταξιν ἀποτελέσει, Ἑλικὼν γράφει· τό γε μὴν προστακτικόν, κλητικήν, Ἑλικὼν γράφε. ἢ ἀνάπαλιν ἐπὶ τοῦ ἤχει, λέγω κατὰ παρατατικὴν προφορὰν τοῦ τρίτου προσώπου, ἤχει ποτὲ τὸ ἐν Δωδώνῃ χαλκεῖον· ἀλλὰ καὶ κατὰ προστακτικὴν προφοράν, ὡς εἰ καὶ λέγω, ἤχει σύ.

tur esse nominatiuus in illo, σὺ ὤν, sicuti & ἐγὼ ὤν, etiam si cum articulo proferamus, οἱ ἄνθρωποι διανοεῖσθε. nam διανοεῖσθε non est imperatiui modi, sed accipitur pro cogitatione, quæ vnicuique insita est, & quam finimus verbo illo διανοεῖσθε: perinde ac si diceremus insitum esse nobis τὸ λογιστικόν, in quo articulus τὸ indicat nominatiuum. si enim adieceris ὦ, verbum etiam διανοεῖσθε erit imperatiui modi; ὦ ἄνθρωποι διανοεῖσθε: atq; etiam si addideris ἄγε, ἄγε διανοεῖσθε ὦ ἄνθρωποι. in qua cõstructione rursus, si adieceris particulam ὅτι, ὅτι διανοεῖσθε, constructionem transferes in modum indicatiuum. Ac satis dictum de iis quæ voce similia sunt: eorum vero constructio, quæ voce sunt dissimili, tã in nominibus, quam in verbis, minime indiget disputatione; ἄνθρωπος ἔγραφεν, ἄνθρωπε γράφε. nam si separatim rursus alterutrum eorũ voce concurrat, altera parte, qua cum iunctum est, ambiguitatem abolebit. exempli gratia, proferamus nomen Ἑλικών, & alia id genus nomina. nã si verbũ indicatiuum huic adiungatur, rectam constructionem efficiet; Ἑλικὼν γράφει: sin imperatiuum, constructio erit vocatiui, Ἑλικὼν γράφε. vel conuersa ratione dicamus ἤχει, significatione inquã tertiæ personæ paratatici; ἤχει ποτὲ τὸ ἐν Δωδώνῃ χαλκεῖον. idem tamen etiam imperatiui significatione proferri poterit, si dicam ἤχει σύ.

quod rursus si cum nominatiui figura construatur, præteritum efficiet imperfectū ἦχει: ἦχει ὁ τρίπους, ἦχει ὁ ἄνθρωπος: vel vice versa, figura vocatiui, efficiet imperatiuum, ἦχει ἄνθρωπε. in qua constructione, si nominatiuus, qui voce concurrit cum vocatiuo, accesserit, efficiet omnino constructionē ambiguam; si dicas sic, ἦχει Ἑλικών. in qua constructione rursus opus est particulis supradictis, ὁ Ἑλικὼν ἦχει: ἄγε ἦχει ὦ Ἑλικών: ὅτι ἦχει ὁ Ἑλικὼν οὐ λέλησμαι: quia integra etiā & absoluta ratio signum vocatiui est. nam ecce nomē ipsum Ἑλικών, si verbo careat, nominatiuum profitetur: nisi careat, casus fuerit vocatiui; hunc in modum, ὦ Ἑλικὼν ἦχει. Demonstrabamus etiam superius, secundam præsentis personā numeri multitudinis in eandem vocem coincidere; sed modorum fieri discretionem aduerbio ἄγε. iam excipiendum est hoc vnum verbum substātiuum ἐστε. hoc enim vitauit ambiguitatem: siquidem grauatum, imperatiui modi est; indicatiui, si acuatur. Ac fortasse aliquis putauerit vocem fuisse neglectam, quod generali regulæ subiecta non est; ita vt vel in ea voce quæ acuitur, vel in imperatiui, quæ grauatur, vitium sit. Sed aduersus istam quæstionem responderi poterit, imperatiua omnia, in τε terminātia, grauari: & ideo ἔστε grauatū, carere vitio: relinqui ergo vt ἐστὲ, quod acuitur, neglectum fuerit; qđ voce cōcurrit cum eo quod recte scri-

ὁ προσδεχόμενον τὸ τῆς εὐθείας σχῆμα, παρατατικὸν ἀποτελέσει τὸ ἦχει, ἦχει ὁ τρίπους, ἦχει ὁ ἄνθρωπος. ἢ πάλιν τὸ κλητικόν, τὸ προστακτικὸν ἀποτελέσει, ἦχει ἄνθρωπε. ἐφ᾽ οὗ δὴ προσγινομένη ἡ ὁμόφωνος εὐθεῖα, τέλεον ἀμφίβολον ποιήσει τὴν σύνταξιν ἐν τῷ, ἦχει Ἑλικών. ἐφ᾽ ἧς πάλιν συντάξεως χρεία ἐστὶ τῶν προκειμένων μορίων, ὁ Ἑλικὼν ἦχει· ἄγε ἦχει ὦ Ἑλικών· ὅτι ἦχει ὁ Ἑλικών, οὐ λέλησμαι· ὅτι καὶ ἡ αὐτοτέλεια τεκμήριόν ἐστι κλητικῆς. ἰδοὺ γὰρ καὶ αὐτὸ τὸ Ἑλικών, ἐλλεῖπον μὲν ῥήμασιν εὐθεῖαν ὁμολογεῖ· οὐ τῇδε δὲ ἔχον, κλητικῆς ἐστι πτώσεως, τοιοῦτον δέ ἐστιν ὦ Ἑλικὼν ἦχει. Ἐδείκνυμεν τοῦ ἐνεστῶτος ἀπὸ δευτέρου τὰ πληθυντικὰ συνεμπίπτοντα· ὧν ἡ διάκρισις ἐγίνετο διὰ τοῦ ἄγε. ἢ ὅτι ὑπεσταλμένου ἑνὸς ῥήματος, τοῦ ἔστε. τοῦτο γὰρ ἀπέβαλε τὴν ἀμφιβολίαν· εἴγε βαρυνόμενον μέν, προστακτικόν ἐστιν· ὀξυνόμενον δέ, ὁριστικόν. καὶ ἴσως δόξει ὀλιγωρεῖσθαι τὰ τῆς φωνῆς, ὅτι μὴ τῷ καθολικῷ ὑπέστη· καὶ ἤτοι τὸ ὀξυνόμενον ἡμάρτηται, ἢ τὸ βαρυνόμενον προστακτικόν. ἐφ᾽ οὗ ἂν φαίη τις, ὡς ἅπαντα τὰ εἰς τε λήγοντα προστακτικὰ βαρύνεται· καὶ διὰ τοῦτο βαρυνόμενον τὸ ἔστε κατώρθωται· καὶ λείπεται τὸ ἐστὲ ὀλιγωρεῖσθαι, ὅτι ὁμοφωνεῖ τῷ κατορθουμένῳ. ἀλλ᾽

ἐγίνετο

ὑπεπ

ἴσ. μὴ ὁμοτονεῖ Soph.

ιῳ. ἀλλ᾽ ὁμοτονεῖν θέλει τὰ δεύτερα ὁριστικὰ πληθυντικὰ τοῖς πρώτοις· ἴμεν, ἴτε· δίδομεν, δίδοτε. εἰ οὖν ἐσμὲν, δῆλον ὅτι καὶ ἐστέ· [τὸ δὲ προστακτικὸν, βαρυνόμενον.] τί οὖν χρὴ ἐπὶ τῆς τοιούτου διαλαβεῖν, ἢ ἐκεῖνο ἀποφήνασθαι, ὡς ὀξύνεται μὲν τὸ ὁριστικὸν ἐν τῷ ἐσμὲν καὶ ἐστὲ, διὰ τὸ εἶναι ἐγκλιτικὰ, οἷς οὐ σύνεστι βαρὺ τὸ τέλος. καὶ ἐπεὶ ἐν τοῖς προστακτικοῖς ἀφίσταται ἡ ἔγκλισις, συναφίσταται καὶ ἡ ἐπὶ τοῦ τέλους ὀξεῖα· ἥτις αἰτία ἦν τῆς ἐγκλίσεως. διὰ τοῦτο τὸ μὲν εἰμὶ, ὀξύνεται, ὁριστικὸν ὂν, καθὸ ἐγκλιτικόν· οὐ μὴν τὸ ἴσθι
ὑ καθὸ e
προστακτικὸν, καθὸ οὐκ ἐγκλιτικόν· καίτοι πάλιν τῶν εἰς θι ληγόντων προστακτικῶν, ὁμοτονούντων τοῖς εἰς μι· ζεύγνυμι, ζεύγνυθι· εἰμὶ, ἴσθι. ἔνθεν οὐ συγκατατίθεμαι τοῖς ἐν προστακτικῇ προφορᾷ ὀξυτονοῦσι τὸ φαθί· συνελεγχομένοις κἀκ τοῦ τρίτου προσώπου τοῦ φάτω· ὃ δὴ ἐμότονον καθεστὼς τῷ δευτέρῳ, ὁμοίως τοῖς ἄλλοις, ἤλεγχε τὴν παρὰ τὸ δέον ὀξεῖαν.

κη΄. Εἰ συγκαταθετέον τοῖς καλοῦσι διστακτικήν.

τμῆμα ϛ΄ Ἑξῆς ῥητέον καὶ περὶ τῆς ὑποτακτικῆς ἐγκλίσεως· ἥν τινες καὶ διστακτικὴν ἀποφαίνονται, ἀπὸ τοῦ ἐξ αὐτῆς δηλουμένου· καθάπερ καὶ αἱ προκαταλελεγμέναι τὸ αὐτὸ ἀνεδέξαντο. σαφὲς γὰρ ὅτι τὸ, ἐὰν γράφω, καὶ τὰ τούτοις ὅμοια, δισταγμὸν τοῦ ἐσομένου πράγματος σημαίνει. ἀλλ᾽ ἴσως

ptum est. At secundæ personæ plurales indicatiui modi debēt eundem habere tenorem atque primæ; ἴμεν, ἴτε: δίδομεν, δίδοτε. Quare si dicimus ἐσμὲν, dicemus etiā nimirum ἐστέ: & tamen imperatiuū non acuitur, sed grauatur. Quid igitur aliud in ista quæstione dicendū, quam illud respondendum? Modū indicatiuum acui in illis ἐσμὲν, ἐστέ, quia sunt ἐγκλιτικά, hoc est, quia inclinātur: quæ vero inclinātur, habent grauatam extremā syllabam. & quoniā in modos imperatiuos non cadit inclinatio, propterea tenorem etiam acutum abesse simul a syllaba extrema: qui quidem tenor erat causa inclinationis: & ideo εἰμὶ acuitur, quod est indicatiui modi, quia inclinatur: sed imperatiuum ἴσθι non acuitur, quia nō inclinatur: quamquam etiam imperatiua in θι terminantia eundem habeāt tenorem atque imperatiua verborum in μι, ζεύγνυμι, ζεύγνυθι: εἰμὶ, ἴσθι. Quare non assentior iis qui in Imperatiui prolatione acuunt φαθί. Ii enim simul arguūtur ex tertia persona φάτω: quæ cum sequatur tenorē secundæ personæ, perinde atque aliæ, arguit acutum non suo loco positum.

28. An sit assentiendum iis qui vocāt modum dubitatiuum.

Dicendum deinceps est de subiunctiuo modo; quē nonnulli dubitatiuum etiam appellant, propter significationem quæ eum sequitur; quemadmodum etiam superiores modi eandem rationem receperunt. Perspicuum enim illud est, ἐὰν γράφω, & alia id genus, rei futuræ dubitationem significare. Sed fortasse *Pars VI Prisc. lib. 8.*

ex sua ipsarum vi sic appellatæ: *continuatiuæ*, ex eo quod connectant orationem, eáq; continuam efficiant: *disiunctiuæ*, ex eo quod eandem viceuersa disiungant; itemque omnes reliquæ: at eæ quæ vocantur *expletiuæ*, non habẽt positionem ex significatione. falsum enim est, quod nonnulli existimarunt, solas eas explere hiatũ orationis, & propterea vocatas expletiuas. nam quod earum vnaquæque habet vim aliquam, ꝓbauimus in libro De coniunctionibus. neque enim idem est, τοῦτό μοι χάρισαι, atque illud, τοῦτό γέ μοι χάρισαι: aut, ἀγα-

Il. α. θὸς ὤν, atque ἀγαθός περ ἐών. neque idem significat οἱ μὲν παρ' ὄχεσφιν, atque illud, οἱ μὲν δὴ παρ' ὄχεσφιν. Coniunctio enim δὴ, est nota circumscriptionis in oratione. nã ne illud quidem habent præcipuum, vt solæ in oratione abũdare videantur: quãdoquidẽ huiusmodi abundantia etiam in reliquis fere coniunctionibus repe-

Il. ν. ritur: τὸν καὶ Μηριόνης πρότερος: ἤ-

Il. γ. τοι μὲν Μενέλαος: καδδὴ ἄλλο φρονέον-

Il. ψ. τα. Innumera huiusmodi exempla produci possũt: sed nõ est coniunctionum proprium vt in oratione abundent. pleonasmus enim fere ad omnes dictiones ꝑtinet. Quod si ex abundantia positio nominis ꝑfecta est, quæ fuerit ista explendi ratio, si coniunctionibus expletiuis inq̃ hic pleonasmus accidat? an quia ceteræ cõiunctiones,

in prima persona significare non potest: quorum secũdæ & tertiæ personæ, quoniam tempore æquales esse debẽt, aut eandem vocalem ω accipient, aut alteram æqualem tempore, adscripta simul ι: quoniam prima persona, quę cadit in ω, habet secundam & tertiam prolatam cum vocali, adscripta etiam ι. sed hæc regula demonstratur absolutius in libro De orthographia. Ergo apparet cõiunctionem causalem, propter similitudinem vocis quã habet cum effectiua, eius constructionem simul sibi asseruisse. Hanc ipsam rationem fortasse adiuuat etiã aduerbii significatio in eadem voce. Indicatiui enim constructio cum ἵνα, indicat ἵνα esse loci aduerbium; ἵνα τ' ἔβραφεν, ἠδ' ἐχέοντο. constat enim, coniunctiones causales cũ præteritis construi; ὅτι ἔγραψα, ὅτι ἐνόησα. Sciendum tamen est, appositiones istiusmodi cõstare ex præsenti & præterito. nam tale quidpiam constructio illa profitetur; ἐὰν μάθω, εἰ δύναιμι τὸ μαθεῖν, hoc est, *si disciplinam assecutus fuero*: ἐὰν δράμω, εἰ δύναιμι τὸ δραμεῖν, hoc est, *si cursum confecero*: at in illo, ἐὰν τρέχω, ἐὰν ἐν παρατάσει γένωμαι τοῦ τρέχειν, hoc est, *si cursum susceptum continuauero*. Hinc fit vt locũ non habeat constructio futuri. nam ipsæ coniunctiones significant futurum vel perfectum, vel imperfectũ. Cur ergo ridiculi non sint, qui excipiũt Dores circumflectere

Od.κ.

παρακείμενον σημαίνειν κατὰ δὲ πρῶτον πρόσωπον· ὧν τὰ δεύτερα καὶ τρίτα, ὀφείλοντα ἰσοχρονεῖν, ἢ δὲ αὐτὸ ω παραδέξεται, ἢ δὲ ἰσόχρονον, συγγραφομένου τοῦ ι· καθὸ ἡ ἐν πρώτῳ γινομένη κατάληξις τοῦ ω, τὴν ἐν δευτέροις καὶ τρίτοις ἐκφορὰν ἔχει μετὰ φωνήεντος, συνόντος τοῦ ι· τοῦ τοιούτου ἐντελέστερον ἀποδεικνυμένου ἐν τῷ Περὶ ὀρθογραφίας. Φαίνεται οὖν ὅτι ὁ αἰτιολογικὸς σύνδεσμος, τῇ πρὸς τὸν ἀποτελεσματικὸν ὁμοφωνίᾳ, συνήρπασε καὶ τὰ τῆς συντάξεως εἰς ταὐτὸ τάχα καὶ τὰ τῆς ἐπιρρηματικῆς ὁμοφωνίας συλλαμβανομένης τῷ λόγῳ. συντασσόμενα γὰρ τὰ ὁριστικὰ μετὰ τοῦ ἵνα, ἐνδείκνυται δὲ τοπικὸν ἐπίρρημα· ἵνα τ' ἔβραφεν, ἠδ' ἐχέοντο. ὁμόλογον γὰρ ὅτι οἱ αἰτιολογικοὶ παρῳχημένοις χρόνοις συντάσσονται· ὅτι ἔγραψα, ὅτι ἐνόησα. ἐχρῆν μέντοι γινώσκειν ὡς αἱ γινόμεναι παραθέσεις, ἐξ ἐνεστώτων εἰσὶ καὶ παρῳχημένων· τοιοῦτόν τι τῆς συντάξεως ἐπαγγελλομένης ἐν τῷ, ἐὰν μάθω, εἰ δύναιμι δὲ μαθεῖν· ἐὰν δράμω, εἰ δυναίμην δὲ δραμεῖν· ἔν γε μὴν τῷ ἐὰν τρέχω, ἐὰν ἐν παρατάσει γένωμαι τοῦ τρέχειν. καὶ ἔνθεν ἀνέφικτος ἡ τοῦ μέλλοντος σύνταξις. αὐτοὶ γὰρ οἱ σύνδεσμοι, δὲ ὡς ἐσόμενον σημαίνουσιν, εἰς συντέλειαν, ἢ εἰς παράτασιν. Πῶς οὖν οὐ γελοῖοι καὶ οἱ ἀφορισάμενοι, ὡς Δωριεῖς περισπῶσι

τὰ τῆς συντάξεως εἰς ταὐτὸ, τάχα ἢ τῆς ἐπιρ. Soph.

τὰ

τοὺς ὑποτακτικοὺς μέλλοντας· καὶ οἱ ἐπιζητήσαντες κατὰ τί οὐ περισπῶσιν. ὁ γὰρ λόγος αὐτῶν ἐξ ἀσυστάτου λήμματος συνέστηκεν. ἦν δὲ τὸ δελεάσαν τὴν τούτων ἄγνοιαν, ἡ γινομένη ὁμοφωνία ἐκ τοῦ εἰς α λήγοντος ἀορίστου, ἔχουσα οὕτως· ὁ προσγινόμενος χρόνος ἐν τοῖς ὁριστικοῖς, ἅμα τῷ μεταστῆναι τὴν ὁριστικὴν ἔγκλισιν, περιγράφεται. παρὰ γὰρ τὸ ἔλεξα, εὐκτικὸν μὲν γίνεται τὸ λέξαιμι, † ἀπαρέμφατον δὲ τὸ λέξαι, [προστακτικὸν δὲ τὸ λέξον.] καὶ δὴ οὖν ἐν τῇ ὑποτακτικῇ ἐγκλίσει ταυτὸ παρείπετο, μεταποιουμένου τοῦ τέλους εἰς ω, καθότι καὶ ἐπὶ τῶν ἄλλων παρῳχημένων ταυτὸ συνέβαινεν· ἔφαγον, ἐὰν φάγω· ἔδραμον, ἐὰν δράμω· καὶ οὕτως ἔλεξα, ἐὰν λέξω, γίνεται ὅμοιον ὁριστικῷ μέλλοντι τῷ λέξω. ὅτι γὰρ οὐχὶ σύνταξίς ἐστι τοῦ μέλλοντος, τοῦ ἀορίστου δέ, σαφὲς ἐκ τῆς προκειμένης συντάξεως· ἧς εἰ μὴ μεταλάβοιεν οἱ ἐνθέστερον τοῦ λόγου παρακούοντες, δυσπειθέστερον ἀναστρέφουσιν. ἵν' οὖν εὐσύνοπτος ἅπασιν ἡ σύνταξις γένηται, καὶ τοὺς ἀπὸ τῆς φωνῆς συντρέχοντας τῇ προειρημένῃ συντάξει παραθήσομαι. Πρῶτον, παραλαβὼν ὑπὲρ οὗ ἐστι ζήτησις μαρτύριον, τὸ, τοὺς Δωριεῖς καθ' ὅλης τῆς ἐγκλίσεως τὴν περισπωμένην φυλάττειν ἐν [τῷ] μέλλοντι, οὐ μὴν ἐν ὑποτακτικοῖς· ὅτι μηδέν ἐστιν ὑποτακτικὸν μέλλοντος. Δεύτερον, καὶ τὸν ἀπὸ τῆς Ἀτθίδος † σχηματισμόν. κατὰ μέλλοντά φασι λυριῶ καὶ κομιῶ· κατὰ δὲ ἀόριστον, ἐλύρισα, ἐκόμισα.

γρ. κατακούοντες: τοῦ λόγου κατακούοντες D.

futura subiũctiua, & qui quęrunt in quo non circumflectant? sumunt enim in sua quæstione id quod minime consistit. Quod antẽ inescauit eorum ignorãtiam, illud fuit; nempe similitudo vocis, nata ex aoristo terminante in α, cuius hæc ratio est: tempus quod indicatiuis accessit, simul atque discessit, modum indicatiuũ circumscribit. nam ab indicatiuo ἔλεξα, fit optatiuum λέξαιμι, imperatiuum λέξον, infinitũ λέξαι: quare subiunctiuo etiã modo idem accidit, mutata in ω extremitate; quoniam etiam in aliis præteritis idẽ accidit; ἔφαγον, ἐὰν φάγω: ἔδραμον, ἐὰν δράμω: ita etiam ἔλεξα, ἐὰν λέξω fit, voce simile futuro indicatiui λέξω. Quod autem istiusmodi cõstructio sit aoristi, non futuri, perspicuũ fit ex superiore constructione; quã nisi perceperint qui firmam istam rationẽ depellũt, sua euertunt pertinacia. Quare vt hæc constructio ab omnibus facile possit perspici, proponam vocis quoque rationes, quæ constructioni prædictæ suffragantur; si prius id de quo est quæstio, assumpsero pro firmo argumento; nempe Dores in futuro seruare circumflexũ per totum indicatiuum modum: at non in subiunctiuis; quia nullum futuri subiunctiuum est. Secundo loco morem Atticorum afferam; qui formant futurum in ιῶ, λυριῶ, κομιῶ: in aoristo dicunt ἐλύρισα, ἐκόμισα.

cur igitur non etiam dicunt ἐὰν λυειῶ, ἐὰν κομιῶ: sed pronũtiant cum σ, aoristique grauem tenorem & scripturam retinent? Tertio, quinta coniugatio in aoristi penultima terminantis in α, & in futuri penultima, diuerso vtitur tẽpore. Aoristus enim longam omnino syllabã exigit, ita vt eam quæ in præsenti breuis est, longam faciat; vt δέρω, ἔδειρα: νέμω, ἔνειμα: at futurum, breuem postulat, ita vt ex longa, breuis fiat; χείρω, χερῶ: φθείρω, φθερῶ. Hoc si ita est, cur non concedamus, ἐὰν νείμω, ἐὰν δείρω, solius esse aoristi? præsertim cum assumpserit illud, quod nullum in futuro locũ habere potest; syllabam inquam longam; & secutũ fuerit proprietatem aoristi terminantis in α, vt penulrimã videlicet habeat longam. Quarto loco, qui quærunt cur futura subiunctiua apud Dores non circũflectãtur, ridiculi existimandi sunt; quod vocum istiusmodi obliti, quærãt cur Dorica futura non circũflectantur. futura.n. sermonis communis, multo ante sunt secuta istam rationẽ. Quis enim aduersus istam quæstionem non respondeat; Cur vero πλυνῶ circũflectitur, ἐὰν πλύνω non ita? scilicet quia futurum tenore circumflexi indicatũ, congruam orationem constituit: quod si rursus eũdem habeat tenorem atque aoristus, constructio non ita apparebit; vt in illis, στήσω, ἔστησα, ἐὰν στήσω. Quinto loco,

τί δήποτε οὔ φασι καὶ ἐὰν λυειῶ, καὶ ἐὰν κομιῶ, σὺν δὲ τῷ σ συνήθους καὶ τῆς βαρείας τοῦ ἀορίστου καὶ τῆς γραφῆς; Τρίτον, ἡ πέμπτη συζυγία κατὰ τὴν παρεδρεύουσαν τοῦ εἰς τὸ α λήγοντος ἀορίστου, καὶ ἔτι κατὰ τὴν παρεδρεύουσαν τοῦ μέλλοντος, τῷ ἐναντίῳ χρῆται χρόνῳ. ὁ μὲν γὰρ ἀόριστος, πάντως μακρὰν αἰτεῖ· ὥστε καὶ ἐκ βραχείας τῆς κατὰ τὸν ἐνεστῶτα, μακρὰν γίνεσθαι· ὡς τὸ δέρω, ἔδειρα· νέμω, ἔνειμα· ὅ γε μὴν μέλλων, βραχεῖαν, ὡς καὶ ἐκ μακρᾶς βραχεῖαν γίνεσθαι· χείρω, χερῶ· [φθείρω, φθερῶ.] καὶ εἰ τοῦτο, πῶς οὐκ ἂν δοίημεν τὸ ἐὰν νείμω, ἐὰν δείρω, ὡς δὴ μόνου ἐστὶν ἀορίστου; ὅπου γε καὶ τὸ ἀνεφικτότατον τοῦ μέλλοντος παρέλαβε· λέγω δὴ τὴν μακράν· μετεδίωξε δὲ τὸ ἴδιον τοῦ εἰς α λήγοντος ἀορίστου, τὸ μακρῷ παραλήγεσθαι. μακρᾷ †Τέταρτον, οἱ ζητοῦντες κατὰ τί οἱ ὑποτακτικοὶ μέλλοντες οὐ περισπῶνται) [παρὰ Δωριεῦσι, γελοῖόν τι πείσονται, ὡσεὶ λελησμένοι τῶν τοιούτων φωνῶν, τὸ ζητεῖν διὰ τί οἱ Δωριεῖς μέλλοντες οὐ περισπῶνται),] τῶν κοινῶν πολὺ πρότερον τὸ τοιοῦτον ἀναδεδεγμένων. πῶς γὰρ πρὸς τὸ τοιοῦτον οὐκ ἔστι φάναι, ἀλλὰ τί τὸ πλυνῶ περισπᾶται, οὐ μὴν τὸ ἐὰν πλύνω; ἢ ὅτι διὰ τῆς περισπωμένης ἐμφανιζόμενος ὁ μέλλων, τὸ δέον τοῦ λόγου καθιστάνει. †ὃς εἴγε πάλιν συνετόνου τῷ ἀορίστῳ, κἂν τὰ τῆς συντάξεως ἐλάνθανεν ἐπὶ τοῦ στήσω καὶ ἔστησα καὶ ἐὰν στήσω. Πέμπτον, ὅτι τὸ

τῶν συνήθων φωνῶν, τὸ ζητ. D.

ὅτι τὸ δώσω καὶ τὸ θήσω, ἐὰν προσλάβῃ τινὰ τῶν ἐπιζευκτικῶν, ἀκατάλληλον

a Soph. λόγον ἀποτελεῖ. τότε γὰρ ῥήμασι εἰς "ω

διαζ. D. λήγοντι συνάπτονται οἱ "ἐπιζευκτικοί, ὁπότε καὶ τὰ τέλη εἰς ω τρέπουσιν. ἢ ὅτι οὐκ ἦν ὁ ἔδωσα καὶ ἔθησα διὰ τοῦ σ γραφόμενος· ἵνα τὸ μεταπίπτον α εἰς ω, τὸ δέον τῆς καταλλήλου παραστήσῃ. ὠλιγωρημένοι γὰρ οἱ ἀόριστοι, μετὰ τὴν ὁριστικὴν ἔγκλισιν ἐστερήθησαν· καὶ οὕτως, οὐκ ὄντων ἀορίστων, οὐδὲ τὰ τῆς ἐγκλίσεως ἐγίνοντο. τῶν εἰς μι ληγόντων οὐκ εἰσὶ δεύτεροι μέλλοντες, εἰσὶ δὲ ἀόριστοι δεύτεροι· οἷον ἔδων, ἀπέδων· ἔθην, ἀφ᾽ οὗ ἐθέμην. καὶ ἐπεὶ ἦσαν ἀόριστοι, ἦν καὶ ὑποτακτικὴ ἔγκλισις κατ᾽ αὐτῶν· ἐὰν θῶ, ἐὰν δῶ. δέδεικται ἄρα ὡς μελλόντων μὲν ὄντων, οὐ μὴν ἀορίστων, ἡ ὑποτακτικὴ ἔγκλισις ἀκατάλληλος· ἀορίστων δὲ ὄντων, οὐ μὴν μελλόντων, ἀκατάλληλος καὶ ἡ ὑποτακτικὴ ἔγκλισις.

λα΄, Τίσι τῶν ῥημάτων οὐ παρακείσεται παθητικὴ ἔγκλισις· καὶ κατὰ πόσους τρόπους.

τμῆμα ζ΄

Ἀκόλουθόν ἐστι διαλαβεῖν καὶ περὶ τῆς "ἐγκλινομένης διαθέσεως καθ᾽ ἑκάστην

ἰσ. ἐγγινομένης D.

ἔγκλισιν· ἧς οὐδὲ τὰ ἀπαρέμφατα ἐκτὸς ἐγίνετο, ἀλλὰ τὸ κατηναγκασμένως συνέπεσθαι ἅπασι χρόνοις, ἢ ἐνεργητικῶς, ἢ παθητικῶς, ἢ καὶ ἔτι μέσως. Ἔστιν οὖν ἐπιστῆσαι τὸ πρῶτον, εἰ ἐν ἅπασι τοῖς ῥήμασι σύνεστι τὸ διττὸν τῆς διαθέσεως, συνούσης τῆς "προκειμένης μεσότητος·

προειρημένης

δώσω, & θήσω, si quam assumpserint coniunctionem adiunctiuam, incongruam orationem efficient. cõiunctiones enim adiunctiuæ tunc iunguntur verbo in ω terminãti, cum eius extremitatem in ω vertunt. vel quia nõ sunt in vsu aoristi ἔδωσα & ἔθησα, scripti cum σ: vt α in ω mutata, iustam congruitatem repræsentet. neglecti enim aoristi, post modũ indicatiuum suppressi sunt. atque ita deficientibus aoristis, modus etiam simul defecit. Verba in μι cadentia, secundo futuro carent; cum tamen secũdum aoristum habeant: vt ἔδων, ἀπέδων: ἔθην, ex quo ἐθέμην. & quoniam habẽt aoristos, habent etiam modum subiunctiuum; ἐὰν θῶ, ἐὰν δῶ. Ergo demonstratum est, modum subiunctiuũ esse incongruũ, si sint futura, desint aoristi: contra vero, si aoristi sint, desint futura, modum subiunctiuum esse congruum.

31, Quibus verbis non adsit passiuum genus; & quot modis.

Consequens est vt etiam de significationis flexione in singulis modis disseramus: qua ne infiniti quidem modi carent, & quæ necessario sequitur omnia tempora, siue in actiua, siue in passiua, siue etiam in media voce. Primum igitur quærendum est, an verbis omnibus insita sit duplex ista significatio, comitante simul illa media, de qua paulo ante dictum est: Pars VII

sicuti etiam in discernendis nominum generibus quærebamus, an omnibus accideret nominib., vt in variis generibus, nempe maris, fœminæ, ac neutri, versarentur. an aliis accidet hoc ipsum tantummodo, vt in modis, videlicet indicatiuo, imperatiuo, optatiuo, & reliquis versentur; in significatione tamen actiua, vel passiua nō ita versentur; aliis vero, vt præter indicatiuum modum, & reliquos, actiuam etiam significationem habeant, passiuam non recipiant. atq; ista quæstio vim illam habet. Nam si quod verbum indicatiui; vel alterius modi est, hoc non continuo habebit actiuam significationem: sed sciēdum est, actionem semper ad rem aliquam subiectam transire; vt τέμνει, τύπτει, & horū similia. ad quam actionem, & significationem actiuam antecedentē refertur passio; τέμνεται, τύπτεται. His ergo verbis illa nō sunt similia, ὑπάρχω, ζῶ, εἰμὶ, πνέω, φρονῶ, & alia id genus. Quare flexio passiui analogica in istiusmodi verbis nulla erit; quia indicatiuus eorum modus non indicat personas agentes, & quæ ita affectæ passionem omnino fatebūtur. nam si verbum φρονῶ fiat compositum καταφρονῶ, & actiuam significationē transmittat in rem aliquam subiectam, vt in illo καταφρονῶ σου, oppositam significationem, nempe passiuam, habebit ci-

ὥσει καὶ ἐπὶ τῆς τῶν ὀνομάτων κατὰ γένος διακρίσεως· ἢ ἅπασι παρέποιτο τὸ ἰσ. ἐν παρασχηματισμοῖς καταγίνεσθαι [ἀρσενικοῦ] θηλυκοῦ τε καὶ οὐδετέρου. ἢ οἷς μὲν παρακολουθήσει τὸ αὐτὸ μόνον ἐν ταῖς ἐγκλίσεσι καταγίνεσθαι, † ἐν ὁριστικῇ ἀποφάσει, ἢ εὐκτικῇ, καὶ ἐπὶ τῶν ὑπολοίπων· οὐ μὴν κατὰ διάθεσιν ἐνεργητικὴν, ἢ παθητικήν· ἢ καὶ ἔτι οἷς μὲν μετὰ τῆς ὁριστικῆς ἐγκλίσεως, καὶ ἔτι τῶν ὑπολοίπων, διάθεσιν δηλοῦ μὲν ἐνεργητικὴν, οὐ μὴν ἐπιδεχομένοις τὴν παθητικήν. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· οὐκ, εἴ τι ῥῆμα ὁριστικὸν [ἐστιν,] ἢ τινος ἄλλης ἐγκλίσεως, τοῦτο πάντως ἐν διαθέσει καταγίνεται τῇ ἐνεργητικῇ. χρὴ δὲ νοεῖν, ὅτι ἡ ἐνέργεια ἐπὶ ὑποκείμενόν τι διαβιβάζεται· ὡς τὸ τέμνει, τύπτει, καὶ τὰ τούτοις παραπλήσια· ἧς καὶ τὸ παθητικὸν, ἐκ προϋφεστώσης ἐνεργητικῆς διαθέσεως ἀνάγεται, † δέρεται, τύπτεται. οὐ δὴ τούτοις ὅμοιά ἐστι τὸ ὑπάρχω, τὸ ζῶ, τὸ εἰμὶ, τὸ πνέω, τὸ φρονῶ, τὰ ὅμοια. τῶν δὴ τοιούτων ἀναλόγως ἡ παθητικὴ ἔγκλισις ὑποσταλήσεται· ὅτι μηδὲ διὰ τῆς ὁριστικῆς ἐγκλίσεως τὰ ἐνεργούμενα πρόσωπα παρέστησαν ἃ πάντα διατιθέντα τὸ πάθος ὁμολογήσει. εἰ γοῦν τὸ φρονῶ ἐν συνθέσει γένοιτο καταφρονῶ, τὴν ἐκ τοῦ φρονεῖν διάθεσιν μεταβιβάσαι ἐπί τι ὑποκείμενον ἐν τῷ καταφρονῶ σου, οὐκ ἀκώλυτον ἕξει τὴν παρακειμένην παθητικήν.

γρ. ἀποφαίνει

γρ. δηλουμένοις

γρ. τὸ

γρ. ὡς τρεῖς

πάντως διατεθ.

μεταβιβασθῆναι

ἀκώλυτον ἕξει τὴν παθητικήν.

παθητικὴν διάθεσιν, καταφρονοῦμαι ὑπὸ σοῦ. ὥστε οἱ τὰ τοιαῦτα ῥήματα κλίνοντες εἰς παθητικὰς ἐκφορὰς, ὁμόλογοί εἰσι μελετήματα φωνῆς παραλαμβάνοντες, οὐ μὴν φυσικὴν κλίσιν, οὐδὲ συστατήν· ὡς εἰ καὶ ἀρσενικόν τις ἀποφαίνοιτο τοῦ γαλουχήσαντος, ἢ ἔτι τοῦ ἐκβώσαντος, ἢ τινος τῶν κατὰ φωνὴν μὲν δυναμένων συνεμπίπτειν, οὐ μὴν ἐν παραδοχῇ λόγου. ἔστι δὴ οὖν τὰ προειρημένα αὐτὸ μόνον ὁρισμὸν ἐμφαίνοντα τοῦ συνεῖναι τὸ ζῆν, τὸ φρονεῖν, τὸ γηρᾶν, καὶ ἔτι ἐπὶ τῆς συνούσης οὐσίας τὸ ὑπάρχειν† καὶ ἔτι ἐπὶ τῶν ἔξωθεν προσγινομένων κατ᾽ οὐσίαν περὶ κτῆσιν, ὡς τὸ πλουτεῖν, κερδαίνειν. ἔστιν ἃ καὶ ψυχικὴν ἢ σωματικὴν διάθεσιν σημαίνει· οἷς οὐ προσγίνεται πάλιν ἡ παθητικὴ ἔγκλισις, διὰ τὸ ἐν τῇ προσούσῃ καταλήξει τὸ πάθος ὑπαγορεύεσθαι. ἔστι μὲν γὰρ τὸ αἰνῶ ἐν διαβάσει ἑτέρου προσώπου· ὅπερ ἀποτελέσει παθητικὸν τὸ αἰνοῦμαι· οὐ μὴν τὸ κοπιῶ, ἢ τὸ ὀφθαλμιῶ. τὰ γὰρ τοιαῦτα τῶν ῥημάτων ἐν αὐτοπαθείᾳ ἔχει τὸν ὁρισμόν. καὶ ἐπεὶ τὸ διατίθεσθαι ἢ ἐπὶ τοῖς εὐκταίοις γίνεται, ἢ ἐπὶ τοῖς μὴ [οὕτως] ἔχουσιν, ὁμόλογον ὅτι οὐ συστήσεται παθητικὰ τοῦ πάσχω, χαίρω, ἐρυθειῶ, θνήσκω, γηρῶ, θάλλω, ὀρεκτιῶ, γαυειῶ. τοιοῦτον γάρ τι παρακολουθήσει, ὡς εἰ καὶ ἀρσενικοῦ ὀνόματος ἀρσενικόν τις ζητήσειεν,

ὐσίας ἐνδείκτικον D.

tra impedimentum; καταφρονοῦμαι ὑπὸ σοῦ. Itaq; qui verba huiusmodi voce passiua flectunt, hi vocem exercitationis causa formare, non naturalem flexionem flectere, & eam quæ cõsistere possit, arguuntur; perinde ac si quis participiũ formaret masculinum fœminini γαλουχήσαντος vel ἐκβώσαντος, vel alterius ex eorũ numero, quæ voce quidem proferri possunt, sed in vsu minime recepta sunt. Verba igitur prædicta illud tantum finiunt & indicant, adesse τὸ ζῆν, τὸ φρονεῖν, τὸ γηρᾶν, & τὸ ὑπάρχειν, in essentia simul exsistentem: item in iis quæ significant rerum externarum accessionem possessionemve, & fortunarum acquisitionem; vt πλουτεῖν, κερδαίνειν. Sunt prætereа quædã quæ animi vel corporis affectionem significãt; quę rursus carent passiua flexione; quia in sua voce habẽt subindicatam passionẽ. nam ecce αἰνῶ habet transitionem ad alteram personam; itaque formabit passiuum αἰνοῦμαι: at non ita κοπιῶ, vel ὀφθαλμιῶ. verba enim istiusmodi reciprocam indicationẽ habent. & quoniã affectio eiusmodi vel propter res expetendas, vel propter earum cõtrarias, animo corporive accidit, nó est dubium quin nulla sint futura passiua verborum istiusmodi, nempe πάσχω, χαίρω, ἐρυθειῶ, θνήσκω, γηρῶ, θάλλω, ὀρεκτιῶ, γαυειῶ. cõsequetur. n. aliquid eiusmodi, vt si nominis masculini masculinũ quęras,

Theod. Gaza 69.

vel fœminini fœmininum: sic in his quæ sunt passiua, passiuum quæras. atque ideo verba media, quæ actum in passiua voce præsentis significãt, non recipiunt terminationem in ω: quia nimirum est actiua, cuius vsum medii paulo ante dicti præsens occupauit. talia sunt βιάζομαί σε, μάχομαί σοι, & alia quamplurima. Perspicuum est igitur, quodlibet passiuum in μαι terminans, posse recipere actiuum, si cõueniat constructio cum terminatione; ἵσταμαι ὑπὸ σοῦ, ἵστημί σε: δαίρομαι ὑπὸ σοῦ, δαίρω σε: ἕλκομαι ὑπὸ σοῦ, ἕλκω σε: at non ita πέταμαι ὑπὸ σοῦ, & ideo neque πέτημί σε dicimus. eadem est ratio in ἄγαμαι, δύναμαι, ἔραμαι. Sũt etiam verba nonnulla, quæ significationem habent actiuam, & tamen vocem passiuam oppositam nõ habent; quoniam ea quæ actionem sustinent, muta cum sint, fateri passionem non possunt, nisi eadem quis ratione afficiat in tertia persona: quale est περιπατῶ: nam huius passiuum περιπατοῦμαι formari non potest; neque etiam secunda eius persona περιπατῇ: quoniam in res mutas & anima carentes oratio non dirigitur; neque a rebus mutis enuntiationes proferuntur, sed de iis enuntiationes fiunt, vt περιπατεῖται ἡ ὁδὸς, οἰκεῖται ἡ γῆ. eadem ratio est in πλέω, βρέχω, & omnibus istiusmodi. Præterea δωρίζω, αἰολίζω, & alia id genus, habent illa quidem si-

ἢ θηλυκοῦ θηλυκόν. ὡς δὴ οὖν παθητικοῦ ὄντος, παθητικόν τις ζητήσειε. τὰ γοῦν διὰ τοῦ μέσου ἐνεστῶτος ἐν τύπῳ παθητικῷ ἐνέργειαν σημαίνοντα, ἀπαράδεκτον ἔχει τὴν διὰ τοῦ ω κατάληξιν ἐνεργητικὴν οὖσαν, ἐπεὶ τὸ ταύτης εὔχρηστον διὰ τοῦ προειρημένου μέσου ἐνεστῶτος κατείληπτο· ὡς ἔχει τὸ βιάζομαί σε, μάχομαί σοι, καὶ ἄλλα πλεῖστα. Σαφὲς οὖν [ὅτι] παντὸς παθητικοῦ εἰς μαι λήγοντος, ἐνεργητικόν ἐστι παραδέξασθαι, ἐὰν μετὰ τῆς καταλήξεως συντρέχῃ καὶ τὰ τῆς συντάξεως· ἵσταμαι ὑπὸ σοῦ, ἵστημί σε· δαίρομαι ὑπὸ σοῦ, δαίρω σε· ἕλκομαι ὑπὸ σοῦ, ἕλκω σε· οὐχὶ δὲ πέταμαι ὑπὸ σοῦ, διὰ τοῦτο οὐδὲ τὸ πέτημί σε. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἄγαμαι, δύναμαι, ἔραμαι. Ἔστιν ἃ καὶ διάθεσιν σημαίνει ἐνεργητικήν, οὐ μὴν ἔχει ἀντιπαρακειμένην παθητικὴν ἐκφοράν· καθὸ τὰ διατιθέμενα, ἄψυχα καθεστῶτα, οὐκ ἠδύνατο ὁμολογῆσαι τὸ παθεῖν· εἰ μὴ τὸν αὐτόν τις λόγον διέθετο, ὡς ἔχει τὸ περιπατῶ. (τὸ περὶ αὐτοῦ D.) τούτου γὰρ οὐ συστατὸν τὸ περιπατοῦμαι, οὐδὲ τὸ περιπατῇ· καθὸ οὐδὲ πρὸς τὰ ἄψυχα αἱ ἀποστάσεις τῶν λόγων· (ἀποτάσεις) οὐδὲ γὰρ ἐξ ἀψύχων αἱ ἀποφάσεις γίνονται· (ἀποφάσεις) περί γε μὴν αὐτῶν, περιπατεῖται ἡ ὁδὸς, οἰκεῖται ἡ γῆ. ὁ αὐτὸς λόγος ἐπὶ τοῦ πλέω, βρέχω, καὶ ἁπάντων τῶν τοιούτων. Διαθέσεων ἐνεργητικῶν ἐστι τὸ δωρίζω, αἰολίζω, καὶ τὰ παραπλήσια·

πλήσια· ἀλλ' οὐ συστατὰ τὸ δωρίζομαι, αἰολίζομαι· τό γε μὴν αἰολίζεται Ἀλκαίου ποιήματα, δωρίζεται τὰ Ἀλκμᾶνος. τὸ αὐτὸ κἀπὶ τοῦ ἀριστῶ, δειπνῶ. Περιδήλου ὄντος τοῦ λόγου, περισσὸν ἐγχρονίζειν ἐν τοῖς ὑποδείγμασι. σαφὲς γὰρ ὅτι καὶ δειπνίζω, ἢ ἀριστίζω, ἐπιδεξάμενα πλαγίαν πτῶσιν, ἀριστίζομαι, ὡς πρὸς ἔμψυχον, ἀνελλιπὲς ἔχει τὸ [ἀριστίζομαι καὶ] δειπνίζομαι. τοιοῦτον γάρ ἐστιν, ἄριστον παρέχω τινὶ καὶ δεῖπνον. ὥστε διαφέρειν τὸ ἀριστῶ τοῦ ἀριστίζω. ἢ τὸ μὲν ἀριστῶ, ὑποφαίνει, ἀρίστου μεταλαμβάνω· τό γε μὴν ἀριστίζω, ἀρίστου μεταδίδωμί τινι. ᾧ καὶ τὰ τῆς συντάξεως ἑπόμενα, ὡς ἔφαμεν, τὸ παθητικὸν ἀπετέλεσε. τὴν αὐτὴν ἔχει διαφορὰν καὶ τὸ γαμῶ πρὸς τὸ γαμίζω. ἔστι γὰρ τὸ μὲν πρότερον, γάμου μεταλαμβάνω· τὸ δὲ γαμίζω, γάμου τινὶ μεταδίδωμι. τό γε μὴν γαμῶ, παθητικῶς κλίνεται· καθὸ καὶ τὰ τῆς διαθέσεως πρὸς σύνταξιν ἐμψύχου προσώπου καθεγίνετο. Τούτων οὖν τῆδε ἐχόντων, ἐπιστατέον τῷ ἐρείπω ῥήματι, εἰ συνώνυμον τὸ ῥίπτω· ᾧ παράκειται κατὰ διάλεκτον γινομένη ὀξύτονος μετοχὴ †ἐειπών· καὶ εἰ τὸ πεσὼν οὐκ ἔχει παθητικόν, συστατὸν δέ ἐστι φάναι πεσόντι, δῆλον ὅτι καὶ τὸ, ἐειπόντι Πολυνείκει, παρὰ Πινδάρῳ, ἀναλογώτερον καταστήσεται διὰ τοῦ ο μι-

τῷ πί-πτω

gnificationē actiuam; & tamen, voce passiua nō possunt formare δωρίζομαι, αἰολίζομαι: in tertia tamen persona proferuntur; αἰολίζεται τὰ Ἀλκαίου ποιήματα: δωρίζεται τὰ Ἀλκμᾶνος. Idem dicendum est de verbis ἀριστῶ & δειπνῶ. Sed minime necesse est plura proponere exempla de re tā aperta. nam dubium nō est quin ista verba ἀριστίζω & δειπνίζω, recepto casu obliquo, non ita passiuis careant, ἀριστίζομαι, δειπνίζομαι: propterea quod transitus in rem fit animatam. valent autem passiua hæc idem ac si dicas ἄριστον παρέχω τινὶ, & δεῖπνον παρέχω τινί: ita vt eo differat ἀριστῶ a verbo ἀριστίζω: vel ἀριστῶ subindicat ἀρίστου μεταλαμβάνω, ἀριστίζω vero significat ἀρίστου μεταδίδωμί τινι. cui significationi etiam constructio conuenit: atque ita (vt iam diximus) passiua vox formatur. Idem discrimen est inter γαμῶ & γαμίζω: nam γαμῶ, est γάμου μεταλαμβάνω: γαμίζω, est γάμου μεταδίδωμί τινι. verumtamē γαμῶ passiue declinatur; quoniam & significatio & constructio versatur in persona animata. His ita constitutis, quærendum est de verbo ἐείπω, an sit synonymum verbi πίπτω, cui affine est participium ἐειπών, acuto tenore scriptum iuxta dialectum. Ac, si participiū πεσὼν non habet passiuum, & tamen eius datiuus πεσόντι est in vsu: etiam illud Pindari, ἐειπόντι Πολυνείκει, nimirum per o scribendum erit, & scriptu-

ra fuerit magis secundum analogiam. Quod si verum esset vt ἐρείπω sit synonymũ verbi ῥίπτω, non esset ἐρείπεται, sicuti non est ῥίπτεται. An igitur synonymum est potius verbi βάλλω: &, vt dicimus βάλλω σε, ita etiam ἐρείπω σε: &, vt dicimus βληθέντι, ita etiam erit dicendum ἐρειπέντι? nam
Il. ξ. illud Homeri, ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν, non (vt nonnulli putãt) a verbo ῥίπτω inclinatum est: magis enim propriũ est, murum diruere, quã murum iactare: quare a verbo ἐρείπω deductum est, & est plusquamperfecti passiui tertia persona, Atticorũ more correpta; vt ξηρὸν, ξερόν: ποθῆσαι, ποθέσαι: ita etiam ἤρειπτο, ἐρέριπτο, a verbo ἐρείπω. Verba ergo memorata superius, iuncta cum recto casu, sensum efficiunt perfectũ; περιπατεῖ Τρύφων, ζῇ Πλάτων, ἀναπνεῖ Διονύσιος, πλεῖ, βρέχει: iis exceptis in quibus reciprocatur passio. in his enim causa passionis adiungi poterit; φθίνει Θέων ὑπὸ τῆς λύπης: πάσχει Θέων ὑπὸ τῆς γυναικός: πυρέσσει Θέων διὰ τὸν κόπον. Quãquam etiã, si desit causa, non propterea in dubium verba vocantur. habent enim absolutam passionem. quãdoquidem etiam illis, περιπατεῖ, ζῇ, ἀριστᾷ, & aliis similibus, quę absoluta sunt, adiicitur interdum aliquid; ἐν γυμνασίῳ ζῇ, vel ἐν οἴκῳ. cetera vero verba, recto adiuncta, sensum semiperfectum cõstituunt; vt illa, Τρύφων βλάπτει, Τρύφων φιλεῖ.

προσγραφόμενον. ἀλλ' εἰ ἦν ἀληθὲς τὸ συνωνυμεῖν τὸ ἐρείπω τῷ ῥίπτω, οὐκ ἂν ὑπῆρχε τὸ ἐρείπεται, ὡς οὐδὲ τὸ ῥίπτεται. μήποτε γὰρ μᾶλλον τῷ βάλλω συνώνυμον· καὶ ὡς βάλλω σε, οὕτως ἐρείπω σε· καὶ ὡς βληθέντι, οὕτως ἐρειπέντι. καὶ γὰρ τὸ, ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν, οὐχ ὡς οἴονταί τινες, ἀπὸ τοῦ ῥίπτω κέκλιται. οἰκειότερον γάρ πως τὸ καταστρέφεσθαι τεῖχός ἐστιν, ἢ ῥίπτεσθαι. ἔστι δὴ οὖν ἀπὸ τοῦ ἐρείπω, κατὰ παθητικὴν διάθεσιν τρίτου προσώπου, κατὰ χρόνον τὸν ὑπερσυντέλικον, κατὰ Ἀττικὴν διάλεκτον συστολῆς γενομένης τοῦ η εἰς ε· καθὼς ἔχει καὶ τὸ ξηρὸν, ξερόν· ποθῆσαι, ποθέσαι· ἀπὸ τοῦ ἐρείπω, ἤρειπτον ὡς ἤρειπτο· καὶ ἔτι ἐρέριπτο. γρ. ἐρήριπτο δὴ F. P.
Τὰ δὲ προκαταλελεγμένα τῶν ῥημάτων, πρὸς εὐθεῖαν σύνταξιν ἀπαρτίζει διάνοιαν· περιπατεῖ Τρύφων· ζῇ Πλάτων· ἀναπνεῖ Διονύσιος, πλεῖ, βρέχει· χωρὶς εἰ μὴ ἐπὶ τῶν αὐτοπαθεῖν τ. αὐτοπαθῶν αἰτιᾶσθαί τις τὸ ποιοῦν τὸ πάθος· φθίνει Θέων ὑπὸ τῆς λύπης· πάσχει Θέων ὑπὸ τῆς γυναικός· πυρέσσει Θέων διὰ τὸν κόπον. ἅπερ καὶ ἂν μὴ προσκέηται τῇ αὐτελείᾳ τοῦ πάθους, ἀνενδοίαστόν ἐστιν· ἐπεὶ καὶ τῷ ἀνενδοίαστα περιπατεῖ [ἢ] ζῇ, καὶ ἀριστᾷ, καὶ τοῖς ὁμοίοις, αὐτοτελέσιν οὖσι, προστίθεται ἔσθ' ὅτε τὸ ἐν γυμνασίῳ ζῇ, ἢ ἐν οἴκῳ. εἴ γε ἴσ. ἡ γε μὴν π. vel, οὐ γε μὴν π. μὴν ἡ πρόσθεσις τῶν ἄλλων ῥημάτων [πολύτως] τὸ ἡμιτελὲς καθίστησιν· ὡς ἔχει τὸ, Τρύφων βλάπτει, Τρύφων φιλεῖ. μ. π.

διὸ καὶ

δι᾽ ὃ καὶ τὰ τοιαῦτα οἱ ἀπὸ τῆς στοᾶς, ἐλάττονα κατηγορήματά φασιν· ὡς πρὸς σύγκρισιν τῶν ἐν αὐτοτελείᾳ καταγινομένων ῥημάτων, καὶ πάντως ἐπιζητούντων πλαγίαν. οὐ μέντοι μοι δοκεῖ βίαιον εἶναι τὸ, ἔνια τούτων τὸν αὐτὸν ἐπέχειν λόγον τοῖς προειρημένοις· ὥστε μὴ πάντως πλαγίαν ἐπιζητεῖν. αὐτὸ γὰρ μόνον μηνύειν ἐθέλοντες, τὰ ἐγκείμενα πάθη φήσομεν· ἐρᾷ Σωκράτης, φιλεῖ Σωκράτης· ὡσεὶ καὶ ἐπ᾽ ἀναγνώσματος, ἀναγινώσκει Σωκράτης· αὐτὸ μόνον τὸ πρᾶγμα μηνύοντες. καὶ ἐν ἀποφάσει γὰρ ἔστι φάναι, οὐκ οἶδεν ἀναγινώσκειν Σωκράτης. πάρεστι μέντοι ἐξεργαστικώτερον φάναι, Σωκράτης ἀναγινώσκει τὰ Ἀλκαίου [ἢ] Ὁμήρου· Σωκράτης φιλεῖ Διονύσιον· Σωκράτης ἐρᾷ Ἑλένης. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ τύπτει, καὶ τῶν δυναμένων ταυτὸ παραστῆσαι. οἷόν τε γὰρ φάναι, Σωκράτης τύπτει· ὡσεὶ καὶ Σωκράτης ἠχεῖ, ἢ ψόφον ποιεῖ. ὅτε καὶ ἐν ἀπαγορεύσει φαμὲν, μὴ τύπτε, μὴ βόα. οἷς πάλιν ἔστι προσθεῖναι αἰτιατικὰς πτώσεις. καὶ δῆλον ὅτι τούτων παθητικὰ γίνεται, φερομένων ἐπὶ πλαγίαν πτῶσιν· οὐ μὴν τῶν δοκούντων κατ᾽ αὐτοτέλειαν τῶν λόγων καθίστασθαι καθὸ δυνάμει ὅμοια γέγονε τοῖς προκατειλεγμένοις· λέγω τὸ περιπατεῖν καὶ πλεῖν. πρόκειται γὰρ ὅτι τὰ τοιαῦτα οὐκ ἔχει πλαγίαν πτῶσιν.

ἐν τῷ λό- γων D.

τῷ πε- ριπ. καὶ τῷ πλ.

Ἔστιν οὖν καθολικώτερον φάναι, ὡς τὰ πρὸς εὐθεῖαν συναρτώμενα τῶν ῥημάτων, καὶ οὐκ ἀπαιτοῦντα πλαγίαν πτῶσιν,

itaque a Stoicis *minus perfecta predicata* vocantur, comparata videlicet cum illis quę sunt absoluta: quoniam obliquum omnino postulant. Ego tamen non existimo coactum illud esse, si istorum etiam nonnulla eandem sequantur rationem atque superiora: ita vt nullum omnino exigant obliquum. nam cum hoc ipsum tantummodo volumus indicare, affectus insitos, dixerimus, ἐρᾷ Σωκ. φιλεῖ Σωκ. item de lectione, ἀναγινώσκει Σωκ: ipsam tantummodo rem significãtes. itaq; negantes etiam dicere possumus, Σωκ. οὐκ οἶδεν ἀναγινώσκειν. Licet tamen etiam absolutius dicere, Σωκ. ἀναγινώσκει τὰ Ἀλκαίου, vel τὰ τοῦ Ὁμήρου: Σωκ. φιλεῖ Διονύσιον: Σωκ. ἐρᾷ Ἑλένης. Eadem est ratio in τύπτει & omnibus quæ possunt idem repræsentare. nã licet dicere Σωκ. τύπτει, sicuti Σωκ. ἠχεῖ, vel ψόφον ποιεῖ. in quibus prohibẽtes dicimus, μὴ τύπτε, μὴ βόα. quibus rursus licet accusatiuos adiicere; cũ nimirum ea cum obliquo casu iuncta, passiuũ formare poterũt: quod non poterant constituere, cum absolute proferebãtur: quia erant potestate similia illis quæ supra memorata sunt, περιπατεῖν inquam, & πλεῖν. constitutum enim est, verba huiusmodi casum obliquum non habere. Licet igitur in vniuersum dicere, verba quæ cum nominatiuo construuntur, & casum obliquum nullum exigunt;

ea ne passiui quidem vocem habitura: contra, quæ obliquum casum exigunt, etiam in genus passiuum figuram mutatura, assumpto genitiuo cũ præpositione ὑπό: δαίρομαι ὑπὸ Τρύφωνος, τιμῶμαι ὑπὸ Θέωνος. atque hæc sola est passiuorum cõstructio. nam actiua, cum genitiuo etiam sine præpositione cõstruuntur: vt κελεύω σου: cum datiuo etiam, παλαίω σοι: & cum accusatiuo, vt τιμῶ σε.

32, *Quæ verba cum genitiuo, quæ cum datiuo construantur.*

Ac superior constructio sufficiet iis qui malunt præcepta orationis hęc simpliciter accipere: illis vero, qui cõstructionem orationis accuratissime persequũtur, satis non fuerit. quærent enim præterea quæ verba genitiuum postulẽt, & qua de causa: quæ datiuum, apposita item causa; & quæ similiter accusatiuum. Dubium tamẽ non est, propter verborum multitudinem, etiam constructionis proprietates vix posse comprehendi: eas tamen spero me recte distincturum. Actiones igitur, quæ a nominatiuo proficiscuntur, omnes fere in accusatiuum ferũtur: persona simul exsistente, quæ agit, & quæ recipit passionem: vt in illis, δαίρω σε, τύπτω σε: in quibus personæ quæ patiebantur, in nominatiuum rediguntur;

οὐδὲ παρακειμένην ἕξει παθητικὴν προφοράν· τὰ δέ γε μὴν πλαγίαν ἀπαιτοῦντα, πάντως καὶ εἰς παθητικὴν διάθεσιν μετασχηματισθήσεται, συμπαραλαμβανομένης γενικῆς μετὰ τῆς ὑπὸ προθέσεως· δαίρομαι ὑπὸ Τρύφωνος, τιμῶμαι ὑπὸ Θέωνος. καὶ αὕτη μὲν μόνη ἐστὶ τῶν παθητικῶν ἡ σύνταξις· τῶν γε μὴν ἐνεργητικῶν [ἐστι] καὶ γενικὴ, οὐ συνούσης τῆς ὑπὸ προθέσεως, ὡς τὸ, κελεύω σου· καὶ δοτικὴ, ὡς τὸ, παλαίω σοι· καὶ αἰτιατικὴ, ὡς τὸ, τιμῶ σε. γρ. μεταπίπτει

λβ', Τίνα τῶν ῥημάτων γενικῇ πτώσει συντάσσεται, καὶ τίνα δοτικῇ.

Ἡ μὲν προκειμένη σύνταξις, αὐτάρκης καταστήσεται τοὺς προαιρουμένους ἀ‐πλούστερον τὰς παραδόσεις τῶν λόγων λαμβάνειν· τοῖς μέντοιγε μετὰ πάσης ἀκριβείας ἐπεξιοῦσι τὰ τῆς συντάξεως τοῦ λόγου, προσγενήσεται ἐπιστῆσαι, τίνα τῶν ῥημάτων γενικὴν ἀπαιτεῖ, καὶ τί τούτου τὸ αἴτιον· καὶ τίνα δοτικὴν, συνόντος πάλιν τοῦ αἰτίου· τὸ αὐτὸ κἀπὶ τῆς αἰτιατικῆς. καὶ δῆλον ὅτι διὰ τὸ συνὸν πλῆθος τῶν ῥημάτων, καὶ τὰ τῆς συντάξεως ἰδιώματα δυσπερίληπτα γενήσεται. ἅπερ οἶμαι κατὰ τὸ δέον προσδιευκρινήσειν. Αἱ μὲν οὖν ἐκ τῆς εὐθείας γινόμεναι δράσεις, σχεδὸν ἐπὶ αἰτιατικὴν ἅπασαι συνείκουσι παρυφισταμένου καὶ τοῦ ἐνεργοῦντος, καὶ τοῦ τὸ πάθος ἀναδεχομένου, ὡς ἐν τῷ, δαίρω σε, τύπτω σε· τῶν παθόντων, κατὰ παθητικὴν σύνταξιν μεθυπαγομένων εἰς εὐθεῖαν· τῶν δὲ

τοῖς προαιρουμένοις

ἴσ. προσώπου, ὡς

τῶν δὲ δρασάντων, εἰς γενικήν, μετὰ τῆς ὑπό· ἐγὼ δαίρομαι ὑπὸ σοῦ. διὰ τί δὲ μετὰ τῆς ὑπὸ προθέσεως, [ἐν τοῖς] ἑξῆς εἰρήσεται. Ἡ δὲ προκειμένη σύνταξις, κἂν σωματικῶς τὰ τῆς ἐνεργείας σημαίνῃ, κἂν ἐπὶ ψυχικῶς, ὡς εἴπομεν, μιᾶς καὶ τῆς αὐτῆς συντάξεως ἔχεται. κἀπεὶ πολλαχῶς ἐστὶ τὸ διατίθεσθαι, πλεῖστοι καὶ τρόποι παρακολουθήσουσι τῶν ῥημάτων κατὰ τὰς ἰδιότητας
ἐνεργειῶν τῶν ἐνεργητικῶν. εἰσὶ μὲν γὰρ σωματικαὶ διαθέσεις, αἱ τοιαῦται· τρίβω σε, νίπτω σε, ῥήσσω σε, ἕλκω σε, βιάζομαι, χαλῶ, γυμνάζω, νύσσω, κνήθω, σμῶ, βρέχω, τύπτω, παίω, λύω, δεσμεύω, πλήσσω, φονεύω, κτείνω, φθείρω, καίω, φλέγω, θερίζω, ζημιῶ, βλάπτω. καὶ σωματικῶς καὶ ψυχικῶς, ὑβρίζω· καὶ γὰρ καὶ διὰ χειρῶν καὶ ψυχικῆς διαθέσεως· καθὸ ἔχει τὸ λοιδορῶ, καὶ τὸ κακολογῶ, ἀνιῶ, λυπῶ· καὶ ὅσα ἐπ' ἐγκωμίων, ὑμνῶ σε, μεγαλύνω σε, ᾄδω, μέλπω, δοξάζω, κλείω, (ἀφ' οὗ καὶ τὸ κλέος) αἰνῶ. καὶ ἐπὶ τῶν διαχρυσικῶν, παραλογίζομαί σε, κλέπτω, ἀπατῶ, παρελκῶ, παίζω, ἀπαφῶ, ἐξαπατῶ, πλανῶ. καὶ ὅσα ἐπ' ἀπόστασιν τῶν ὑποκειμένων. καὶ ὡς ἐπὶ τοῦ ζητῶ σε, καὶ εὑρίσκω. καὶ ὅσα ἐν ἐπικρατείᾳ, ἔχω, κρατῶ, φυλάσσω, τηρῶ, εἴργω. καὶ τὸ μὲν ἐρίζω σοι, καὶ παλαίω σοι, καὶ τὰ τούτοις ὅμοια, δοτικὴν παραδέχεται, διὰ λόγον ὃν ἐκθήσομεν· τὸ δὲ μὴν νικῶ, ἐν ἐπικρατείᾳ πάλιν γινόμενον, αἰτιατικῇ συμφέρεται. ὁ-

quæ agunt, in genitiuũ, cum præpositione ὑπὸ, ſicuti paſſiuorũ poſtulat conſtructio; ἐγὼ δαίρομαι ὑπὸ σοῦ. cur autem habeãt ὑπὸ præpoſitionem, infra dicemus. Sed cõſtructio, qua de nunc agitur, ſiue corporis actum ſignificet, ſiue animi, (vt diximus) eandẽ ſequitur rationem: & quoniam multis ac variis modis perſonæ poſſunt affici ac pati, plurima etiam verborum genera erũt, quæ ſuas quæq; proprietates actionũ habebũt. ſunt enim corporeæ affectiones iſtiuſmodi; τρίβω σε, νίπτω σε, ῥήσσω σε, ἕλκω σε, βιάζομαι, χαλῶ, γυμνάζω, νύσσω, κνήθω, σμῶ, βρέχω, τύπτω, παίω, λύω, δεσμεύω, πλήσσω, φονεύω, κτείνω, φθείρω, καίω, φλέγω, θερίζω, ζημιῶ, βλάπτω: ſunt corporis & animi; vt ὑβρίζω: nam & manibus, & animo fieri poteſt contumelia. qualia ſunt & illa; λοιδορῶ, κακολογῶ, ἀνιῶ, & λυπῶ. Sunt præterea quæ laudationem habent; vt ὑμνῶ σε, μεγαλύνω σε, ᾄδω, μέλπω; δοξάζω, κλείω, (vnde τὸ κλέος) & αἰνῶ: & quę fraudem atque deceptionem ſignificant; παραλογίζομαί σε, κλέπτω, ἀπατῶ: παρελκῶ, παίζω, ἀπαφῶ, ἐξαπατῶ, πλανῶ. & quæ rerum quęrendarum ſignificationem habent; vt ζητῶ, εὑρίσκω: & quæ quas obtinemus res ſignificant; vt ἔχω, κρατῶ, φυλάσσω, τηρῶ, εἴργω. At ἐρίζω σοι, & παλαίω σοι, & quæ his ſunt ſimilia, datiuum exigunt, ob eam rationem quam poſtea exponemus. Sed νικῶ rurſus, cum ſignificat obtinere, iungitur cum accuſatiuo. Eun-

dem casum postulant quæ honorem significant, & venerationem; τιμῶ σε. σέβομαί σε: (quod verbum multas complectitur actiones; quoniam multis & variis modis licet venerari) ἐντρέπομαι, αἰσχύνομαι, προσκυνῶ, θεραπεύω, κολακεύω, ἅζομαι. quęcumque etiam suspicionem vel opinionē significant; οἴομαί σε, ὑπολαμβάνω σε, ὑπονοῶ σε, ὑφορῶμαι σε. & quæ significant voluntatem, affectum istum animi in accusatiuum dirigunt. siquidem & omnia verba, etiam quæ non sunt integra; si a prima ad secundam & tertiam, aut a tertia ad primam & secundam personam proficiscantur: qđ licet dicere compendiosius, si habeant personæ trāsitionem. nam βούλομαι φιλολογεῖν, προαιροῦμαι ἀναγινώσκειν, non indigent pronomine; quo antecedēte personæ distinguātur: quoniam habēt reciprocam constructionem. siquidem rursus oratio esset eiusmodi; βούλομαι ἐμαυτὸν πλουτεῖν, βούλομαι ἐμαυτὸν περιπατεῖν: hoc est, afficior animo ad deambulandum, vel ad diuitias. Ergo in transitione personarum, necesse est pronomen adiici; βούλομαί σοι γράφειν: βούλομαί σε Διονύσιον φιλεῖν. nam nisi pronomen adsit, infinitum rursus cum verbo βούλομαι construetur: atq; ita erit cōstructio reciproca; in qua assumi poterit etiā pronomen ἐμαυτὸν, si verbum feratur in obliquū; non assumetur, nisi

μοίως καὶ αἱ σεπτικώτεραι παραλαμβανόμεναι συντάξεις· τιμῶ σε, σέβομαί σε, (πολλῶν γὰρ ἀποφάσεις ἐνεργειῶν, ὧν περιληπτικόν ἐστι τὸ σέβομαι) ἐντρέπομαι, αἰσχύνομαι, προσκυνῶ, θεραπεύω, κολακεύω, ἅζομαι. καὶ ὅσα ἐν ἐπινοίᾳ ἐστὶ ψυχικῆς διαθέσεως, συντείνοντα ἐπί τι· οἴομαί σε, ὑπολαμβάνω σε, ὑπονοῶ, ὑφορῶμαι. καὶ τὰ προαιρετικὰ δὲ τῶν ῥημάτων, τὰ τῆς διαθέσεως, ἔχει συντείνοντα κατ᾽ αἰτιατικὴν πτῶσιν· ἐπεὶ πάντα τὰ ῥήματα, ὧν ἐστι καὶ ἐλλιπῆ, εἰ γένοιτο ἐκ πρώτου πρὸς τὸ δεύτερον καὶ τρίτον, ἢ ἐκ τρίτου πρὸς δεύτερον καὶ πρῶτον· ὅπερ ἐστὶν ἐπιτομώτερον φράσαι, εἰ ἐν διαβάσει εἴη τοῦ προσώπου. τὸ γὰρ βούλομαι φιλολογεῖν, προαιροῦμαι ἀναγινώσκειν, οὐ δέεται τῆς προδιαστελλούσης ἀντωνυμίας· ἐπεὶ δυνάμει ἐν αὐτοπαθείᾳ ἔχει τὰ τῆς συντάξεως. ἐπεί τοι πάλιν [ἐὰν] ὁ λόγος τοιοῦτος, βούλομαι ἐμαυτὸν πλουτεῖν, βούλομαι ἐμαυτὸν περιπατεῖν· τουτέστι, διατίθεμαι εἰς τὸ περιπατεῖν, εἰς τὸ πλουτεῖν. ἐν γοῦν τοῖς διαβιβαζομένοις προσώποις ἀνάγκη τὸ ἀντωνυμικὸν ἐγγίνεσθαι· βούλομαί σοι γράφειν, βούλομαί σε Διονύσιον φιλεῖν. εἰ γὰρ μὴ τῇδε γένοιτο, πάλιν συνδραμεῖται τὸ ἀπαρέμφατον τῷ βούλομαι· καὶ οὕτως αὐτοπαθὲς ἔσται· συμπαραλαμβανομένης μὲν τῆς ἐμαυτοῦ ἀντωνυμίας, ἐὰν καὶ τὸ ῥῆμα ἐπὶ πλαγίαν φέρηται· οὐ συμπαραλαμβανομένης δέ, εἰ μὴ

ἴσ. ἀποφαίνσεις

πλῶσιν ἐπὶ π. Soph.

τὰ τοῦ πρ. D.

σοι D.

εἰ μὴ τῇδ' ἔχει. τοῦ μὲν προτέρου ἐστὶ τὸ, γυμνάζω σε, βούλομαι γυμνάζειν ἐμαυτόν· δαίρω σε, βούλομαι δαίρειν ἐμαυτόν. τοῦ δὲ δευτέρου ἐστὶ, πλουτῶ, ἀδιαβίβαστον· ἐξ οὗ οὐ πάντως ἐπιζητήσει τὸ βούλομαι πλουτεῖν ἐμαυτόν. ἀλλὰ καὶ χωρὶς τῆς ἀντωνυμίας ταὐτὸ κἀπὶ τοῦ, βούλομαι περιπατεῖν ἐμαυτὸν, καὶ τῶν ὁμοίων· ὥστε συνάγεσθαι τὸ ἐκ μὲν τῆς προτέρας συντάξεως πάντως ἐπιζητεῖν τὴν ἐμαυτὸν ἀντωνυμίαν· ὡς ἐν τῷ, βούλομαι βλάπτειν, βούλομαι φιλεῖν· οὐ μὴν ἐπὶ τοῦ περιπατεῖν, τρέχειν, καὶ τῶν ὁμοίων. ἴσως ποιήσεται τὸ βούλομαι, προαιροῦμαι, θέλω, καὶ τὰ τούτοις ὅμοια, τὰ ἐπὶ αἰτιατικὴν πτῶσιν μὴ φέρεσθαι, τά γε μὴν συμφερόμενα ῥήματα. ἔστω γάρ τι, βλάπτω σε, γράφω σε· ἀφ' οὗ ἂν γένοιτο, θέλω σε βλάπτειν, θέλω σε γράφειν. ὥστε τῶν ἀπαρεμφάτων εἶναι τὴν σύνταξιν, μὴ τῶν ἐγκειμένων ὁριστικῶν. καὶ ἔτι ἐξ ἐκείνου πιστώσεται, ὡς τὸ ἀκούειν ἐπὶ γενικὴν φερόμενον· διὸ καὶ ἕνεκα τούτου πάλιν τὸ, θέλω ἀκούειν Διονυσίου, γενικὴν σύνταξιν ἀνεδέξατο· ἕνεκα τοῦ τὸ ἀκούω ἐπὶ γενικὴν φέρεσθαι. ἔστι δὲ τὸ τοιοῦτον ληρῶδες. ὡς γὰρ προείπομεν, πάντως τὰ προαιρετικὰ ἐπ' αἰτιατικὴν φέρεται, προσλαμβάνοντα ἑτέραν πτῶσιν, ἐὰν καὶ τὸ τασσόμενον ἀπαρέμφατον ἐκ ῥήματος συνεστήκει, τοῦ φερομένου ἐπὶ πλαγίαν πτῶσιν·

ἡ οἰήσεταί τις τ. Soph. ἴσ. τὸ

συντασ. D.

verbũ feratur in obliquum. Prioris generis exemplũ est, γυμνάζω σε, βούλομαι γυμνάζειν ἐμαυτόν: δαίρω σε, βούλομαι δαίρειν ἐμαυτόν. posterioris; πλουτῶ intransitiuum: itaque non omnino exiget βούλομαι πλουτεῖν ἐμαυτὸν, sed carebit pronomine. Eadem est ratio in βούλομαι περιπατεῖν ἐμαυτὸν, & similibus. Illud itaque efficitur, vt prior cõstructio requirat omnino pronomen ἐμαυτόν: vt in illis, βούλομαι βλάπτειν, βούλομαι φιλεῖν: posterior non ita, βούλομαι περιπατεῖν, βούλομαι τρέχειν, & alia id genus. Sed fortasse βούλομαι, προαιροῦμαι, θέλω, & horũ similia, faciũt vt verba secum sociata, in accusatiuum non ferãtur. fac enim esse huiusmodi cõstructionem; βλάπτω σε, γράφω σε: hinc fiet illa constructio, θέλω σε βλάπτειν, θέλω σε γράφειν: ita vt constructio sit infiniti, non indicatiui antecedẽtis. atq; hoc poterit probari vel ex eo, quod verbum ἀκούειν cum genitiuo iũgitur: eamq; ob causam etiam illa constructio, θέλω ἀκούειν Διονυσίου, recepit genitiuum; quoniam ἀκούω in genitiuũ fertur. Sed hoc est nugatoriũ. nam (quemadmodum antea diximus) verba voluntatem significantia, omnino in accusatiuum feruntur, & assumunt alterum casum; si infinitum, quod est secum iunctum, proficiscatur ex verbo quod casum obliquũ exigit.

quod nisi ita fiat, solus accusatiuus verbi significãtis voluntatem assumetur. Prioris cõstructionis exemplum est; θέλω σε ἀκούειν Διονυσίου. hic enim accusatiuus σὲ, assumitur propter verbum θέλω: sed genitiuus, τοῦ Διονυσίου inquã, propter ἀκούω verbum. Rursus fac esse alterum verbum, σοὶ χαρίζομαι: constructio erit plane, θέλω σε χαρίζεσθαι Διονυσίῳ: vbi rursus accusatiuus, propter verbum θέλω, vt diximus; datiuus, propter verbum χαρίζεσθαι adiectus. vnde fit vt etiã duo accusatiui exsistãt, si verbum feratur in accusatiuum: vt in illo, βλάπτω σε, θέλω σε βλάπτειν Διονύσιον, θέλω Διονύσιον βλάπτειν Ἀπολλώνιον: de quorum ambiguitate iam disseruimus. Posterioris constructionis exemplum erat πλουτῶ intransitiuũ, περιπατῶ, ζῶ, & alia quãplurima. Ergo in illo, βούλομαί σε ζῶ, non deest alter accusatiuus; quia verbũ est intransitiuum. accusatiuus tamẽ interiectus est, quem verbi voluntatem significantis exigit constructio. atq; ita demonstratum est, verba προαιρετικὰ construi cum accusatiuo.

Verba etiam quæ inquisitionem vel interrogationem significant; vt ἐξετάζω σε, ἀνακρίνω σε, ἐρεείνω σε: ἐγὼ δ' ἐρέεινον ἁπάσας. Ac propterea πεύθετο non est incongruum, cum iungitur cũ accusatiuo, sicut Homerus vsurpat; cum significat ἠκούετο: vt in illis, Ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον, Πευ-

Od. λ.

Ol. β.

εἰ γὰρ μὴ τῇδε ἔχει, μόνη αἰτιατικὴ παραλαμβάνεται ἡ ἐκ τοῦ προαιρετικοῦ. τοῦ μὲν οὖν προτέρου λόγου, θέλω σε ἀκούειν Διονυσίου· παρείληπται γὰρ ἡ σὲ αἰτιατικὴ, διὰ τὸ θέλω· ἡ δὲ μὴν γενικὴ, λέγω τοῦ Διονυσίου, διὰ τὸ ἀκούω. πάλιν ἐπὶ τὸ, σοὶ χαρίζομαι· καὶ πάντως γενήσεται, θέλω σε χαρίζεσθαι Διονυσίῳ· προσγινομένης πάλιν τῆς αἰτιατικῆς, καθ' ὃν εἴπομεν λόγον· συνούσης [δὲ τῆς] δοτικῆς, διὰ τὸ, χαρίζεσθαι Διονυσίῳ. ἔνθεν δὴ καὶ δύο αἰτιατικαὶ ἀνακύπτουσιν· [εἰ] καὶ τὸ ῥῆμα ἐπ' αἰτιατικὴν πάντως φέροιτο· ὡς ἔχει τὸ, βλάπτω σε, θέλω σε βλάπτειν Διονύσιον, θέλω Διονύσιον βλάπτειν Ἀπολλώνιον· περὶ ὧν καὶ τῆς ἀμφιβολίας διεξεθέμεθα. τοῦ δευτέρου ἦν τὸ πλουτῶ, ἀδιάβιβαστον· τὸ περιπατῶ, τὸ ζῶ, ἄλλα πλεῖστα. οὐ δὴ ἐν τῷ, βούλομαί σε ζῆν, λείπει ἑτέρα πτῶσις, διὰ τὸ ἀδιάβιβαστον τοῦ ῥήματος· ἡ μέντοι αἰτιατικὴ ἔγκειται, ἣ προσγίνεται ἐκ τῆς προαιρετικῆς συντάξεως. καὶ οὕτως ἀπεδείχθη, ὡς τὰ προαιρετικὰ ῥήματα φέρεται ἐπ' αἰτιατικήν. καὶ ὅσα ἐπ' ἀνακρίσεως λαμβάνεται, ἢ ἐπ' ἐρωτήσεως, ἐξετάζω σε, ἀνακρίνω σε· ἐγὼ δ' ἐρέεινον ἁπάσας. καὶ ἕνεκα τούτου τὸ πεύθετο κατάλληλον ἔχεται, φερόμενον ἐπὶ τὴν αἰτιατικὴν, κατὰ τὴν Ὁμηρικὴν χρῆσιν, σημαῖνον τὸ ἠκούετο, ἐν τῷ. [ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,] πεύθομαι

ἢ μόνη αἰτιατικὴ

D.

ἐν αἰτ.

θόρυβον ἦγεν ἕκαστος· καὶ, πεύθετο γὰρ Κύπρονδε· οὐχ ὅτι κατὰ πεύσεως παραλαμβάνεται ἐν τῷ πυνθάνομαί σου. πρόκειται γὰρ ἡ συζυγία τῶν τοιούτων ἐπ' αἰτιατικὴν φερομένη. ὁμοίως καὶ τὰ ἐπ' οἶκτον παραλαμβανόμενα· ὡς ἐπὶ τοῦ μύρεσθαι, ὀδύρεσθαι, γοᾶν, κλαίειν, οἰκτίζειν, θρηνεῖν, αἰάζειν· τὸ γὰρ οἰμώζειν καὶ αὐτοπαθεῖν σημαίνει. καὶ ὅσα κλῆσιν ὑπαγορεύει, φωνῶ σε, βοῶ σε. [κλῶ,] καλῶ. προφανὴς
γρ. ἐπὶ τοῦ [γὰρ] ἡ γινομένη ἐνέργεια ἐκ τῆς εὐθείας ἐπ' αἰτιατικήν. καὶ ἕνεκα τοῦ τοιούτου, ἐπιστάσεως ἄξια τὰ τοιαῦτα, τρέμω σε, φεύγω σε, φρίσσω σε, τοῦτον φοβοῦμαι· ὡς οὐδεμιᾶς ὄντα ἐνεργείας ἐμφαντικά, φέρεται ἐπ' αἰτιατικήν· μᾶλλον γὰρ αὐτοπαθεῖν σημαίνει τὸ φρίσσειν καὶ τρέμειν διὰ φόβον. καὶ ἔτι τὸ φεύγειν, καὶ τὰ παραπλήσια· συνεπισχύοντος καὶ τοῦ μὴ γίνεσθαι ἐπὶ τῶν τοιούτων συντάξεων παθητικὰς διαθέσεις. εἰ γὰρ τῆς αὐτῆς συντάξεως εἴχετο τῷ ὑβρίζω σε, δαίρω σε, τὸ φρίσσω σε καὶ τὸ τρέμω σε, καὶ πάντως εἶχεν ἀντιπαρακείμενα τὸ τρέμομαι, φεύγομαι, φρίσσομαι, ὁμοίως τῷ ὑβρίζομαι, δαίρομαι.
ποιητικὴ ἄδεια Χρὴ οὖν νοεῖν ὡς οὐ μόνον ποιητικῇ ἀδείᾳ ἐν ἐνδείᾳ λέξεων καταγίνεται, ἀλλὰ καὶ συνήθεις λόγους λείπειν φαμέν, τῷ, ὁρμήσει πεδίοιο, τὴν διὰ πρόθεσιν· † τῷ καὶ οὗτοι πολλὸν χρόνον· τοῦ ἐν-
* διά. τελοῦς ὄντος· ἴθυσε μάχη πεδίοιο, τῇ διά. ἔστι δὴ οὖν καὶ ἡ προκειμένη σύνταξις ἐν πλήρει λόγῳ καθισταμένη οὕτω, τρέμω διὰ σέ, φεύγω

θόρυβ' ἦγε ἕκαστος: &, πεύθετο γὰρ Κύπρονδε: non cum significatinterrogationem; vt in illo, πυνθάνομαί σου. constitutum enim est superius, ordinem istiusmodi verborum accusatiui constructionem postulare. Il. λ.
Verba item miserationem significantia; vt μύρεσθαι, ὀδύρεσθαι, γοᾶν, κλαίειν, οἰκτίζειν, θρηνεῖν, αἰάζειν. nam οἰμώζειν accipitur etiã reciproce. Vocatiua etiam; vt φωνῶ σε, βοῶ σε, καλῶ σε. apparet enim actus, qui a nominatiuo in accusatiuũ proficiscitur. Et ideo quærẽdum est de verbis istiusmodi, τρέμω σε, φεύγω σε, τοῦτον φοβοῦμαι: quæ nullam actionem indicant, & tamen in accusatiuum feruntur. nam φρίσσειν & τρέμειν propter metũ: præterea φεύγειν, & similia, significant potius αὐτοπαθεῖν, i. reciprocam passionem: adde etiam, quod in eorum constructionibus genus passiuum non reperitur. nam si eandem constructionem haberent φρίσσω σε, & τρέμω σε, quam ὑβρίζω σε, & δαίρω σε, haberẽt etiam omnino opposita passiua, τρέμομαι, φεύγομαι, φρίσσομαι, perinde atque ὑβρίζομαι, δαίρομαι. Sciendum igitur est, non solum poeticam licentiam deficere dictionibus, sed sermonem etiam quotidianum; vt in illo, ὁρμήσει πεδίοιο, deest διὰ præpositio. Il. α.

Quare constructio etiam superior integra fuerit, si dixeris, τρέμω διὰ σέ, φεύγω

διά σε. Eadē erit ratio in φρίσσω, φοβοῦμαι, & similibus. Itaque non sine ratione factum vt passiui figurā recusauerint. Verba etiam hortatiua; vt ὀτρύνω, ἐρεθίζω, ὀρίνω, παρορμῶ, διεγείρω: & quæcumque supplicationem significant; γουνοῦμαι, γουνοῦμαί σε ἄνασσα: [Od. ζ.] ἐρωτῶ σε, quod iam valet *rogo te*: λιτανεύω, ἱκνοῦμαι, (τὴν ἱκόμην φεύγων) [Il. ξ.] ἱκάνω, & ἱκάνομαι, pro supplico: Τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι: [Od. γ.] &, σόν τε πόσιν, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας. [Od. η.] Dubium vero non est, δέομαί σου, non accipi in eundem sensum: significat enim tale quidpiam, *careo tuo auxilio*. Deniq; constructio (vt ante dictum iam) verborum cum accusatiuo, varia & multiplex est; vno tamen illo consentiens, quod recipit genus actiuum, quod a nominatiuo proficiscitur; ὁρκίζω σε, πείθω σε, κακίζω σε, σωφρονίζω σε, διδάσκω σε, θλίβω, θερμαίνω, ψύχω, διατιθῶ. Verum sufficit superior constructionis ratio, ad reliquorum eiusdem ordinis verborum constructionem vestigandam. Sed fortasse actio quæ proficiscitur a sensibus, æqualis vbique non videbitur: quoniam verbum ipsum αἰσθάνεσθαι ad genitiuū fertur: [Genitiuū quæ asciscant.] præterea ea quæ sumuntur particularim; ἀκούειν, ὀσφραίνεσθαι, γεύεσθαι, ἅπτεσθαι: at non ita βλέπειν. hoc n. fertur in accusatiuum: & cetera quæ sunt eius synonyma; ὁρῶμαί σε, θεῶμαί σε, ὄσσομαι, (ὀσσόμενος πατέρ' ἐσθλὸν) [Od. α.] λεύσω, δέρκομαι.

διά σε. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ φρίσσω, φοβοῦμαι, καὶ τῶν ὁμοίων. καὶ διὰ τοῦτο εὔλογος ἡ ἀποπαραίτησις τοῦ παθητικοῦ σχήματος. [ἢ παραίτ.] Καὶ ὅσα παρορμητικά ἐστιν· ὡς τὸ ὀτρύνειν, ἐρεθίζειν, ὀρίνειν, παρορμᾶν, διεγείρειν. καὶ ὅσα ἱκετείαν σημαίνει· γουνοῦμαί σε ἄνασσα· ἐρωτῶ σε νῦν, ἐν ἴσῳ τῷ παρακαλῶ σε· †λιτανεύω, [ἱκνοῦμαι,] τὴν ἱκόμην φεύγων, ἀντὶ τοῦ ἱκέτευσα· τοὔνεκα νῦν τὰ σὰ [γούναθ' ἱκάνομαι· καί, σόν τε πόσιν, σά τε] γούναθ' ἱκάνω πολλὰ μογήσας. καὶ δῆλον ὅτι τὸ δέομαί σου, οὐ κατὰ τὴν τοιαύτης [αὐτῆς] ἐννοίας παραλαμβάνεται. τοιοῦτον γάρ τι σημαίνει, τῆς σῆς βοηθείας λείπομαι. Καί, ὡς προείρηται, πολυμερεστάτη ἐστὶν ἡ κατ' αἰτιατικὴν σύνταξις, ἑνὶ συμφωνοῦσα τῷ ἀναδέχεσθαι τὴν ἐξ εὐθείας ἐνεργητικὴν διάθεσιν· ὁρκίζω σε, πείθω σε, κακίζω σε, σωφρονίζω σε, διδάσκω σε, θλίβω, θερμαίνω, ψύχω, διατιθῶ. αὐτάρκης δὲ εἰς ἀφορμὴν τῶν ὑπολοίπων ῥημάτων ἡ προκειμένη σύνταξις καθέστηκεν. Ἴσως [δὲ] δόξει μὴ ἐξομαλίζεσθαι ἡ ἐκ τῶν αἰσθήσεων ἐνέργεια· ἐπεὶ αὐτὸ τὸ αἰσθάνεσθαι ἐπὶ γενικὴν φέρεται· καὶ ἔτι τὰ μερικώτερα παραλαμβανόμενα, τὸ ἀκούειν, τὸ ὀσφραίνεσθαι, γεύεσθαι, ἅπτεσθαι· οὐ μὴν ἔτι τὸ βλέπειν· ἐπὶ γὰρ αἰτιατικὴν φέρεται· καὶ τὰ τούτοις συνωνυμοῦντα, [τούτῳ] ὁρῶμαί σε, θεῶμαί σε· ὀσσόμενος πατέρ' ἐσθλόν· λεύσω, δέρκομαι.

κόμμαι, ὁ πλέω. καὶ δοκεῖ μοι τὰ τῆς συντάξεως πάνυ δεόντως καθίστασθαι. αἱ μὲν οὖν ἐκ τῶν αἰσθήσεων διαθέσεις πάθος ἀναλαμβάνουσι τὴν ἀπὸ τῶν ἔξωθεν· εἴ γε καὶ ἀκουσίως ἐπεισιοῦσα τῇ ἀκοῇ ἡ φωνή, προσδιατίθησι τὸ ὅλον σῶμα. οἵ τε γὰρ τῶν πριόνων ἦχοι καὶ αἱ βρονταί, οὐχ ὑπεχομένην ἔχουσι τὴν ἀκοὴν τῇ φωνῇ. τοῦ μέντοι πάθους ἐγγίζει ἡ κατὰ γενικὴν σύνταξις, καθὼς εἴπομεν· οὐ μέντοι μετὰ τῆς ὑπό, τὰ τῆς συντάξεως γάρ· καθὸ καὶ ἐνέργεια συνεζευγμένη ἐκ τῆς διαθέσεως· ἐπεὶ καὶ τὸ ἅπτεσθαι μετ' ἐνεργείας, καὶ ἀντιδιατίθεται διὰ τῆς τῶν θερμῶν ἐπαφῆς, ἢ ψυχρῶν, ἢ ἄλλων τῶν τοιούτων. οὕτως ἔχει τὸ ὀσφραίνεσθαι, τὸ γεύεσθαι. περισσὸν ἂν εἴη περὶ τῆς τῶν τοιούτων διαθέσεως παραλαμβάνειν· καθὸ πρόδηλόν ἐστιν, ὡς ἂν εἰ ἡ γινομένη τῶν πικρῶν γεῦσις ἀντιδιατίθησι τὴν γεῦσιν· καὶ τῶν δυσωδῶν, τὴν ὄσφρησιν· ἥ γε μὴν ἐκ τοῦ ὁρᾶν διάθεσις, ἐνεργεστάτη ἐστὶ καὶ ἐπὶ πλέον διαβιβαζομένη· ὡς κἀκεῖνο μαρτυρεῖ, οὔτε τοι ὀξύτατον κεφαλῆς ἐνδέρκετο ὄσσε. οὐδὲ γὰρ εἰς τὸ ἀντιπαθεῖν ὑπὸ τῶν ἔξωθεν εὐδιάθετος· ἐπεὶ τὸ προσδιατεθὲν εἴργεται ὑπὸ τῆς καταμύσεως τῶν ὀφθαλμῶν. Τὸ ἀνώμαλον τῆς συντάξεως κατήπειξεν ἡμᾶς εἰς τοιαύτην ἐκτροπὴν λόγου συγκαταβῆναι. φαίνεται δὲ ὅτι καὶ τὸ φιλεῖν τοῦ ἐρᾶν διοίσει· καθότι ἡ μὲν ἐκ τοῦ φιλεῖν ἐγγινομένη διάθεσις, ἐνεργείας ὄνομα σημαίνει. οἱ γοῦν φιλοῦντες,

πτ- πλεύω · τῆς ὑπο- μένειν τῆς φωνῆς · ἴσ. διαλαμβάνειν · καθὸ πρόδηλόν ἐστιν ὡς · ἢ γ. ἐναργ. · ἐκ δέρκεται · τῆς προσδιατεθὲν εἴργεται · q. c. εἴρκται · ὀνόματα

κομμαι, ὁ πλεύω. ac mihi quidē videtur hæc constructio recte constitui. nam sensuum affectus, passionē suscipiunt, quæ a rebus externis proficiscitur: siquidem vox vel inuitis nobis in auditum penetrās, afficit simul totum corpus: auditus enim nō lubenter patitur serrarum sonos, & tonitrua. Quare constructio genitiui (sicuti diximus) est passioni proxima: ita tamen vt ὑπὸ præpositione careat, quoniam coniuncta simul est actio profecta a causa afficiente: quandoquidem ἅπτεσθαι etiam. cum actione coniunctum est, & tamen afficit passione, si calida, vel frigida, vel alia id genus attingas. eadem est ratio in ὀσφραίνεσθαι, γεύεσθαι. Sed superuacaneum fuerit de huiusmodi verborum significatione pluribus disserere. est enim non obscurum illud, amari gustum afficere gustatum passione; & male olentium odorem, odoratum: at videndi actus, est maxime euidens, & penetrans longissime; vt illud fidem facit; Οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκ δέρκεται ὄσσε. nam visus ne ab externis quidem rebus facile potest affici: quoniam quæ possunt offendere, palpebris clausis arcētur. Ac diuersa istiusmodi verborū cōstructio coegit nos descendere in hāc digressionē. Apparet præterea inter φιλεῖν & ἐρᾶν, illud esse discrimen, q affectio quæ a verbo φιλεῖν proficiscitur, actus nomen significat. qui. n. amant, Il. ψ.

erudiunt; in quo rursus affectio proposita tendit in accusatiuum: (eadem est ratio in διδάσκειν & πείθειν) at verbū ἐρᾶν, præ se fert passionem profectam a persona amata: & ideo recte Sappho est vsa verbo significāte vehementiorem affectionem; ἐγὼ δὲ ἡ νοτιῶτις ἐρᾶται. neque est dubium, sana mente præditi & boni viri esse φιλεῖν, sicuti patres faciunt, qui amant filios; sed non ita ἐρᾶν est hominis sana mente præditi, sed eius qui corruptam habet rationem Ergo non est dubitandum cur φιλῶ.cum accusatiuo, ἐρῶ cū genitiuo construatur. κήδεσθαι etiam, προνοεῖσθαι, & φροντίζειν, quamquam iunguntur genitiuo, & habent actum τοῦ φροντίζειν, continent tamen simul passionem, quæ sustinetur pro aliis: & propterea cum genitiuo conuenienter construuntur. Cum genitiuo etiā iunguntur quęcumq; rerum aliquarū possessionem significant, ita vt qui obtinent, earumque potiuntur, afficiantur probabiliter. nam illud in aperto est, sine genitiuo rem possessam non posse reperiri: & ideo possessiua in genitiuos resoluuntur, & a genitiuis deducuntur, tam in nominibus, quā in pronominibus, a quolibet quod recip[illegible]e possessionem potest. ac propterea νέα πόλις, & similia, si duo nomina sint, & suos tenores habeāt, seorsum declinantur: at non ita Κόρακος πέτρα, vel ὑοσκύαμος, vel ὄνου γνάθος, vel Ἀχαιῶν

παιδεύουσι· πάλιν τῆς διαθέσεως [κοινῆς] τῆς προκειμένης, ἐπ' αἰτιατικὴν συντεινούσης. οὕτως ἔχει καὶ τὸ διδάσκειν, καὶ τὸ πείθειν. τό γε μὴν ἐρᾶν, ὁμολογεῖ τὸ προσδιατίθεσθαι ὑπὸ τοῦ ἐρωμένου. διὸ καὶ δεόντως ἡ Σαπφὼ ἐπιτεταμένῳ μᾶλλον ὀνόματι ἐχρήσατο· ἐγὼ δὲ καὶ ἡ νοτιῶτις ἐρᾶται. καὶ σαφές ἐστιν ὡς συνετοῦ μέν ἐστι καὶ ἀγαθοῦ τὸ φιλεῖν, καθάπερ καὶ πατέρες παῖδας φιλοῦσιν· οὐ μὴν συνετοῦ τὸ ἐρᾶν, ἀλλ' ἤδη παρ[illegible]θορότος τὸ λογιστικόν. οὐ χρὴ ἄρα ἀπορεῖν ἕνεκα τίνος τὸ μὲν φιλῶ, ἐπ' αἰτιατικὴν φέρεται, τὸ δὲ ἐρῶ, ἐπὶ γενικήν. καὶ τὸ κήδεσθαι δέ, καὶ προνοεῖσθαι, καὶ φροντίζειν, ἐπὶ γενικὴν φερόμενα μετ' ἐνεργείας τῆς τοῦ φροντίζειν, ἔχει ἐγκείμενον καὶ τὸ πάσχειν ὑπέρ τινων, καὶ εὐλογώτερον γενικῇ συμπαρείληπται. ὁμοίως ἐπὶ γενικὴν φέρεται, καὶ ὅσα ἐπικράτειαν τινῶν σημαίνει εἰς τὴν τῶν περιεχόντων ἢ κυριευόντων διάθεσιν κατὰ λόγον. προφανὲς γάρ ἐστιν, ὡς χωρὶς γενικῆς κτῆμα οὐκ ἔστιν ἐπινοῆσαι. διὰ τοῦτο [γὰρ] τὰ κτητικὰ εἰς γενικὰς ἀναλύεται, καὶ ἀπὸ γενικῶν παράγεται, ἔν τε ὀνόμασιν, ἔν τε ἀντωνυμίαις, ἀπὸ πάντων τῶν δυναμένων κτῆσιν ἀναδέξασθαι. διὰ τοῦτο τὸ μὲν νέα πόλις, καὶ τὰ ὅμοια, δύο ὀνόματα καθεστῶτα, ἐν ἰδίοις τόνοις δὶς κλίνεται· οὐ μὴν τὸ Κόρακος πέτρα, ἢ ὑοσκύαμος, ὄνου γνάθος, Ἀχαιῶν λιμήν.

ἴσ. συντεινούσης

εὐλογώτερον. B.

ἰσ. κ.

λιμένι. [λυθείσης γὰρ τῆς γενικῆς, συνοίχεται καὶ τὰ τῆς ἐπικρατήσεως.] ἔστι γοῦν ἡ προκειμένη συζυγία τῶν ῥημάτων τοιαύτη· κτῆμα τῶν βασιλέων οἱ ὑπακούοντες. διὰ τοῦτο βασιλεύω τούτων, ἡγεμονεύω, στρατηγῶ, τυραννῶ. διὰ τοῦτο ἀπαράδεκτος ἡ δοτικὴ ἐν τῷ, Μυρμιδόνεσσιν ἄνασσε. [ἡ γὰρ τοῦ ἄνασσε] σύνταξις, τὴν γενικὴν ἀπήτησεν. οὕτως ἔχει τὸ κυριεύω, δεσπόζω, κρατῶ, ἄλλα πλεῖστα, τῆς ἴσης ἐννοίας ἐχόμενα. εἰκὸς [δὴ] ἐστὶ διασαφῆσαι, ὡς τὰ τοῦ λόγου ἀντέστραπται· ἐν

ἴσ. ἐν τοῖς ὀνόμασιν.

γὰρ τοῖς ὀνόμασιν ὁ ἐπικρατῶν ἐν γενικῇ κεῖται πτώσει· ὅ τε ἐπικρατούμενος, ἐν εὐθείᾳ· Ἀριστάρχου δοῦλος, βασιλέως οἰκέτης. ἔνθε μὲν τῇ προκειμένῃ συντάξει, ὁ μὲν ἐπικρατῶν, νοεῖται ἐν εὐθείᾳ, ὁ δὲ ἐπικρατούμενος, ἐν γενικῇ. δεσπόζω γὰρ ἐγὼ τούτων, [καὶ ἔτι κυριεύω.] πρὸς ὃν ἂν φήσαιμεν, τὸ πρῶτον· οὐ τὸ αὐτὸ μέρος λόγου ὄνομα καὶ ῥῆμα. καὶ εἰ τοῦτο, οὐ πάντως καὶ τὰ τῆς συντάξεως εἰς ταυτὸ συνελεύσεται. ἢ ἓν μόνον αἰτήσει τὴν γενικήν· ἧς χωρὶς οὐδέποτε κτῆσις ἐπινοεῖται. δεύτερον, πάνυ ἀναγκαίως τὰ τοῦ λόγου ἀντεστράφη. ῥημάτων γὰρ συντάξεις ποιούμεθα πρὸς πτωτικά. τὰ δὲ ῥήματα πτῶσιν ἔχει ὀρθὴν παρυφισταμένην, ἣ καὶ συμφέρεται· ἐκ δὴ αὐτῆς ἤρτηται ἡ διάθεσις τῆς ἐπικρατείας· ἥτις οὐκ ἂν νοοῖτο ἐκ γενικῆς πτώσεως, καθὼς προείρηται. ἀνάγκη οὖν πᾶσα τὸ παρυφιστάμενον πρόσωπον

ἴσ. νοεῖται
ὁ δὲ

σύνταξιν D.

λιμένι. nam sublato genitiuo, tollitur simul id quod obtinebatur. proposita ergo verborum coniugatio est eiusmodi: *subiecti, sunt regum possessio:* quare dicimus, βασιλεύω τούτων, ἡγεμονεύω, στρατηγῶ, τυραννῶ. ergo in illo, Μυρμιδόνεσσιν ἄνασσε, datiuus nō est receptus. nam constructio verbi ἄνασσε postulat genitiuum. similis est constructio verbi κυριεύω, δεσπόζω, κρατῶ, & aliorum plurimorū, quæ sensum eundem sequuntur. Illud autem est distinguendum, in nominibus mutari verborum ordinem. nam in nominibus, possessor in genitiuo; q possidetur, ponitur in nominatiuo; Ἀριστάρχου δοῦλος, βασιλέως οἰκέτης: in superiore vero constructione, qui obtinet, accipitur in nominatiuo; qui obtinetur, iu genitiuo. nam dicimus δεσπόζω, κυριεύω ἐγὼ τούτων. Sed aduersus eū qui hoc dixerit, sic poterit occurri. primum, non eadem pars orationis est nomen atq; verbum: hoc si ita est, nō eadem etiā erit constructio: aut vna tantum exiget genitiuū, sine quo numq̄ intelligitur possessio. Deinde orationis ordo necessario admodum inuersus est. nā verba construimus cū casualibus: ipsa vero verba casum nominatiuum habent antecedentem, quo cū iunguntur: atq; ex his ipsis pendet affectio possessionis, quæ nō intelligeretur ex genitiuo casu; sicuti ante dictū est. Necesse igitur omnino est, personam, quæ cū verbis

Il. α.

simul exsistit, in recto casu collocari; personā vero quæ ad rectum casum respicit, nō in alio, nisi in genitiuo casu poni; sine quo (vt ante diximus) possessiua constructio constitui nō potest. Illud etiam tertio loco addendū est, nomina verbis istiusmodi finitima, poscere rursus genitiuos. nam verbo τυραννῶ finitimū est nomen τύραννος: itaq; vtramq; constructionē eandem habet. Eadem est ratio in βασιλεύω, & βασιλεύς: στρατηγῶ, & στρατηγός: δεσπόζω, δεσπότης: κυριεύω, κύριος. Sed veniamus iam ad ea quæ cū datiuo construuntur. Omnia itaq; verba, quæ acquisitionem significant, siue ad orationem, siue ad corporis spectent officia, feruntur ad datiuum; vt sunt ista; λέγω σοι: quod nihil aliud est quam λόγου σοι μεταδίδωμι. nam cum dico, λέγω σε κλέπτειν, tale quidpiam nimirum significo, *statuo te fecisse furtum ea oratione quam pronūtio*: & viceuersa dicendi actus ad datiuum fertur. Ita etiam in corporis officio, τέμνω σοι: quod est fere περιποιῶ σοι τι μέρος τοῦ σώματος: ceterum τέμνω σε, quod actionē infert in subiectum, similiter concurrit in eandem constructionem. In huiusmodi vero constructionibus est illud attendendum; personam quæ in datiuo intelligitur, non posse fateri actionem quæ in se fit, & dicere τέμνομαι: siquidem actio in passionem conuer-

cum Datiuo quæ construuntur.

ἐκ τῶν ῥημάτων, ἐν πτώσει ὀρθῇ καταγίνεσθαι· τὸ δὲ τούτου πρόσωπον αὐθυπαγόμενον, μὴ ἐν ἄλλῃ πτώσει καταγίνεσθαι, ἢ τῇ γενικῇ· ἧς δίχα οὐ συνίσταται κτητικὴ σύνταξις, καθὼς προείπομεν. ἔτι γε μὴν κἀκεῖνο ἐκ τρίτου προσθεῖναι, ὡς καὶ τὰ ἐξ αὐτῶν παρυφιστάμενα ὀνόματα, πάλιν γενικὰς ἀπαιτεῖ. τῷ τυραννῶ, ὁ τύραννος παράκειται· καὶ μία σύνταξις ἡ ἐξ ἀμφοτέρων. ὁ αὐτὸς λόγος ἐπὶ τοῦ βασιλεὺς καὶ βασιλεύω· στρατηγὸς, στρατηγῶ· δεσπότης, δεσπόζω· κύριος, κυριεύω. Χωρητέον δὲ καὶ ἐπὶ τὰ τῇ δοτικῇ συντασσόμενα. καὶ δὴ ἅπαντα τὰ περιποίησιν δηλοῦντα, εἴτε καὶ τὴν ἐν λόγῳ, εἴτε καὶ τὴν ἐν σώματι, ἐπὶ δοτικὴν φέρεται· ὡς ἔχει τὰ τοιαῦτα, λέγω σοι, ὡσεὶ λόγου σοι μεταδίδωμι. σαφὲς γὰρ [ὅτι] τὸ λέγω σε κλέπτειν, τοιοῦτόν τι σημαίνει, δι᾽ οὗ προΐεμαι λόγου, ὁρίζομαί σε δεδρακέναι τὰ τῆς κλοπῆς. καὶ δεόντως πάλιν τὰ τῆς ἐνεργείας τῆς διὰ τοῦ λέγειν, ἐπὶ δοτικὴν συνέτεινε· καθάπερ καὶ ἐπὶ σώματος, τέμνω σοι· ὡσεὶ περιποιῶ σοι τι μέρος τοῦ σώματος. τό γε μὴν τέμνω σε, πάλιν τὴν ἐνέργειαν ἐπιφέρει κατὰ τοῦ ὑποκειμένου, συνῆλθεν ὁμοίως εἰς τὴν αὐτὴν σύνταξιν. ἐφ᾽ ὧν δὴ συντάξεων χρὴ νοεῖν, ὡς οὐ τὸ ἐκ τῆς δοτικῆς πρόσωπον νοούμενον ὁμολογήσει τὸ τέμνομαι· εἴ γε αὐτῷ μὲν τὰ τῆς ἐνεργείας οὐ προσδιετέθη,

in Soph.

εἰ παθο- κλῶ Soph.

πέθη, τῇ μέντοι ἐκφορᾷ ἢ αἰτιατικῇ, ἧς μόνης ἂν εἴη τὸ παθητικὸν, λέγω τὸ πέμπομαι. ὁ αὐτὸς λόγος ἐπὶ πάντων τῶν οὕτω νοουμένων, ᾄδω σε· καὶ δῆλον ὡς ἐκ τούτου παθητικὸν τὸ ᾄδομαι. τὸ δὲ ᾄδω σοι, καὶ κωμῳδῶ σοι, ὑμνῶ σοι, κιθαρίζω σοι, ῥαγῳδῶ σοι, ἀναγινώσκω σοι, φαίνω σοι, στρωννύω σοι, δωροῦμαι, χαρίζομαι, αὐλῶ σοι, νῦν τῆς συντάξεως περιποίησίν τινα τοῦ αὐλεῖν σημαινούσης. ἑτέρας γὰρ ἐννοίας ἔχεται τὸ αὐλῶ τοῖς αὐλοῖς· τοῦ αὐλεῖν ἀκουομένου κατὰ μὲν τὴν προτέραν σύνταξιν, ἐκ συναμφοτέρου, λέγω τῆς ἐνεργείας τοῦ αὐλεῖν, καὶ αὐ-

Is. ἀκρο τῶν τῶν αὐλῶν· ἐξ ἧς ἐστι τὸ αὐλῶ τοῖς

αὐτῶν D. θεαταῖς. τοῦ δὲ ἑτέρας συντάξεως, ὅτε τὸ αὐλεῖν σημαίνει τὴν εἴδησιν τῆς αὐλήσεως· ἐξ ἧς γίνεται τὸ τοῖς αὐλοῖς αὐλεῖν ἐν [ἴσῳ] τῷ διὰ τῶν αὐλῶν τὰ τῆς τέχνης ἐπιδείκνυσθαι· καθάπερ ἡ διὰ τῶν ὀργάνων ἐναλλαγὴ γινομένη, ἀποτελεῖ τὸ συρίζειν τοῖς αὐλοῖς, ἢ αὐλεῖν τῇ σύριγγι. τὸ τοιοῦτόν ἐστιν ἐπινοῆσαι καὶ ἐπ' ἄλλων ῥημάτων· εἴγε τὸ ἀκούειν ποτὲ μὲν σημαίνει αὐτὴν τὴν μετάληψιν τῆς ἀκοῆς· ὡς ἔχει ἐπὶ τῶν ἤχων, ἢ βόμβων, καὶ φωνῶν καὶ βροντῶν, καὶ πασῶν τῶν οὐκ ἐγγραμμάτων· ἐξ οὗ καὶ φαμὲν καὶ ὀξυκόους τινάς· ἀλλ' ἔστιν ὅπου τὸ συνιέναι τῶν ἠκουσμένων. τὸ γὰρ, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ ἔμπης,

sa est, non in datiui, sed in accusatiui persona, quæ sola potest fateri passionem, i. πέμπομαι. Eadem est ratio in omnibus, quæ sic accipiuntur, ᾄδω σε: ex quo nimitum est passiuum ᾄδομαι: at non ita in his, ᾄδω σοι, κωμῳδῶ σοι, ῥαγῳδῶ σοι, ὑμνῶ σοι, κιθαρίζω σοι, ἀναγινώσκω σοι, φαίνω σοι, στρωννύω σοι, δωροῦμαι, χαρίζομαι, αὐλῶ σοι: significante iam ista constructione acquisitionem quandam modulandi tibiis. alterum enim habet sensum αὐλῶ τοῖς αὐλοῖς: quoniam in priore cōstructione verbi αὐλεῖν, vtrūque intelligitur, & actio inquam modulandi, & tibiæ instrumentum: ex qua constructione natum αὐλῶ τοῖς θεαταῖς. ex altera vero constructione, in qua αὐλεῖν significat scientiam modulandi tibiis, nata est locutio τοῖς αὐλοῖς αὐλεῖν: quod valet idem ac si dicas, artificium illud ostentate tibiis: sicut instrumentorum commutatione facta, efficitur locutio συρίζειν τοῖς αὐλοῖς, vel αὐλεῖν τῇ σύριγγι. Idem licet intelligere in aliis quoque verbis. siquidem ἀκούειν interdum significat vim eam qua auditus percipit sonos, vel bombos, & voces, & tonitrua, omnia deniq; obiecta autium, quæ literis mandari non possunt: vnde dicimus nonnullos esse ὀξυκόους, hoc est habere acrem auditum. interdum vero ἀκούειν significat res auditas intelligere. nā illud, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ ἔμπης, Il. ξ.

nõ significat simpliciter, vocem non latuisse eum; sed tale quidpiam, quod percepta vocẽ, simul quæ gererentur in prœlio intellexit. atq; eodem significatu dicimus *οὐκ ἀκούει ὁ δεῖνα τῶν λεγομένων*: hoc est, vocem ille quidem percipit, sed non ita quæ voce significãtur. aliquando etiam accipitur pro assentiri dictis; *ἀκούει μου ὁ δεῖνα*, h.e. obtemperat: & cõtra *οὐκ ἀκούει*. vnde fit *ἀνήκοός ἐστιν ὁ δεῖνα*. tale est illud,

Il. θ. *οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς*. nã vel significat, vocem nõ percepit, (sicuti paulo ante dicebamus) propter imminẽtem tumultum; vel significat, percepit vocẽ, sed Diomedi nõ paruit, Deo aduersante. itaque nonnulli huc

Il. κ. referunt illud, *Τυδείδη μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει*: in quo ille, qui nimium laudari se recusat, potest simul deprecari vituperationem. cui rei quadrat in vtramq; partem illud quod sequitur; *εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις*. tale est etiam *ἀναγινώσκω*. accipitur enim modo pro ipsa simplici lectione; vt cum dicimus, *is non legit*; modo pro vtroque, i. pro lectione, & pro eorum quæ leguntur perceptione: quo significatu dicimus, *οὐκ ἀνέγνω ὁ δεῖνα Ἀλκαῖον, οὐκ ἀνέγνω Ὅμηρον*. Idem in aliis potest demonstrari. sed locus hic, & constructio, de qua nunc agitur, hoc non postulat. propositum enim nobis est in vni-

οὐχ ἁπλοῦν τι σημαίνει, ὡς οὐκ ἔλαθεν αὐτὸν ἡ φωνή, ἀλλὰ τοιοῦτόν τι, μεταλαβὼν τῆς φωνῆς, συνῆκε καὶ τὴν ἐν τοῖς πολέμοις πρᾶξιν. φαμὲν δὲ οὕτως, οὐκ ἀκούει ὁ δεῖνα τῶν λεγομένων· τουτέστι, τῆς μὲν φωνῆς μεταλαμβάνει, οὐ μὴν τῶν δι' αὐτῆς λεγομένων. ἔστι καὶ τρίτου, ἡνίκα νοεῖται τὸ, συγκατατίθεται τοῖς ὑπ' ἐμοῦ λεγομένοις· ἀκούει μου ὁ δεῖνα, ἐπήκοός μού ἐστι· καὶ πάλιν οὐκ ἀκούει· ἐξ οὗ γίνεται τὸ, ἀνήκοός ἐστιν ὁ δεῖνα. τοιοῦτόν ἐστι καὶ τὸ, οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς. ἢ γὰρ κατὰ τὸν πρῶτον λόγον, οὐδὲ τῆς φωνῆς οὐ μετέλαβε, διὰ τὸν ἐπιόντα θόρυβον· ἢ μετέλαβεν, οὐ μὴν τῷ Διομήδει ἐπείσθη, ἀντιστατοῦντος τοῦ θεοῦ. εἰς τοῦτο γοῦν τινες ἀναφέρουσι τὸ, Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει· ἐφ' οὗ δύναται ἀντιπαραιτησάμενος τὸ ἄγαν ἐπαινεῖσθαι, συμπαραιτεῖσθαι καὶ τὸ μὴ ὀνειδίζεσθαι. ἁρμόζει γοῦν τὸ ἐπιφερόμενον πρὸς ἀμφότερα· εἰδόσι γὰρ τι- ταῦτα μετ' Ἀργείοις ἀγορεύεις. (τοι ταῦτα) οὕτως ἔχει τὸ ἀναγινώσκω· ἔσθ' ὅτε ἀκούεται αὐτὸ μόνον ἁπλῆ ἡ ἀνάγνωσις, ἡνίκα καὶ πᾶς φησιν οὐκ ἀνέγνω· ἢ τὸ συναμφότερον αὐτῶν· λέγω δὲ τὸ, ἐν διανοίᾳ καταγίνεσθαι τῶν ποιημάτων. φαμὲν γὰρ, οὐκ ἀνέγνω ὁ δεῖνα Ἀλκαῖον, οὐκ ἀνέγνω Ὅμηρον. Ἔστιν ἐπ' ἄλλων τὸ τοιοῦτον ἐπιδεῖξαι. ὅπερ νῦν οὐκ ἐπιζητεῖ ἡ προκειμένη σύνταξις. προὐθέμεθα γὰρ ἅπαξ, τὰς πλαγίας

γίας συντάξαι τοῖς ῥήμασιν· οὐ μὴν τὰς ποικίλως παρυφισταμένας ἐκ τῶν ῥημάτων. καὶ μὴν οὕτως ἔχει τὸ αὐλῶ ταῖς νυμηνίαις, σαφὲς ὅτι πάλιν φέρεται [ἐπὶ τὴν περιποίησιν τῶν ἀκροωμένων. ἐν μὲν γὰρ τῷ κελαστήματι γίνεται] τὰ τῆς ἐνεργείας, περιποιεῖται δέ γε μὴν τοῖς ἀκροωμένοις.

Τὸν αὐτὸν δὴ τρόπον, ὡς ἔφαμεν, ἔχει καὶ τὰ ἐπὶ τῶν σωμάτων, φέρω σοι, ἄγω σοι πάλιν διαφορᾶς οὔσης τοῦ φέρω σε, καὶ ἄγω σε. ὥστε ὁμολογεῖσθαι ὡς ἅπασα τοιαύτη δοτικὴ συνέχει ἐν ἑαυτῇ τὴν αἰτιατικὴν, ἣν καὶ ἔξωθεν προσλαμβάνει· ἄγω σοι τὸν παῖδα, φέρω σοι τὸν οἶνον, τέμνω σοι τὸ κρέας· ἀναγινώσκω σοι Ἀλκαῖον, κωμῳδῶ σοι † τοὺς ἐπιτρέποντας. ὧν, ὡς ἔφαμεν, καὶ παθητικαί εἰσι συντάξεις οὐκ ἀπιθάνως, [ὡς] δηλοῖ Ὅμηρος. δοκεῖ δὲ ἐν τῇ τοιαύτῃ συντάξει τῶν πτώσεων προτίθεσθαι τῆς αἰτιατικῆς· καθότι καὶ ταύτης ἐστὶν ἐμπεριεκτική. Ὁμοίως δὲ καὶ ἐπὶ δοτικὴν φέρεται καὶ τὸ ὑπηρετῶ [σοι,] δουλεύω σοι, ἕπομαί σοι,
ἴσ. εἴκω D. ἀκολουθῶ σοι, ἥκω σοι. τῶν γὰρ ἐν αὐτοῖς ἐγκειμένων ἐνεργειῶν εἰσι περιποιητικά. τὸ γὰρ δουλεύειν, πάσης ὑπηρεσίας ἐμπεριεκτικόν· ἧς τὰ εἴδη πάλιν ἐπιμεριζόμενα τῇ ἐνεργητικῇ διαθέσει, τὴν ἐνεργητικὴν ἀπαιτεῖ· (ἀπαιτ. κὴν) (πείθω) πείθω σε, λούω σε, νίπτω σε, (ἀνεκπλ. D.) κείρω, κοσμῶ, ἀμῶ, ἀναδῶ, ἀναπλέκω· λαμπρύνω, φαιδρύνω. καὶ τὸ εἴκειν δὲ, (διαθ. D.) πάσης ἀντιθέσεως ἐμπεριεκτικὸν ὄν, καὶ

uersum obliquos casus cum verbis construere, non eorũ varias significationes ex verborum constructione explicare. Quare si eodem modo, vt supra, dicamus, αὐλῶ ταῖς νουμηνίαις, non est dubium quin constructio spectet ad auditorum acquisitionem: actio enim in certã fit personam: acquisitio fit auditoribus.

Non est dissimilis ratio eorum etiam verborum, quæ ad corporis officia referuntur; φέρω σοι, ἄγω σοι: quæ rursus differunt a φέρω σε, & ἄγω σε. Hinc planum fit, quemlibet istiusmodi datiuum continere in se accusatiuũ, quem & assumit extrinsecus; ἄγω σοι τὸν παῖδα, φέρω σοι τὸν οἶνον, τέμνω σοι τὸ κρέας: ἀναγινώσκω σοι Ἀλκαῖον, κωμῳδῶ σοι τοὺς *ἐπιτρέποντας. quorum etiam existunt passiuæ constructiones probabilem in modum; vt planum facit Homerus. In huiusmodi autem constructione casuum, datiuus accusatiuo præponitur; quoniã eum videtur continere. In datiuũ fertur similiter ὑπηρετῶ σοι, δουλεύω σοι, ἕπομαί σοι, ἀκολουθῶ σοι, ἥκω σοι. afferũt enim acquisitionem actionum, quas habent insitas. nam verbum δουλεύειν continet varia ministerii genera: cuius ministerii partes in genus actiuum distributæ, accusatiuum postulant; πείθω σε, λούω σε, νίπτω σε, κείρω, κοσμῶ, ἀμῶ, ἀναδῶ, ἀναπλέκω, λαμπρύνω, φαιδρύνω. Verbum etiam εἴκειν, quia cõtinet quamlibet oppositionem. &

* ἴσ. ἐπιτρέποντας.

ὑποχωρεῖν, eadem ratione in datiuum ferũtur. Quæ etiam ex pari genere ꝓficiscuntur, hoc est, quæ in duabus personis idem habẽt genus, cum datiuo congrue construuntur: vt μάχομαί σοι, παλαίω σοι, γυμνάζω σοι, γυμνάζομαί σοι, ἱππάζομαι, ἀνθίσταμαι, μονομαχῶ, παγκρατιάζω. Quod autẽ verba istiusmodi cõstrui debeant cum obliquo, nemini dubium est. continent enim vim transitiuam (quemadmodũ supra diximus) in personam suppositam, quæ fateri potest actionem quæ in se transmissa est. nam παλαίειν, παγκρατιάζειν, intelligitur de duabus personis animatis: actio tamen quæ potior est, & quæ accusatiuum exigit, in vna tantum versatur persona, quæ ex nominatiuo afficitur, & tamen non afficit alteram, vt facit δαίρω σε, τύπτω σε, παίω σε. qui enim sic pronuntiat, non fatetur genere contrario se cædi. Ergo verba proposita superius, nihil tale præ se ferũt: & propterea nimirum accusatiuum nõ recipient: quod si facerent, haberent etiam genus passiuum, quo altera persona aduersarii se pati fateretur. Cur igitur in datiuum concessit? quia genitiuus etiam in genus passiuum distribuitur. Ergo hæc constructio ab vtroque isto casu abstinebit; neque alium admittet casum quam datiuum solum: vnde fiet vt genus passiuum acqui-

τὸ ὑποχωρεῖν πᾶσι τῷ αὐτῷ λόγῳ εἰς δοτικὴν κατήντησε. καὶ τὰ ἐξ ἴσης διαθέσεως ἀναγόμενα, τουτέστι τὰ ἐν δυσὶ προσώποις τὴν αὐτὴν ἔχοντα διάθεσιν, τὸ κατάλληλον ἐν δοτικῇ καταγίνεται· ὡς ἔχει τὸ μάχομαί σοι, παλαίω σοι, γυμνάζω σοι, γυμνάζομαί σοι, ἱππάζομαι, ἀνθίσταμαι, μονομαχῶ, παγκρατιάζω. καὶ ὅτι μὲν ἔδει τὰ τοιαῦτα ἐπὶ πλαγίαν φέρεσθαι, πρόδηλον· εἴχετο μὲν τῆς διαβιβαστικῆς διαθέσεως ἐπὶ πρόσωπον ὑποκείμενον, ὡς κατ᾽ ἀρχὰς εἴπομεν, δυνάμενον ὁμολογῆσαι τὴν εἰς αὐτὸ χωρήσασαν διάθεσιν. νοεῖται γοῦν ἐπὶ δύο ἐμψύχων τὸ παλαίειν, τὸ παγκρατιάζειν· ἀλλ᾽ οὖν γε ἡ μεγίστη ἐνέργεια, ἀπαιτητικὰ αἰτιατικὴν, εἰς ἓν μόνον καταγίνεται, τὸ διατίθεσθαι ἐξ εὐθείας· μὴ μέντοι προσδιατιθέναι, ὡς ἔχει τὸ δαίρω σε, τύπτω σε, παίω σε. ὁ γὰρ οὕτως ὁρειζόμενος, οὐχ ὁμολογεῖ τὸ ἀντιπαίεσθαι. οὐ δὴ οὖν τὰ προκείμενα ῥήματα τὸ τοιοῦτον ἐπηγγείλατο. καὶ σαφὲς ὅτι ἕνεκα τούτου οὐδὲ ἐπιδέξεται αἰτιατικήν. ἣν γὰρ εἴχετο μὲν ἡ διάθεσις αὐτὴ, ἐκ τοῦ ἑτέρου προσώπου, τὸ ἀντιπείσεσθαι τὸν παγκρατιάζοντα. τί οὖν εἰς δοτικὴν ἐχώρησεν; ὅτι καὶ ἡ γενικὴ ἐμερίζετο εἰς παθητικὴν διάθεσιν. ἀποστήσεται ἄρα ἀμφοτέρων τῶν πτώσεων ἡ τοιαύτη σύνταξις, καὶ οὐκ ἄλλην ἐπιδέξεται ἢ μόνον τὴν δοτικήν· ἐξ ἧς καὶ ἀνέφικτον τὸ ἀντιπαρειποιοῦ-

Marginal notes: ἢ ὑπέργιαν — σφοδρὰ D. — δευτέρου D. — μόνην οὐκ αἰέφικτον Soph.

γρ. μ. D. περιποιούμενον τῶν διαθέσεων. ἔστι μοναδικὴ μὲν διάθεσις ἡ γυμνάζω σε· ἀντιπεριποιουμένη δὲ ἐκ τοῦ ἴσου, ἡ γυμνάζομαί σοι· ἱππάζω σε· ἐξ ἧς τὸ παθητικόν, ἱππάζομαι ὑπὸ σοῦ. καὶ πάλιν τὸ ἰσ. αὐτῷ παγόμενον, P. αἰτιοπεριποιουμένου ἐκ τοῦ ἴσου D. ἐξ ἴσου ἀναγόμενον, ἱππάζομαί σοι. πλεῖστα καὶ εἰς τὸ τοιοῦτόν ἐστι παραθέσθαι· ἅπερ παραπεμπτέον. οὕτως (οἶμαι) ἔχει καὶ τὸ πείθομαι ὑπὸ σοῦ· καὶ οὐκ ἄλλο τι σημαίνει τὸ πείθομαί σοι, ἢ τὴν ἐξ ἀλλήλων πρὸς ἀλλήλους γινομένην πεισμονήν. Ἔστι καὶ ἐπὶ τρίτου προσώπου, τὸ μέλει καὶ μεταμέλει [δοτικῇ συντασσόμενα· ὡς ἔχει τὸ μέλει] Τρύφωνι· καὶ ἔτι μεταμέλει. ἅπερ παρὰ τὴν τῶν ἄλλων ῥημάτων σύνταξιν ἐξήλλακται (καθὸ πάντα μὲν εὐθεῖα συντάσσονται) μόνῃ, ὡς Θέων ἢ D. περιπατεῖ· ἢ καὶ συντείνει πλαγίᾳ· περὶ ἧς καὶ τὴν σύνταξιν ἐποιησάμεθα. οὐ μὴν τοῖς προκειμένοις τοιοῦτον σύνεστι. μεταμέλει γὰρ Σωκράτει, καὶ ἔτι μέλει· τῆς ὀρθῆς οὐ συνούσης· διὸ καὶ παρασυμβάματα αὐτὰ ἐκάλεσαν οἱ ἀπὸ τῆς στοᾶς· τῶν ἄλλων ῥημάτων κατὰ τὰς συμβαινούσας διαθέσεις, παρ' αὐτοῖς συμβαμάτων προσαγορευομένων, ἢ καὶ ἔτι κατηγορημάτων. καὶ τὸ μὲν ἀπαρτίζον τὴν διάνοιαν, παρασύμβαμα· λέγω δὲ, μέλει Σωκράτει· τὸ δὲ ἐνδέον, ἧττον ἢ π. Soph. ἧττον παρασύμβαμα· λέγω δὴ τὸ μέλει καὶ μεταμέλει· ὅπερ ἐπινοῶ καὶ αὐτὸ τῇ παρυφισταμένῃ κατὰ τοῦ πρ. ἀναδέχεσθαι νοουμένην εὐθεῖαν, τὴν κατὰ τοῦ παρυφισταμένου πράγματος ἐν τῷ μέλει.

sitiuum formari nequeat. Est igitur genus solitarium, γυμνάζω σε: acquisitiuum autem eiusdem generis, γυμνάζομαί σοι: ἱππάζω σε, vnde passiuum ἱππάζομαι ὑπὸ σοῦ: & viceuersa ἱππάζομαί σοι, quod ex pari genere proficiscitur. Possem proferre plurima huiusmodi exempla, quę tamen in præsentia prætermittenda duxi. Tale est (puto) illud etiam, πείθομαι ὑπὸ σοῦ: neq; aliud quidpiam significat πείθομαί σοι, quam mutuum consensum. Est etiam in tertia persona μέλει & μεταμέλει: quæ cum datiuo construuntur: quale est, μέλει Τρύφωνι, & μεταμέλει. quæ diuersam ab aliis verbis constructionem habent. nam alia omnia, aut cum nominatiuo tantum construuntur, vt Θέων περιπατεῖ: aut cum obliquo etiam sociantur; de cuius constructione simul supra egimus. In prædictis autem, nullus eiusmodi rectus est. dicimus enim μεταμέλει & μέλει Σωκράτει, sine nominatiuo. itaque Stoici ea vocarunt παρασυμβάματα, hoc est minus quam dignitates vel congruitates; cum tamen cetera verba in suo quodque genere συμβάματα, hoc est dignitates vel congruitates, appellauerint; vel etiam κατηγορήματα: & quod habet sensum absolutum, παρασύμβαμα: vt μέλει Σωκράτει: quod autem caret absolutione, ἧττον παρασύμβαμα vocauerint, μέλει inquam. quod & ipsum equidem statuo recipere nominatiuum subintellectum de re quæ verbo μέλει est finitima.

Licet autem hoc sic probare. μέλει, omnium concessu, personæ tertię est. dubium vero non est, a prima & secunda eam proficisci, a μέλω (inquã) & μέλεις. quod si datur, vt primæ & secundæ personæ cõstructio, ad tertiam quoque perueniat, suis (inquam) casibus & numeris, vt in hoc verbo, ἐγὼ φροντίζω, σὺ φροντίζεις, ἐκεῖνος φροντίζει: dabitur idem etiam in verbo μέλω. inuenitur certe ἐγὼ μέλω σοι, cum nominatiuo & datiuo: & σὺ μέλεις μοι. Hoc ergo exiget in constructione tertiæ personæ; in illa (inquam) μέλει Σωκράτει, nihil aliud quam rei verbo finitimæ nominatiuũ subintellectum; qui est huiusmodi, μέλει τὸ φιλοσοφεῖν Πλάτωνι, hoc est φροντίδα Πλάτωνι ἐμποιεῖ ἡ φιλοσοφία, *curam affert Platoni philosophia*: μέλει Θέωνι τὸ πλουτεῖν, ὁ πλοῦτος φροντίδα ἐμποιεῖ Θέωνι. Est igitur tenẽdum illud, μέλει Σωκράτει habere nominatiuũ in re subaudita. Causa igitur cur solum μέλει sumatur, est, quod potest quamlibet rem ei accedentem recipere. & iccirco μέλει Θέωνι, suam habere absolutionem videtur; quoniam quælibet res, quæ verbo adiũgi possit, subauditur in vniuersum de quolibet verbo, quod cum ea re iungitur; sicuti diximus verbum μέλει sumi. Ac de constructione verborum cum obliquis, quam nobis explicandam proposueramus, satis dictum. Illud vero minime

παρὸν δὲ τὸν λόγον οὕτω πιστώσασθαι· δίδοται ὅτι τὸ μέλει ῥῆμα τρίτου προσώπου ἐστί· καὶ σαφὲς ὅτι ἐκ πρώτου καὶ δευτέρου γεγεννημένον, λέγω τοῦ μέλω, μέλεις. οὐ δέδοται τὰ τῆς συντάξεως (εἰ δὲ δέδοται) τοῦ πρώτου καὶ δευτέρου, μετεῖναι καὶ ἐπὶ τὸ τρίτον· λέγω κατὰ πτώσεις καὶ τοὺς ἀριθμούς· ὡς ἐπὶ τοῦ ἐγὼ φροντίζω, σὺ φροντίζεις, ἐκεῖνος φροντίζει· δοθήσεται καὶ ἐπὶ τοῦ μέλω. ἔστι γοῦν τὸ ἐγὼ μέλω σοι, ἐν εὐθείᾳ καὶ δοτικῇ· καὶ ἔτι σὺ μέλεις ἐμοί. ὅπερ ἀπαιτήσει κατὰ τὴν σύνταξιν ἐν τρίτῳ, ἐν τῷ, μέλει Σωκράτει, οὐ κατ' ἄλλο τι, ἢ τὸ (οὐκ ἄλλο τι) παρυφιστάμενον πρᾶγμα ἐν εὐθείᾳ νοούμενον. [τοιοῦτο γάρ ἐστι τὸ νοούμενον,] μέλει τὸ φιλοσοφεῖν Πλάτωνι, φροντίδα Πλάτωνι ἐμποιεῖ ἡ φιλοσοφία· μέλει Θέωνι τὸ πλουτεῖν, ὁ πλοῦτος φροντίδα ἐμποιεῖ Θέωνι τοῦ πλουτεῖν. χρὴ οὖν νοεῖν, ὅτι τὸ, μέλει Σωκράτει, ἐν τῷ ὑπακουομένῳ πράγματι τὴν εὐθεῖαν ἔχει. ἔστι γοῦν τὸ αἴτιον τοῦ, τὸ μόνον τὸ μέλει παραλαμβάνεσθαι, (ἴσ. παν D.) τὸ δεκτικὸν αὐτὸ εἶναι παντὸς τοῦ ἐπισυμβαίνοντος πράγματος. διὸ τὸ, μέλει Θέωνι, ἔδοξεν ἐν αὐτοτελείᾳ καθεστάναι· παντὸς τοῦ παρυφισταμένου πράγματος κοινῶς ὑπακουομένου, περὶ παντὸς ἐπισυμβαίνοντος· ὡς ἔφαμεν τὸ μέλει ῥῆμα παραλαμβάνεσθαι. Καὶ τοσαῦτα ἔχομεν φάναι περὶ ἧς προεθέμεθα ἐκθέσθαι συντάξεως τῶν ῥημάτων πρὸς τὰς πλαγίας· ἐκείνου

προδήλου

περὶ δὲ ἤδη καθεστῶτος, ὡς οἱ διάφοροι χρόνοι ἐν τῇ κλίσει, καὶ ἔτι τὰ διάφορα πρόσωπα, καὶ αἱ ὑπόλοιποι ἐγκλίσεις, τῆς αὐτῆς συντάξεως ἔχονται). τὸ [τε] γὰρ τέμνοιμι, εὐκτικὸν ὄν, πάλιν ἐπ' αἰτιατικὴν φέρεται· κἂν προστακτικὸν ᾖ, κἂν ἀπαρέμφατον, κἂν ὑποτακτικόν· κἂν παρῳχημένου χρόνου, κἂν μέλλοντος· λέγω κατὰ τὰς ἐνεργητικὰς διαθέσεις. ἔστι καὶ εἰς τοῦτο πάμπολλα παραθέσθαι. ἀλλ' οὐδὲ αἱ μετοχαὶ τὸ τοιοῦτον ἀποκλίνουσι, κἂν ἀποβάλωσι τὸν τῶν προσώπων μερισμόν, τάς τε παρεπομένας ψυχικὰς διαθέσεις τοῖς ῥήμασιν. ὡς γὰρ προείπομεν, ἐπὶ τὰς αὐτὰς πτώσεις φέρονται· καίτοι τῶν ἄλλων πτωτικῶν, λέγω δὲ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. ἔστι μὲν γὰρ τὸ κόπτω τοῦτον, οὐ μὴν τὸ κοπεὺς τοῦτον, κοπεὺς δὲ τούτου· [καὶ αὐλῶ μὲν τοῦτον, αὐλητὴς δὲ τούτου· γυμνάζω τοῦτον, γυμναστὴς δὲ τούτου.] δι' οὗ δείκνυται ὅτι πάντα μὲν ἐπὶ γενικὴν φέρεται τὰ πτωτικά, οὐ μὴν τὰ ἐν μετοχῇ γινόμενα. συντάξεως γὰρ τῆς αὐτῆς ἔχεται τοῖς ῥήμασι· καὶ διὰ τοῦτο συνέχεται τοῦ, ἔτι ῥήματος μετέχειν ἰδιότητος. γυμνάζων γὰρ τοῦτον, καὶ αὐλῶν τοῦτον. τὸν τοιοῦτον λόγον ἀκριβέστερον ἐξεθέμεθα ἐν τῷ Περὶ μετοχῆς ὑπαγορευομένῳ.

obſcurum eſt, diuerſa tempora inclinata, diuerſas perſonas, & diuerſos modos, eādem ſequi conſtructionem. nam τέμνοιμι, quamquam ſit optatiuum; tamen cum accuſatiuo etiam ipſum conſtruitur. idem faciet, ſi fuerit imperatiuum, aut ſubiunctiuum, aut infinitum. Eadem erit ratio diuerſorum temporum; ſiue fuerit verbum præteriti, ſiue futuri, in actiuo (inquam) genere. Perplura huius etiam rei exempla poſſunt afferri. Quin participia quoque hanc rationem nō recuſant; quamquam distinctione perſonarū & modis carent. cum iiſdem enim caſibus (vt antea iā diximus) conſtruuntur: quamquam alia caſualia, quæ a verbis (inquam) deriuantur, non eandem ſui verbi retinent conſtructionem. nam inuenitur κόπτω τοῦτον, at non ita κοπεὺς τοῦτον, ſed κοπεὺς τούτου. & αὐλῶ τοῦτον, ſed αὐλητὴς τούτου. γυμνάζω τοῦτον, ſed γυμναστὴς τούτου. Hinc planū fit, omnia caſualia ferri ad genitiuum; excepto participio, quod ſui verbi conſtructionem ſequitur: atque ideo ſequitur ſimul verbi proprietatem. dicimus enim γυμνάζων τοῦτον, & αὐλῶν τοῦτον. Sed hanc totam rationem accuratius expoſuimus in libro cui eſt inſcriptio De participio.

APOLLONII ALEXANDRINI DE *constructione Liber quartus, qui est De præpositionibus & aduerbiis.*

1. Præpositiones non suo loco positas ad alias orationis partes, recte mutare tenorem.

SVPERIORE libro, qui est tertius totius huius disputationis, absoluimus verborum constructiones. Iam ad constructiones præpositionum veniendum est; quæ demonstrationem quam accuratissimam postulant: quoniam hæ particulæ in nonnullis partibus orationis, speciem compositionis, in aliis speciem appositionis præbent: quamquam interdum tenorum proprietate non adiuuantur: sicuti facit orationis partium maxima pars; quæ vnico tenore, vnicam esse dictionem, & vnam orationis partem, indicat; gemino vero vnicuique parti attributo, duas demonstrat esse dictiones. nam Διὸς κόρος, si tenorem habeat in penultima, habebit genitiuũ seorsum intellectum, & erit idem ac Διὸς υἱός: at si tenorẽ habeat in antepenultima, erit simile istis Διόγνητος, Διόδοτος. preterea οὖ νοῶ, si duos habeat circumflexus, aduerbii & verbi appositionem fatetur: & Ἕλλης πόντος, si acutum habeat in prima syllaba; &

ΑΠΟΛΛΩΝΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ βιβλίον τέταρτον, τὸ περὶ τῶν προθέσεων καὶ ἐπιρρημάτων.

α΄. Ὅτι παρὰ τὰ ἄλλα μέρη, παρὰ τάξιν τιθεῖσαι αἱ προθέσεις, δεόντως μετατιθέασι τὸν τόνον.

ΜΕΤΑ τὰς τῶν ῥημάτων συντάξεις, ἃς ἐν τῷ πρὸ τούτου ἀνεπληρώσαμεν, ὄντι τρίτῳ τῆς ὅλης πραγματείας, μέτιμεν. ἐπὶ τὰς τῶν προθέσεων συντάξεις, δεομένας ἀποδείξεως πάνυ ἀκριβεστάτης· καθὸ δοκεῖ τὰ μόρια, οἷς μὲν μέρεσι τοῦ λόγου, δόκησιν παρέχειν συνθέσεως· οἷς δέ, παραθέσεως· ἔσθ' ὅτε οὐ βοηθούμενα τόνων ἰδιώμασι· καθάπερ τὰ πλεῖστα τῶν μερῶν τοῦ λόγου, διὰ τῆς ἑνώσεως τοῦ τόνου, τὸ μοναδικὸν τῆς λέξεως ὑπαγορεύει, τουτέστι, τὸ ἓν μέρος λόγου εἶναι. ἢ διὰ τῆς μονῆς τοῦ τόνου τῆς καθ' ἕκαστον μόριον, τὸ δισσὸν ἐμφαίνει τῶν λέξεων. τὸ γὰρ Διὸς κόρος, παροξυνόμενον μέν, τὴν γενικὴν ἰδίᾳ νοουμένην ἔχει, ὅμοιον ὂν τῷ Διὸς υἱός· προπαροξυνόμενον δέ, ὅμοιόν ἐστι τῷ Διόγνητος, Διόδοτος. τό τε οὖ νοῶ, δύο ἔχον περισπωμένας, ὁμολογεῖ τὴν ἐξ ἐπιρρήματος καὶ ῥήματος παράθεσιν· καὶ τὸ Ἕλλης πόντος, κατὰ τὴν ἀρχὴν ἔχον τὴν ὀξεῖαν, καὶ

ἴσ. προπαροξυνόμενον

τὸ ἐμοῦ

τὸ ἐμοῦ αὐτοῦ, εἰ δὶς ἔχοι τὴν περισπωμένην. Ταῦτα γὰρ, καὶ τὰ τούτοις ὅμοια, ἄπειρα ὄντα, συνελθόντα μὲν κατὰ τὸν λόγον τῆς συνθέσεως, ἕξει καὶ τὸν τόνον συνηρτημένον· οὐχ οὕτω δὲ ἔχοντα, καὶ τὰ τοῦ τόνου ἕξει ἀσυνέλευστα. καθάπερ δὲ εἴπομεν ἐν τῇ καθ' ἕκαστον μόριον μονῇ τοῦ τόνου, τὸ κατὰ παράθεσιν ὁμολογεῖ. Τὸ δὲ καταγράφω, εἴτε δύο μέρη λόγου εἰσὶν, εἴτε ἕν, οὐκ ἐνδείκνυται διὰ τῆς τάσεως. Καὶ τὰ τούτοις ὅμοια, τὸ ἀποίκου, καταφέροντος, ἅπαντα τὰ τοιαῦτα, τῆς αὐτῆς ἔχεται ἀμφιβολίας, ἀποψέ, ἀπόδις· καὶ ἐπὶ τῶν συνδέσμων, καθότι, διότι· δεδείξεται γὰρ ὅτι ἔγκεινται αἱ προθέσεις· ἄλλα πλεῖστα. Ὑπὲρ ὧν τῆς ἀκριβείας προθυμούμεθα ἐκθέσθαι. Καὶ ὑπὲρ ἐνίων μορίων· ἀλλ' ἤδη οὐκ ἔνεστιν ὑπὲρ τῶν τοιούτων μορίων ἐπιστῆσαι, μήτε

ἰσ. ὄντων κατὰ παράθεσιν προθετικῶν ὄντων, μήτε κατὰ σύνθεσιν· ὡς ἐπ' ἀντωνυμιῶν τῶν τῆς εὐθείας ἁπασῶν· ὧν καὶ τὸ αἴτιον τῆς ἀσυνταξίας, παραθησόμεθα κατὰ τὸν προσήκοντα λόγον. Πρὸ μέντοι τῆς κατὰ μέρος αὐτῶν συντάξεως, οὐκ ἄχαρι ἔγωγε ὑπολαμβάνω, ἐκθέσθαι περὶ τῶν ἠπορημένων ἐν τοῖς μορίοις. οὐ γάρ (φασι) δεόντως τὰ τοῦ τόνου ἀμείβεται εἰς ὀξεῖαν τά-

ἐπεὶ τὰ σιν, ἐπὶ τῇ τῆς συντάξεως ἐναλλαγῇ, τουτέστιν, ἐπειδὴ, προθέσεις οὖσαι,

κατ' μὴ ἀναδέξωνται τὸ προκεῖσθαι, καὶ τὰ

ἐμοῦ αὐτοῦ, ſi duos habeat circumflexus. Hæc enim & eorũ ſimilia, quæ infinita ſunt, ſi coeãt in vnum, ſicuti compoſitionis ratio poſtulat, habebunt etiam tenorem in vnum connexum: ſi non coeant, tenores etiam habebunt ſeiunctos. Sed cũ in vnaquaque orationis parte tenor (ſicut diximus) remaneat, tum appoſitionem præ ſe ferunt. At καταγράφω, vna ſit orationis pars, an duæ, vnico tenore non indicat: & iis ſimilia, ἀποίκου, καταφέροντος, omnia huiuſmodi in eandem dubitationem incidunt: ἀποψέ, ἀπόδις: & in coniunctionibus, καθότι, διότι: (nam demonſtrabimus, præpoſitiones cõtineri iis particulis) alia deniq; plurima; de quorum exquiſita ratione explicanda iam ſtatuimus, atque etiam de nonnullis aliis particulis. quamquam de his particulis quærendũ iam non eſt, quæ neq; per appoſitionem, neq; per compoſitionem præponuntur, ſicut in nominatiuo omnium pronominum. Sed cauſam, cur iſtæ particulæ nõ ita aut componantur, aut apponantur, ſuo aperiemus loco: iam vero, antequã ad ſingulas conſtructiones præpoſitionum veniam, non alienũ eſſe exiſtimo, ſi, quæ dubitantur in iis particulis, expoſuero. Negant enim nonnulli, tenorẽ præpoſitionum recte mutari in acutum, cum mutatur cõſtructio: hoc eſt, dum, præpoſitiones cũ ſint, tamen in conſtructione non

præponuntur. nam ceteræ partes orationis, mutato ordine, tamen nõ mutant continuo tenorem. adde, quod inuersio non omnibus æque accidit: siquidem nõ omnes mutato ordine, tenorem simul mutãt. præterea, cur potius hæ mutant locum, quam eæ partes quæ sequũtur eas? nam illud, ἔπλυσε πολὺ κάτα, exigit lectionem illam congruam κατέπλυσεν: in quo non magis præpositio, quam verbũ, mutat locum: item illud, Ἰθάκην κάτα κοιρανέουσι, &c alia eiusdem generis. Ceterum ad istam quæstionem simplex est responsio: dubium nõ est (sicuti iam superius demonstrauimus) has particulas, de quibus agitur, pro, ter præcipuam constructionem, qua videlicet præponuntur, nomen inuenisse. quas propterea προθετικοὺς συνδέσμους Stoici appellabãt. iudicarunt enim se rectius facturos, si nomen ex præcipua constructione potius imposuissent, quã ex earum vi & potestate; sicut coniunctiones habent continuatiuæ, copulatiuæ, ac reliquæ. Porro ceteræ partes orationis nõ sunt nactæ præcipuam constructionem, in qua, quod esset trãspositum, indicaret transpositionem: quæ certe vnicam positionem sortitæ sunt, sedem non mutant, vt ancipitem vim & naturam obtineant; sicut in coniunctionibus ἤτοι coniunctio semper præponitur,

Od. α.

τῆς συντάξεως. οὐ γὰρ δὴ τὰ ἄλλα μέρη τοῦ λόγου, ἀμείψαντα τὴν τάξιν, ἀμείβει καὶ τὴν τάσιν, πρὸς τὸ μὴ διεξωμαλίσθαι τὰ τῆς ἀναστροφῆς· εἴ γε οὐχ ἅπασαι [μεταλεχθεῖσαι τῆς τάξεως, μετατίθενται καὶ τοῦ τόνου. τί δὲ μᾶλλον αὗταί εἰσιν αἱ] μετατιθέμεναι, ἤπερ τὰ μόρια πρὸς αὐτὰς ἤρτηντο; τὸ γὰρ ἔπλυσε πολὺ κάτα, ἀπαιτεῖ τὸ κατέπλυσεν ἐν καταλληλότητι. καὶ οὐ μᾶλλον ἡ πρόθεσις μετατίθεται, ἤπερ τὸ ῥῆμα, Ἰθάκην κάτα κοιρανέουσι [καὶ] τὰ τούτοις ὅμοια. Καὶ πρὸς μὲν τὸ τοιοῦτον ἁπλῆ ἡ ἀπόλυσις· ὡς ἤδη ὁμόλογόν ἐστι· καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἀπεδείξαμεν, ὡς τὰ προκείμενα μόρια διὰ τῆς ἐξαιρέτου συντάξεως, λέγω τῆς προθετικῆς, τὴν ὀνομασίαν ἀπηνέγκατο. ἔνθεν γὰρ καὶ οἱ ἀπὸ τῆς στοᾶς, προθετικοὺς ἐκάλουν συνδέσμους τὰς προθέσεις· ἄμεινον ἡγησάμενοι ἀπὸ τῆς ἐξαιρέτου συντάξεως τὴν ὀνομασίαν θέσθαι, ἤπερ ἀπὸ τῆς δυνάμεως· καθάπερ οἵ τε συναπτικοί, καὶ συμπλεκτικοί, καὶ οἱ ὑπόλοιποι. οὐ δὴ οὖν τὰ ἄλλα μέρη τοῦ λόγου, ἐξαιρέτου συντάξεως ἔτυχεν, ἵνα πρὸς τὸ καταπιθέμενον κατηγορῇ καὶ τῆς μεταθέσεως. τὰ γοῦν θέσιν εἰληχότα μοναδικὴν, οὐδὲ μετατίθεται τῆς τάξεως, ἵνα καὶ τῆς ἀμφιβολίας ἐπικοινωνήσῃ· ὡς ἐπὶ συνδέσμων μὲν, ὁ ἤτοι, προτακτικὸς,

ἴσ. τὸ μὴ διεξομαλίσαι

ἤπερ τὰ μόρια ἃ πρ. ας Soph. ἤπερ ἃ μ

ἴσ. τὸ μεταπιθέμενον

καὶ οὔποτε ὑποτακτικός· ἐπεὶ δὲ ῥημάτων, τὰ καλούμενα ὑποτακτικὰ ῥήματα, οὔποτε χωρὶς ὑποταγῆς ἐστι, τῆς τάξεως τῶν ἐπιζευκτικῶν συνδέσμων. ἀλλ' οὐδὲ αἱ καλούμεναι ἐγκλιτικαὶ ἀντωνυμίαι, δίχα μορίων λέγονται τῶν πρὸς ἃ ἐγκεκλιμέναι εἰσί, τίμησόν με, δός μοι. οὐδὲ γὰρ παραδεκτέος ἐκεῖνος ὁ λόγος, ὁ εἰρημένος ἐν τῷ Περὶ ἄρθρων Τρύφωνος, ὡς τὰ ὑποτακτικά ποτε ἄρθρα προτακτικὰ γίνονται, ὡς ἐν τῷ, ὃς ἂν ἔλθῃ, μεινάτω με. τίνος γὰρ πτωτικοῦ προετάγη; † πῶς δέ γε ὑποτακτικὸν τὸ τοιοῦτον ἄρθρον, οὐχ ἂν ἁπλοῦν τὸ προκείμενον ὄνομα, τοὐναντίον δὲ ἀοριστούμενον κατ' ἀρχὴν τῶν λόγων; οὐ μὴν μόνον, ἀλλ' οὐδὲ ἐν πτωτικῷ τὸ ὅστις. ἐχρῆν γὰρ καὶ τῶν ἄλλων πτωτικῶν καὶ μὴ ἀοριστουμένων, ἐν οἷς καὶ αὐτὸ συναοριστοῦται πλέον τοῦ τίς· ὅπερ ἐναντιώτατόν ἐστι τῶν ἄρθρων. τὰ γὰρ ἀοριστωδῶς ποτε νοούμενα, ἡ τοῦ ἄρθρου παράθεσις ὑπὸ ὁρισμὸν τοῦ προσώπου ἄγει· ὁ ἄνθρωπος παρεγένετο, τὸν ποιητὴν ἐθαύμασα. αἱ οὖν προθέσεις, οὐ κατάρξασαι τῶν λέξεων, ὁμόλογον ἔχουσι τὴν μετάθεσιν [κτ'] τὰ δευτερεύοντα, ἢ μετατιθέμενα [κτ'] τὴν ἀρχήν. πάλιν γὰρ αὗται, δεύτεραι γινόμεναι, καὶ τῆς δευτέρας τάξεως στερούμεναι, ὁμολογοῦσι μετατεθεῖσθαι.

numquam subiicitur: in verbis cõtra, subiunctiua numquam nisi subiecta coniunctionibus quæ dicuntur ἐπιζευκτικοί, reperiuntur. Pronomina etiam quę enclitica vocantur, non proferuntur sine iis partibus orationis in quas inclinantur: τίμησόν με, δός μοι. nam non est audiendus Trypho, qui dixit in libro De articulis, subiũctiuos articulos interdum fieri præpositiuos; vt in illo, ὃς ἂν ἔλθῃ, μεινάτω με. cui enim casuali præponitur articulus ille ὅς? aut quî subiunctiuus fuerit eiusmodi articulus simplex sine antecedente nomine, contra vero infinite positus in principio orationis: immo non modo solus, sed etiam coniunctus cum casuali τις, ὅστις, poterit esse subiũctiuus. ita enim oporteret eum pręponi ceteris etiã casualibus, quæ non sunt infinita adde quod ipse articulus ὅς, est magis infinitus quam nomẽ τις: hæc autẽ vis infiniti, est maxime contraria articulis: immo quę infinite accipiuntur, iis si apponatur articulus, facit vt persona definiatur; ὁ ἄνθρωπος παρεγένετο, τὸν ποιητὴν ἐθαύμασα. Quare præpositiones, nisi prępon antur dictionibus, transpositionem præ se ferunt in constructione earum partium quæ aut in media sunt oratione, aut in principio transponuntur. nã postpositæ, & suo ordine priuatæ, fatentur se esse trãspositas.

2, Præpositiones mutare sedem, non eas partes quibuscumque sunt coniunctæ.

Ridiculū ergo est (vt mea fert opinio) quærere vtrum istæ transponātur, an partes quæ eas subsequūtur. Dicendum etiam est de tenore, qui in præpositionibus mutatur, in aliis quoque partibus orationis esse quædam eximia accidentia, quæ non conueniunt cum aliis, atque ita dubitationem afferunt. Hoc licet videre in particulis encliticis, & in nominibus interrogatiuis, quæ grauantur; & in infinitis, quæ acuūtur. Ergo non fuerit inconcinnum, si præpositio etiam duos habeat tenores: id quod est cōmune etiam pronominibus; quæ inclinata, grauantur; nō inclinata, rectum tenorem habent. ἡ positum in principio, & in media oratione, cū expletiuum est, circūflectitur: ἡ in principio orationis circumflexum: at non ita in media constructione; vt in illo, *τὴν δὲ σὺ νόσφιν ἀπ᾽ ἄλλων· ὅτι ἢ κάλλιον ἢ κατὰ Ξαίθιππον*. Afferrem alias quoque partes orationis, nisi existimarem hæc exempla sufficere. Sed fortasse recte, & non sine ratione, duplex tenor præpositionibus accidit. nā ceteræ partes orationis vnicam habent constructionem, quam sequuntur; vt aduerbia; quæ, etsi plures aliæ orationis partes interiectæ fuerint, tamē sequuntur verba; articuli, casualia; nomina vero, verba, quibuscum iungūtur. Quinetiam ipsa verba recurrunt

β´, Ὅτι αὗταί εἰσιν αἱ μετατιθέμεναι, καὶ οὐ τὰ συνηρτημένα πρὸς αὐτάς.

Γελοῖον οὖν μοι δοκεῖ τὸ ζητεῖν, πότερον αὗταί εἰσιν αἱ μετατιθέμεναι, ἢ τὰ ταύτῃ δευτερεύοντα μόρια. ἔστι δὲ καὶ περὶ τῆς ἀμειβομένης τάσεως κατὰ ταύτας φάναι, † ὡς ἐν ἄλλοις μέρεσι τοῦ λόγου ἐξαίρετά τινα παρέπεται· ἃ οὐ πάντως συμφερόμενα τοῖς ἄλλοις, ἀπορίαν καταστήσεται. ὥς γε ἔστιν ἐπινοῆσαι ἐπὶ τῶν ἐγκλιτικῶν μορίων· καὶ ἔτι ἐπὶ τῶν πυσματικῶν, κατὰ βαρεῖαν τάσιν· καὶ τῶν ἀορίστων, κατ᾽ ὀξεῖαν. οὐ δὴ οὖν ἀπᾷδον τὸ τὴν πρόθεσιν διχοτονεῖν· ὅπερ ἐπικοινωνεῖ καὶ ἀντωνυμίαις, ἐγκλινομέναις καὶ ὀρθοτονουμέναις. τὸ ἡ, ἐν ἀρχῇ τιθέμενον, καὶ ἐν μέσῃ λέξει, καθὸ παραλαμβάνεται παραπληρωματικῶς· τὸ ἡ περισπώμενον μὲν κατ᾽ ἀρχὴν τῶν λόγων, οὐ μὴν κατὰ τὰς ὑποτακτικὰς συντάξεις, ὡς ἐν τῷ, τὴν δὲ σὺ νόσφιν ἀπ᾽ ἄλλων· ὅτι ἢ κάλλιον, ἢ κατὰ Ξαίθιππον. ἔστι καὶ ἄλλα ἐπινοῆσαι μόρια. Μήποτε δὲ καὶ δεόντως τὸ διπλοῦν τοῦ τόνου παρέπεται. τὰ μὲν γὰρ ἄλλα μέρη τοῦ λόγου, μίαν ἔχει σύνταξιν, ἐφ᾽ ἣν καὶ φέρεται· ὡς τὰ ἐπιρρήματα ἔπεισι τοῖς ῥήμασι, κἂν μεταξὺ μέρη λόγου πλείονα πίπτῃ· τὰ δὲ ἄρθρα, ὡς τὰ πτωτικά· τά τε ὀνόματα, ἐπὶ τὰ συνόντα τῶν ῥημάτων· καὶ αὐτῶν τῶν ῥημάτων ὑποστροφὴν ποιουμένων, ὡς πρὸς

Margin: ἴσ. ταύταις · διὸ νῦν · ἴπτῃ · ἴσ. εἰς D.

ὡς πρὸς τὰ ὀνόματα, ἢ πρὸς τὰ ἀντωνυμικά· ἅπερ πάλιν ἀντὶ ὀνομάτων παραλαμβάνονται)· αἱ μέντοι προθέσεις, δύο συντάξεις ἀναδεξάμεναι, τήν τε πρὸς τὰ ὀνόματα, καὶ ἔτι πρὸς τὰ ῥήματα, δεόντως παρεδέξαντο) καὶ τὸ ἐναλλασσόμενον τοῦ τόνου· ὅπερ ὑποστρεφόμενον διὰ τῆς τάσεως, συσσημαίνει καὶ τὸ ἀναβιβαζόμενον τῆς προθέσεως ἐπὶ τὴν δέουσαν σύνταξιν τῆς προθέσεως. τὸ γὰρ, Ἰθάκην κάτα κοιρανέουσι, διὰ τοῦ ἀρχικοῦ τόνου, λέγω τῆς ἀναστροφῆς, συσσημαίνει καὶ τὸ ἀναβιβαζόμενον τῆς προθέσεως· οὐχ οὕτω δὲ [ἔχον,] σύνταξιν τὴν ἐπὶ [τὸ] ῥῆμα παραδέχεται). καὶ ἕνεκα τούτου εὐπαράδεκτος καὶ ἡ δισσὴ τάσις τῶν προθέσεων. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ, εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν· Καὶ γὰρ ὅτε πρόπεσον ἐμοῖς ἔπι δέλτον ἔθηκε γούνασι. καὶ ἔτι ἐν ὀνόμασι· μάχῃ ἔνι κυδιανείρῃ· ποταμῷ ἔπι δινήεντι· ποταμοῦ ἄπο Σελλήεντος· ὑπὲρ ὧν καὶ τὰς διαφορὰς κατὰ τὸ δέον ἐκθησόμεθα· ἐν ᾧ καὶ παραστησόμεν τοὺς τρόπους τῶν ἀναστρεφομένων, καὶ τῶν μὴ οὕτως ἐχουσῶν. τὸ γὰρ νῦν προκείμενον ἡμῖν ἐστι παραστῆσαι, ὡς ἀναγκαίως οἱ στοιχειώσαντες ἐπενόησαν τὴν ἐπ᾽ αὐταῖς γινομένην δισσὴν τάσιν· ὁμολόγως καὶ τῶν φωνῶν παρενθετισμένων εἰς τὸν προκείμενον λόγον. εἴγε ἁπάσαις παρεπόμενόν ἐστι τὸ ὀξύνεσθαι, τῶν ἄλλων μερῶν τοῦ λόγου ποικιλωτέρων ὄντων. οὐ γὰρ τὸ μεταπίπτον

γρ. στοιχοῦνται

vel ad nomina, vel ad pronomina, quæ ꝓ nominibus accipiũtur. At præpositiones, quæ duas constructiones recoperũt, alteram cum nominibus, alteram cum verbis, recte admittẽt mutationem tenoris; qui recurrens, consignificat præpositionem redire ad iustam præpositionis constructionem. nam Ἰθάκην κάτα κοιρανέουσι, tenore illo, inuersionis inquam, qui est in prima syllaba, præpositionẽ simul reiectam cõsignificat: qui si in vltima sit syllaba, præpositio cum verbo construetur. Hanc igitur ob caussam duplex præpositionum tenor facile admittitur. Eadem est illius ratio; εὗρε δὲ Πατρόκλῳ περὶ κείμενον ὃν φίλον υἱόν: & ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα: & præterea in nominibus, μάχῃ ἔνι κυδιανείρῃ: & Ξάνθῳ ἔπι δινήεντι: & ποταμοῦ ἄπο Σελλήεντος. de quorum discrimine, suo loco exponemus: vbi simul declarabimus modos præpositionum quæ inuertuntur, & earum quæ non inuertũtur. nam in præsentia illud est nobis propositum, demõstrare videlicet, eos qui literarum elementa tradũt, necessario duplicem præpositionum tenorem inuenisse; præsertim cum voces omnium consensu sint compositæ, accommodatæq; ad præsentem disputationem: siquidẽ omnibus accidit præpositionibus vt acuãtur; cum ceteræ orationis partes sint variæ: in quibus nõ ita com-

Od. α. Il. τ. Βατραχ. 214. Il. ν. Il. ο. Il. β.

mode tenoris mutatio tractari potest, vt facit in præpositionibus, quibus hæc ratio accidit. itaque cum producuntur, acutum in fine attrahunt; sicuti facit ἐνὶ, & προτὶ: eaque de causa censet Aristophanes particulas has nō grauari in Æolum sermone; ne proprietatem præpositionis, inuersionem inquam, amittant. nam si grauarentur, fieret vt retractæ a verbi vel nominis constructione, tenoris mutationē quærerent, ob eas rationes quas supra memorauimus. atque ecirco breues sunt in prima & extrema syllaba. tēpus enim breue, tenore mutato, facile mutatur: itaque lingua Æolica, quæ tenores extremos mutare solet, eos plerumque mutat in syllabis breuibus: quæ si productæ fuerint, deficiunt etiam mutatione; vt καταὶ, ὑπαὶ, & aliæ id genus. Sed non omnes inuertūtur; quoniā ne pronomina quidem omnia & inclinantur, & rectum tenorem habent; sed hoc plerumque eis accidit: neque omnia nomina interrogatiua, aliaque plurima, graui tenore æquabiliter pronuntiantur. Cum igitur præpositiones ceteris orationis partibus præponantur, hoc faciunt vel per compositionem, vel per appositionem.

τῆς τάσεως, εἰς τὸν αὐτὸν ἀναβιβασμὸν ὑπῆρχεν· ὅς γε καὶ παρηκολούθει τῇ προθέσει. διὰ τοῦτο καὶ ἐπεκτεινόμεναι συνελκύουσι κατὰ τὸ τέλος τὴν ὀξεῖαν· (συνέλκουσι) ὡς ἔχει ἡ ἐνὶ, καὶ ἡ προτί. διὰ τοῦτο οὐδὲ οἱ περὶ τὸν Ἀριστοφάνην ἠξίωσαν βαρύνεσθαι τὰ μόρια κατὰ τὴν Αἰολίδα διάλεκτον· ἵνα μὴ τὸ ἴδιον τῆς προθέσεως ἀποστήσωσι, λέγω τὴν ἀναστροφήν. εἰ γὰρ ἐβαρύνθησαν, ἀνθελκόμεναι ὑπὸ τῆς τοῦ ῥήματος συντάξεως ἢ τοῦ ὀνόματος, ἐζήτησαν τὸ ἀμεῖψαι τὸν τόνον, καθ' ἃς εἴπομεν αἰτίας. διὰ τοῦτο καὶ κατ' ἀρχὴν καὶ κατὰ τέλος βραχεῖαι. ὁ γὰρ βραχὺς χρόνος, εὐμετάθετος κατὰ τάξιν· ὅπου [illegible] γε καὶ ἡ Αἰολὶς, μεταπιθεῖσα τοὺς τόνους τοὺς κατὰ τὸ τέλος, εἰς βραχείας συλλαβὰς μετατίθησι κατὰ τὸ πλέον. πλεονάσασαι δ' ἐν χρόνῳ, ἐλλείπουσι καὶ τῇ ἀναστροφῇ· ὡς ἡ καταὶ, ὑπαὶ, καὶ αἱ τοιαῦται. Ἀλλ' οὐ πᾶσαι ἀναστρέφονται. οὐδὲ γὰρ πᾶσα ἀντωνυμία καὶ ἐγκλίνεται καὶ ὀρθοτονεῖται· ἀλλ' ἐπὶ τὸ πλέον ταύταις παρέπεται· οὐδὲ πάντα τὰ πύσματα βαρείᾳ ἐπιτάσει, ἀλλ' οὐδὲ ἄλλα πλεῖστα ἐξωμάλισται. προτιθέμεναι δὴ τῶν τοῦ λόγου μερῶν, ἢ κατὰ σύνθεσίν εἰσιν, ἢ κατὰ παράθεσιν.

γ', Ἕνεκεν

γʹ, Ἐναντίως ἐν ταῖς εὐθείαις καὶ κλητικαῖς, οὐ κατὰ παράθεσιν, κατὰ δὲ σύνθεσιν.

Ἐν μὲν οὖν ταῖς εὐθείαις τῶν πτωτικῶν, καὶ ἔτι τῶν συνυπαρχούσαις κλητικαῖς, οὐκ ἔστι τὴν παράθεσιν [τῶν προθέσεων] ἐπινοῆσαι. πρόδηλον γὰρ ὅτι τὸ σύνοικος, ἐπίκουρος, σύνδουλος, ὑπόδουλος, πάροικος, μέτοικος, ἔκδηλος, ἀνάδρομος, περίοπτος, περιφόρητος, † σύνθεσιν ἀνεδέξατο· οὐ μὴν διὰ τὸν ἀναδραμόντα τόνον κατὰ σύνθεσιν· ἐπεὶ καὶ τινά γε συνεφύλαξε τὴν αὐτὴν τάσιν ὡς ἔχει τὸ περικλυτός, ἀναδρομή, συνοχή, καταμονή, ἄλλα πλεῖστα· καὶ οὐ μόνον τῇ τοῦ τόνου τάξει ἀπολύεται τὰ τῆς συνθέσεως, ἀλλὰ κἀκ τοῦ συνυπάρχειν κατὰ πάντα σχηματισμὸν τὴν πρόθεσιν. ὅπερ οὐ παρεπόμενόν ἐστι ταῖς ἐκ παραθέσεως, [ὡς] τὸ, κατὰ Κτησιφῶντος, ὑπὲρ Ἀριστάρχου· οὐ συμφερόμενα κατὰ πάσας πτώσεις, διὰ τὴν αὐτῆς σύνταξιν. τά γε μὴν προειρημένα κατὰ τὴν εὐθεῖαν, κατὰ πάσας πτώσεις σύνεστιν. ἀλλὰ μὴν ἔτι κἀκ τῆς τοῦ ἄρθρου παραθέσεως. προϋπαρχούσῃ γὰρ τῇ προθέσει κατὰ παράθεσιν, παραχωρεῖ τῆς προθέσεως, μετιὸν ἐφ᾽ ὃ συνήρτηται. οὐ μὴν ἡ σύνθεσις· ἤ εἴ γε μέρος ὀνόματος γινομένη, ἕξει προκείμενον τὸ καλούμενον προτακτικὸν ἄρθρον τῶν ὀνομάτων. καὶ τοῦ μὲν προτέρου παραδείγματα, κατὰ Κτησιφῶντος, κατὰ τοῦ Κτησιφῶντος·

πάσι

τῶν ἄρθρων

ἰσ. ἡ

ἰσ. τῶν

σύνθεσις ἡ εἰ

γενομ. D.

3, *Cur in nominatiuis & vocatiuis non per appositionem, sed per compositionem praeponantur.*

In nominatiuis igitur casualium, & eorum vocatiuis, non inuenitur praepositionū appositio. patet enim σύνοικος, ἐπίκουρος, σύνδουλος, ὑπόδουλος, πάροικος, μέτοικος, ἔκδηλος, ἀνάδρομος, περίοπτος, περιφόρητος, compositionē recepisse; sed non propter tenorem, qui in eorum compositione recurrit: quandoquidem nonnulla eundem tenorem retinēt; vt illud, περικλυτὸς, ἀναδρομὴ, συνοχὴ, καταμονὴ, alia plurima. itaque compositio nō solum ordine tenoris *eximitur, sed etiam eo quod praepositio in casibus & numeris omnibus consetuatur: quod non solet accidere praepositionib' quae apponūtur; vt in illis, κατὰ Κτησιφῶντος, ὑπὲρ Ἀριστάρχου. in his enim praepositio non conuenit omnibus casibus, si eadē constructio retineatur: superiora vero exempla recti casus, habent praepositionem in omni casu compositam. Pretetea, compositio discernitur articuli appositione. nā si praepositio praecedat per appositionem, articulus cedit praepositioni; & eam partem sequitur qua cum coniungitur. hoc non facit composita praepositio. nam iuncta cum aliqua parte orationis, habebit antecedentem articulum, qui solet nominibus praeponi. ac prioris generis exempla sunt illa; κατὰ Κτησιφῶντος, κατὰ τοῦ Κτησιφῶντος:

f. discernitur, seruetur,

περὶ σφαῖν, περὶ τῆ σφαῖν: posterioris generis, illa; ὁ περίκλυτος, ὁ σύνδουλος, ὁ μέτοικος. atque iccirco ea etiam quæ cadunt in ambiguitatem, ambigua esse desinunt articulo assumpto. etenim intererit inter hæc, παρὰ τοῦ νόμου, παρὰ τοῦ φέροντος: & illa, τοῦ παραφέροντος, τοῦ παρανόμου: de quibus etiã alio loco tractauimus accuratius. itaque vna pars orationis erit, προπροκυλινδόμενος,

Il. χ. Il. ρ. & ὑποπτήσσοντες: & κατ' in illo, λέων κατ' ταῦρον ἐδηδώς, pars dictionis fuerit potius, quã orationis: siquidem partes orationis dicuntur dissidere, cum appositas, non compositas habẽt præpositiones: quæ ratio alio etiam loco demonstrabitur.

Il. τ. Neque vero in illo, γέλασσε δὲ πᾶσα περὶ χθών, περὶ est apposita vt præpositio, sed vt aduerbium περιξ: aut certe est trãsposita, & debet iungi cũ verbo; vt sit περιγέλασσε, i. *valde illustrata est*. nam cõpositionis rationem partim tenor reiicit, qui ad penultimam ab vltima syllaba translatus non est, vt in αὐτόχθων: partim notio significati. remanet enim adhuc nomẽ fœmineum. at compositio mutandi generis vim habet: nam in illis, αὐτόχθων, & ἐνοσίχθων, non intelligitur *tellus*; sed in priore, *qui e terra natus est*; in posteriore, *qui terra potens est*. Atq; appositio huiusmodi spectatur in crassa ista obseruatione; sed ratio exactior, demonstrat obseruationem magis natu-

περὶ σφαῖν, περὶ τῆ σφαῖν· τοῦ δ' ὑστέρου, ὁ περίκλυτος, ὁ σύνδουλος, ὁ μέτοικος. ἕνεκα τοῦ τοιούτου, καὶ τὰ ὑπ' ἀμφιβολίαν πίπτοντα, ἐκλύεται τοῦ ἀμφιβόλου, προσλαβόντα τὰ ἄρθρα: διοίσει γὰρ τό, παρὰ τοῦ νόμου, παρὰ τοῦ φέροντος, τῶν τοιούτων, τοῦ παραφέροντος, τοῦ παρανόμου· ὑπὲρ ὧν καὶ ἄλλοθεν ἡμῖν ἠκρίβωται. ἔνθεν ἓν μέρος λόγου ποιήσει τό, προπροκυλινδόμενος, ὑποπεπτηῶτες. μέρος τῆς λέξεως εἴη ἡ κατ' ἐν τῷ, λέων κατ' ταῦρον ἐδηδώς, εἴ γε τὰ μέρη τοῦ λόγου ἐκ παραθέσεως νοεῖται, οὐκ ἐκ συνθέσεως διϊστάμενα· καθὼς καὶ ἐν ἄλλοις δεδείξεται τὸ τοιοῦτον. ἀλλ' οὐδὲ τό, γέλασσε δὲ πᾶσα περὶ χθών, παράκειται ἡ περὶ τῇ αἰτίᾳ, κατὰ τὸν λόγον τὸν τῆς προθέσεως, ἐπιρρήματος δὲ τοῦ πέριξ· ἢ καθ' ὑπερβατόν ἐστι πρὸς τὴν τοῦ ῥήματος σύνοδον [ἢ] ἵν' ᾖ περιεγέλασσε, περισσῶς ἐλαμπρύνθη. τὴν γὰρ σύνθετον θέσιν ἀπείργει καὶ ἡ τάσις, ὅτι οὐκ ἀνεβίβασε τὸν τόνον, ὡς τὸ αὐτόχθων· καὶ ἡ τοῦ σημαινομένου ἔννοια· μένει γὰρ ἔτι τὸ θηλυκὸν ὄνομα, τῆς συνθέσεως μεταβατικὸν ἐχούσης τὸν λόγον. οὐ γὰρ δή γε ἐν τῷ αὐτόχθων καὶ ἐνοσίχθων, ἡ γῆ νοεῖται, ὁ δὲ ἐκ τῆς γῆς γινόμενος, ἢ τῆς γῆς ἐπικρατῶν. καὶ ἡ μὲν τοιαύτη παράθεσις, ἁπλῆς ἔχεται τηρήσεως· τό γε μὴν ἐξεργαστικὸν τοῦ λόγου, φυσικωτέραν ἐνδείκνυ-

ἴσ. π λέξ.

καθὸν

ἴσ. ἀλλ' οὐδ' ὅτι

μικρὸ

ται τή-

ται τήρησιν. αἱ εὐθεῖαι καὶ αἱ κλητικαί, ἐν προσώπου δηλοῦσι μετὰ τῶν συνιόντων ῥημάτων, Τρύφων ἀναγινώσκει, Τρύφων ἀναγίνωσκε· Τρύφων παραλαμβάνει, Τρύφων παράλαμβανε· τῶν ἄλλων πλαγίων ἐν δυσὶ προσώποις νοουμένων, Τρύφωνα λέγει, Τρύφωνα φιλεῖ, Τρύφωνος ἄκουε· ὁμολόγως εὐθειῶν ἔξωθεν προσλαμβανομένων. Τούτων δὴ δεδειγμένων κατὰ τὴν σύνταξιν τῆς προθέσεως, οὐκ ἂν δυνηθείη ἐν παραθέσει ἡ πρόθεσις τῆς εὐθείας ποτὲ εἶναι· πρῶτον, ὅτι ὃ ἐκ τῶν προθέσεων δηλούμενον, ἐπιδέχεται τὴν ἐκ τοῦ ῥήματος παρυφισταμένην σχέσιν. ἔστω γάρ τι Πλάτων ἔστω δέ τι καὶ βαίνει, καὶ πρόθεσις ἡ ἐν, ἢ σὺν, ἢ ἀνὰ, ἢ ἄλλη τις τοῦ τοιούτου. ἢ οὐκ ἐπὶ δύο νεύσει μέρος λόγου, ἢ ὃ δυνάμενον τὸ ἐξ αὐτῶν χρῆσιν ἀναδέξασθαι. καὶ δὴ ἐμπλάτων μὲν οὐ γένοιτ᾽ ἄν, ὅ γε ἐμβαίνει οὐδὲ [ὁ] συμπλάτων, ὅ γε συμβαίνει, διαβαίνει, περιβαίνει. ἕνεκά γε τοῦ τοιούτου, ἑνὸς ὄντος προσώπου τοῦ ὅλου, λέγω τοῦ Πλάτων βαίνει, ὃ προσγινόμενον ἔξωθεν προσθετικὸν, ἐπὶ τὸ ῥῆμα νεύσει· καὶ ὡσπερεὶ προτακτικὸν στοιχεῖον περὶ ὑποτακτικοῦ κείμενον. ἔφαμεν γὰρ καὶ κατὰ τὰς ἀρχὰς τῆς ἐκδόσεως, ὡς τὰ στοιχεῖα τοῦ λόγου, τὸν αὐτὸν τρόπον ἐπέχει τοῖς στοιχείοις τῆς λέξεως. καὶ ὡς ἔστι προτακτικὰ στοιχεῖα στοιχείων, καὶ οὐ πάντα ἁπάντων, οὕτω καὶ λέξεις προτακτικαὶ ὅσαι,

ἢ σωῦ

ἐπὶ τῷ δυναμένῳ

προσθετικὸν P. ἴσ. προθετικὸν D.

ἴσ. ἴχει

ralem & certam. Nominatiui & vocatiui, vnā eandemq; personam indicant, quā verba etiam, quibus cum construuntur; Τρύφων ἀναγινώσκει, Τρύφων ἀναγίνωσκε: Τρύφων παραλαμβάνει, Τρύφων παραλάμβανε: ceteri casus, in duabus personis intelliguntur; Τρύφωνα λέγει, Τρύφωνα φιλεῖ, Τρύφωνος ἄκουε: in quibus sine dubio nominatiui accersuntur extrinsecus. His ergo positis in constructione conuenienti, præpositio numquā per appositionē antecedet nominatiuum: primum, quia vis & significatio præpositionum recipit connexionem verbi, quod in eadem constructione vicinum est. fac enim esse Πλάτων: fac etiā esse verbum βαίνει, & præpositionem ἐν, vel σὺν, vel ἀνὰ, vel aliā id genus: hic igitur præpositio vel in aliam orationis partē verget, vel in eam quæ suum potest vsum recipere. ἐμπλάτων itaq; numquam erit, sed ἐμβαίνει erit: item συμπλάτων nō erit, sed erit συμβαίνει, διαβαίνει, περιβαίνει. atque iccirco, quia in tota illa oratione Πλάτων βαίνει, vna eademque persona est, præpositio quæ extrinsecus accessit, ad verbum verget, & erit quasi prępositiuum elementum, quod subiunctiuo præponitur. nam in primo etiam libro diximus, orationis elementa eādem habere rationem. quam elementa dictionum: & sicut in elemētis alia aliis præponuntur, nō omnibus omnia; ita etiā in dictionibus, quæ sunt prępositiuæ,

non omnibus tamen præponentur, quæ cõstructionem earum recipere non possint. fac enim esse syllabã huiusmodi, βα, κλα: in his syllabis, quoniam σ non præponitur ante ρ, vel ante λ, κ vero & τ præponitur, ita connectetur ista syllaba, σκλα, στρα. fac etiam esse τίρυ, eique apponito, in fine inquam, ν: hoc igitur nõ apponetur vna cum σ præcedente; quamquam litera finalis multarũ dictionum sit; sed viceuersa. itaq; huiusmodi constructio frequens Argiuis est. Quare si præpositio accesserit in eadem persona, in illo inquam, Πλάτων διαλέγεται, quam verbi constructio sequatur; tum elementum, quod verbo præponitur, cõpositione præponitur: hoc nimirum modo, προσδιαλέξεται. Quare si nominis etiam positio poterit connexionem præpositionis recipere, tunc licebit intelligere præpositionem cũ nomine connexam esse. nam περίεργος non procul abest a verbo περιεργάζεσθαι, neque μέτοικος a verbo μετοικεῖν, nec περίοπλος a verbo περιοπλεύεσθαι, neque ἐπίκουρος a verbo ἐπικουρεῖν. non enim est opposita, etiam si compositione adnexa fuerit. nam prima compositionis cõnexio, spectatur in adiectiui voce prolata, compositione quadam transposita. Præterea αὐτίθεος, αὐτίπαιδος, & quæ his sunt similia, fatentur appositionem factam in genitiuo potestate: accipiuntur enim αὐτὶ θεοῦ, vel αὐτὶ παιδός. Illud et-

οὐχ ἁπάντων προτετάξονται, τῶν γε μὴν δυναμένων τὴν ἐξ αὐτῶν σύνταξιν ἀναδέξασθαι. φέρε γὰρ τὴν συλλαβὴν εἶναι τοιαύτην, τὴν βα, τὴν κλα· καὶ ἐπεὶ τὸ σ οὐ προσχωρεῖ περὶ τοῦ ρ, ἢ περὶ τοῦ λ, (οὐ γὰρ δὴ τούτων προτακτικὸν τὸ σ) τοῦ δέ μὴν κ καὶ τ· καὶ οὕτω τὸ σκλα στρα συντετάξεται. φέρε δὴ καὶ εἶναι τίρυ· τὸ καὶ τούτῳ προστίθεται τὸ ν· λέγω κατὰ τὸ τέλος· οὐ δὴ προσχείσεται μετὰ τοῦ σ· καίτοι τελεστικὸν ὂν πολλῶν λέξεων· ἀνάπαλιν μέντοι· ὥστε παρ' Ἀργείοις πάμπολλός ἐστιν ἡ τοιαύτη σύνταξις. οὐ δὴ οὖν προσγινομένης προθέσεως ἐν τῷ αὐτῷ προσώπῳ, λέγω ἐπὶ τοῦ, Πλάτων διαλέγεται· μεθ' ἧς ἡ ῥηματικὴ σύνταξις, τὸ δὲ προτακτικὸν αὐτοῦ στοιχεῖον, κατὰ σύνθεσιν, λέγω δὲ προσδιαλέξεται. ἤγουν καὶ ἡ ὀνοματικὴ θέσις ἔχειν δύναιτο ἐπιδέξασθαι τὴν ἐκ τῆς προθέσεως, τηνικαῦτά ἐστιν ἐπινοῆσαι συνενουμένην τῷ ὀνόματι τὴν πρόθεσιν. ὁ γὰρ περίεργος, οὐ πόρρωθέν ἐστι τοῦ περιεργάζεσθαι· οὐδὲ ὁ μέτοικος, τοῦ μετοικεῖν· οὐδὲ ὁ περίοπλος, τοῦ περιοπλεῖσθαι· οὐδὲ ὁ ἐπίκουρος, τοῦ ἐπικουρεῖν. οὐ γὰρ ἀντίκειται, καθὸ συμβολικῶς κέχρηται. ἡ γὰρ τῆς συνθέσεως πρώτη σύνοδός ἐστι κατὰ τὴν ἐπιθετικὴν προφοράν, συμβολικώτερόν πως μετατιθεμένη. ἀλλὰ μὴν καὶ τὸ αὐτίθεος, αὐτίπαιδος, καὶ τὰ τούτοις ὅμοια, δυνάμει τὴν ἐκ γενικῆς παράθεσιν ὁμολογεῖ. αὐτὶ γὰρ θεοῦ ἢ παιδὸς παραλαμβάνεται. σαφὲς

ὅτι

ἴσ. πλειόνων

προσγινομένης συντ.

μετὰ τοῦ μηδὲν

εἰ γοῦν

περιοπλεύεσθαι.

ἐν. σὺν ὅτι — ὅτι καὶ τὰ σύνθετα συνέχει πάλιν τὸ ἰδίωμα. τῶν δὴ οὖν ῥημάτων κατὰ τὸν προειρημένον λόγον συντιθεμένων μετὰ τῶν προθέσεων, οὐ μὴν παρατιθεμένων, ὡς δέδεικται (δέδεικται)· ἀνάγκη πᾶσα καὶ τὰς ὀνοματικὰς πτώσεις ἔννοιαν ῥηματικὴν ὁμολογούσας, τὸ αὐτὸ τοῖς ῥήμασιν ἀναδέχεσθαι. αἱ γοῦν πλάγιαι πτώσεις, ἀποστᾶσαι τῆς συνόδου τοῦ ῥήματος, τουτέστι, τὸ αὐτὸ πρόσωπον οὐ δηλοῦσαι, καὶ τοῦ σχήματος ἀπηλλοτριώθησαν. τὸ γὰρ ἐναντίον ἀναδέχονται παράθεσιν ἀντὶ συνθέσεως· καὶ πρὸς τὸ ἡνωμένον μὲν πρόσωπον, ὡς προείπομεν, καὶ τὰ τῆς συνθέσεως ὁμοίως συνήνωται· πρὸς δὲ τὸ ἀφιστάμενον τῆς πλαγίας, [συναπέστη καὶ τὰ τῆς πλαγίας,] μερικωτέρας λοιπὸν παραθέσεως γινομένης. (παραδινομένης θέσεως, τὸ περὶ διηκ. D.) ἧς παρ διηκούσης καθ' ἕνα σχηματισμὸν, περὶ Ἀπολλωνίου, ἐν Ἀπολλωνίῳ, καὶ τὰ τούτοις ὅμοια, εἰκός τινα φῆσαι καὶ ἐν πλαγίαις σύνθεσιν ἐπινοεῖν· βόλου, περιβόλου· δρόμου, καταδρόμου· καὶ ἐν τοῖς ὁμοίοις. ὃ λύεται, ὡς οὐκ ἔστιν αὐτόθεν σύνθεσις, εὐθείας δὲ συντεθείσης κλίσις μεταπεποιημένη, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται. Εἰκὸς δέ ἐστι κἀκεῖνο ὑπονοῆσαι (ἐπινοῆσαι), ὡς [καὶ] κατὰ τὰς πλαγίας αἱ προθέσεις παρατίθενται· ἐν δὲ ὑπερβιβασμῷ, πρὸς τὰ ῥήματα διατεινόμεναι φαίνονται (συντίθενται)· κατ' Ἀπολλωνίου ἐλάλησα, κατελάλησα Ἀπολλωνίου· σὺν Ἀπολλωνίῳ ἦμην, συνήμην Ἀπολλωνίῳ·

iam perspicuum est, composita suam proprietatem continere. Cum igitur verba ex regula superiore componantur cum præpositionibus, nō apponantur, sicuti demonstratū est; necesse est omníno, nominatiuos quoq; nominum eādem compositionem recipere, cum verbi sensum fatentur. Obliqui ergo casus, qui cū verbis non connectuntur, hoc est, qui eandem non indicāt personam; ab hac simul ratione cōpositionis abhorrent, & contrariam, i. appositionem, recipiunt pro compositione. ceterum cum persona connexa (sicut superius monuimus) compositio, eundem in modum connectitur: cum obliquis vero, qui ab ista ratione desciscunt, simul etiam figura hæc desciscit, & appositio particularis fit, quæ vnica figura profertur, περὶ Ἀπολλωνίου, ἐν Ἀπολλωνίῳ: itemque alia his similia. Et quoniā hoc ita fit, verisimile est aliquē esse dicturum, in obliquis etiam compositionem inueniri; vt in his, βόλου, περιβόλου: δρόμου, καταδρόμου, & in similibus. Sed facile hoc diluitur. nā compositio non in obliquo facta est, sed in eius nominatiuo, a quo obliqui inclinati & mutati sunt, sicut in sequentibus demonstrabimus. Probabile præterea est, aliquem esse suspicaturū, in obliquis præpositionum appositionem fieri, compositionem autem in verbis, cum mutata tenoris sede cum verbis connectuntur; κατ' Ἀπολλωνίου ἐλάλησα, κατελάλησα Ἀπολλωνίου: σὺν Ἀπολλωνίῳ ἦμην, συνήμην Ἀπολλωνίῳ:

περὶ τὸν καμπτῆρα ἔδραμον, περιέδραμον τὸν καμπτῆρα: πρὸς Τρύφωνα εἶπον, προσεῖπον Τρύφωνα: ἀπὸ Ἀλεξανδρείας ἔδραμον, ἀπέδραμον Ἀλεξανδρείας: & si quid discriminis habet constructio, discrimen hoc fieri propter verborum transiectionem, sicut in istis, ὁ νῦν ἄνθρωπος, νῦν ὁ ἄνθρωπος: ὁ τότε Πτολεμαῖος, τότε ὁ Πτολεμαῖος: ὁ ἐμὸς δοῦλος, ἐμὸς ὁ δοῦλος. Aduersus hoc etiam dicẽdum est, eiusmodi exempla, vel verborum ordine mutato, eandem retinere congruitatem, etiam si diuersam quantumuis habeant significationem; præpositiones autem, & reiecto tenore, diuersum habere casum, & maximam fere partem earum tenorem non reiicere: πρὸς Ἀπολλώνιον ἔρχομαι, προσέρχομαι vero Ἀπολλωνίῳ: &, πρὸς Τρύφωνα λαλῶ, προσλαλῶ vero Τρύφωνι. dicimus etiam καταφέρω οἶνον, at non dicimus κατ' οἶνον φέρω: & περὶ τοῦ φίλου λέγω, non autem περιλέγω τοῦ φίλου. Possem præterea plurima eiusmodi exempla proponere, quibus planissime demõstratur, præpositiones solere cum obliquis construi, cum non possunt cum alia orationis parte connecti, nisi prius obliquum casum secum assumpserint: de quarum discrimine postea differemus.

περὶ τὸν καμπτῆρα ἔδραμον, περιέδραμον τὸν καμπτῆρα· πρὸς Τρύφωνα εἶπον, προσεῖπον Τρύφωνα· ἀπὸ Ἀλεξανδρείας ἔδραμον, ἀπέδραμον Ἀλεξανδρείας. καὶ εἰ διαφέρῃ κατὰ τὸ δηλούμενον τὰ τῆς συντάξεως, καθ' ὑπερβιβασμοὺς γίνεταί πως ἡ διαφορά· ὁ νῦν ἄνθρωπος, νῦν ὁ ἄνθρωπος· ὁ τότε Πτολεμαῖος, τότε ὁ Πτολεμαῖος· ὁ ἐμὸς δοῦλος, ἐμὸς ὁ δοῦλος. ἔστι δὲ καὶ πρὸς τὸ τοιοῦτον φάναι, ὡς τὰ τοιαῦτα μὲν, τῷ ὑπερβιβασμῷ, τὴν αὐτὴν ἔχει καταλληλότητα, καὶ ὁπόσην ἔχῃ διαφορὰν τοῦ σημαινομένου· τὰ δὲ τῶν προθέσεων, καὶ ἐν ὑπερβιβασμῷ διάφορον πτῶσιν ἔχει, καὶ σχεδὸν τὰ πλεῖστα οὐχ ὑπερβιβάζεται· πρὸς Ἀπολλώνιον ἔρχομαι, προσέρχομαι δὲ Ἀπολλωνίῳ· πρὸς Τρύφωνα λαλῶ, καὶ προσλαλῶ Τρύφωνι. καὶ ἔστι μέν που καταφέρω οἶνον, οὐ μὴν κατ' οἶνον φέρω· καὶ περὶ τοῦ φίλου λέγω, οὐ μὴν περιλέγω τοῦ φίλου. πλείστην ἐστὶν εἰς τὸ τοιοῦτον παράθεσιν ποιήσασθαι. δι' οὗ προδηλότατα δείκνυται, ὡς οἴδασιν αἱ προθέσεις σύνταξιν τὴν πρὸς τὰς πλαγίας· οὐ δυνάμεναι ἐπ' ἄλλό τι συνενεχθῆναι, εἰ μὴ πρότερον συμπαραλάβοιεν τὴν πλαγίαν πτῶσιν. ὑπὲρ ὧν τῆς διαφορᾶς κατὰ τὸ ἑξῆς ἐροῦμεν.

ἴσ. ὡς ὁ ἐν.

λ'. Εἰ ἕν ἐστι τὸ παρά τι, παρ' ὀλίγον, τὰ τούτοις ὅμοια.

τμῆμα β'

Ἔτι τῇ προκειμένῃ συντάξει οἰήσεταί τις τὰ τοιαῦτα ἀντικεῖσθαι, παρ' ὀλίγον Τρύφων ὤλισθε, μετ' ὀλίγον Δίων παρέσται, παρά τι ἥμαρτε Θέων. τὸ γὰρ τὶ, καὶ τὸ ὀλίγον, καὶ ἔτι τὰ προκείμενα, δόξει ἐν εὐθείᾳ συντάξει παράθεσιν τῆς προθέσεως ἀναδέχεσθαι. καὶ ἔτι κατὰ πλαγίαν πτῶσιν τῆς τάξεως γίνεται, παρ' ὀλίγον Τρύφωνα συνέβη τιμηθῆναι, κατά τι Θέωνα ὑβρίζεις. ἅπερ ἔστιν οὕτως ἀπολύσασθαι, ὡς ἐν ὑπακουομέναις αἰτιατικαῖς τοῦ λόγου κατέστη. τὸ γὰρ, παρά τι Τρύφων ἥμαρτεν, ἐν ἴσῳ ἐστὶ τῷ ἔξωθεν ὑπακουομένῳ κατ' αἰτιατικὴν πτῶσιν· ὡσεὶ καὶ οὕτω τις λέγοι, παρὰ ποίαν αἰτίαν ἥμαρτε Τρύφων. οὕτως ἔχει τὸ, μετὰ μικρὸν καὶ μετ' ὀλίγον ἐλεύσεται Τρύφων. ὑπακούεται γὰρ, μετὰ μικρὸν διάστημα τοῦ χρόνου. ὁ αὐτὸς λόγος ἐπὶ ἁπάντων τῶν τοιούτων. ὥστε πάλιν κατὰ παράθεσιν αἰτιατικῆς πτώσεως, νοεῖν τὰς προθέσεις. τὸ γὰρ, παρά τι λείπει ὁ λόγος; ἐν ἴσῳ ἐστὶ τῷ, παρά τινα λέξιν λείπει ὁ λόγος, παρά τινα φράσιν; καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἐν εὐθείᾳ συντάξει φάναι τὸ παρά τις, κατὰ δὲ αἰτιατικὴν τὸ παρά τινα· οὕτω χρὴ νοεῖν ὡς καὶ τὸ τὶ καθεστὼς, τῆς μὲν εὐθείας οὐ παραδέξεται τὴν πρόθεσιν, αἰτιατικῆς γε μὴν, ὅτε φαμὲν παρά τι.

ἴσ. τὰ τοιαῦτα, δ. — ἴσ. εὐθείας — ἴσ. τὰ τῆς συντάξεως — ἴσ. τὰ τοῦ λόγου — ἴσ. εὐθείας

4. *An παρά τι, & παρ' ὀλίγον, & alia id genus, sint una pars orationis.*

Pars II

Præterea, proximæ constructioni putauerit fortasse quis illa opponi, παρ' ὀλίγον Τρύφων ὤλισθε, μετ' ὀλίγον Δίων παρέσται, παρά τι ἥμαρτε Θέων. nam τὶ, & ὀλίγον, & alia id genus, videntur in nominatiui constructione recipere præpositionum appositionẽ, etiam si constructio in obliquo casu fuerit; παρ' ὀλίγον Τρύφωνα συνέβη τιμηθῆναι, κατά τι Θέωνα ὑβρίζεις. Sed hęc poterunt hoc modo dissolui, si intelligam' orationem accusatiuis subauditis niti. nam illud, παρά τι Τρύφων ἥμαρτεν; valet idem atque illud quod subauditur extrinsecus in accusandi casu, perinde ac si dicas, παρὰ ποίαν αἰτίαν ἥμαρτε Τρύφων; Eadem est ratio in μετὰ μικρὸν, & μετ' ὀλίγον ἐλεύσεται Τρύφων. subauditur enim διάστημα, μετὰ μικρὸν διάστημα τοῦ χρόνου. Eademq; fuerit regula in omnibus istiusmodi exemplis. ita vt in his quoq; præpositiones accusatiuis appositę intelligantur. nam in illo, παρά τι λείπει ὁ λόγος, idem est ac si dicas, παρά τινα λέξιν, παρά τινα φράσιν λείπει ὁ λόγος; Et quemadmodum in nominatiui constructione non reperitur παρά τις, sed in accusatiuo παρά τινα: ita etiam intelligendũ de genere neutro τὶ, quod in oratione positum, non nominatiui prępositionem, sed accusatiui recipiet, cum dicimus παρά τι.

Sed illud obstare diximus in

Ἀλλ' ἐκεῖνο πάλιν ἀντικεῖσθαι ἔφαμεν ἐν

superioribus; articulorum nempe constructiones cum præpositionibus; quas, si sunt appositæ, sequũtur; sin compositæ, antecedunt. Atqui dicimus τὸ παρά τι: in quo nulla fieret articuli accessio, nisi præpositio longe ante adnexa fuisset. Ad hoc etiam est respondendum: primum, τὶ nullum omnino articulum posse recipere: nomina enim interrogatiua (sicuti supra demonstratum est) reiiciunt articulos. Deinde, superior constructio non admittit articulum in illo τὸ παρά τι, quasi τὶ vim habeat interrogationis: sed admittit vt articulum totius constructionis, & rei extrinsecus subauditæ; sicuti licet cognoscere in infinitiui etiam cõstructione, cum dicimus τὸ γράφειν, τὸ περιπατεῖν. articulus enim non est generum verbi, aut temporum; sed rerum quibuscum connectitur. Licet autem hoc ipsum confirmare orationis etiam constructione. fac enim esse tale quidpiam, τὸ μὴ παρὰ τοῦτο ποιησόμεθα: in qua constructione res aliqua nimirum cum articulo cõnectenda intelligitur. Ergo τὸ παρά τι non recepit articulum compositione propter articulum extrinsecus adiunctum.

τοῖς προειρημένοις, ταῖς τῶν ἄρθρων συντάξεσι, ἐν μὲν παραθέσει τῆς προθέσεως, μετ' αὐτὰς τίθεσθαι· ἐν δὲ συνθέσει, πρὸ αὐτῶν τίθεσθαι. φαμὲν δή γε τῷ παρά τι, τοῦ τοιούτου οὐ προσγενομένου, εἰ μὴ πολὺ πρότερον ἡ πρόθεσις ἥνωτο. (τὸ παρά τι.) πρὸς ὃ ἔστι πάλιν ἀπαντῆσαι· τὸ πρῶτον, οὐδ' ὅλως τὸ τί δύναται παραδέξασθαι ἄρθρον· ἀπρόσδεκτοι γὰρ τῶν ἄρθρων αἱ πεύσεις, καθὼς ἀπεδείχθη. τὸ δεύτερον, ἡ προκειμένη σύνταξις, οὐχ ὡς ἐγκειμένου τοῦ πύσματος, τὰ τῆς συντάξεως τοῦ ἄρθρου ἐποιήσατο· λέγω ἐν τῷ παρά τι· ἀλλ' ἔστιν ὅλης τῆς συντάξεως καὶ τοῦ νοουμένου ἔξωθεν πράγματος ἄρθρον· ὥς γε ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ τῆς τῶν ἀπαρεμφάτων συντάξεως, ὅτε φαμὲν τὸ γράφειν, τὸ περιπατεῖν. οὐ γὰρ τῶν διαθέσεων τὸ ἄρθρον ἐστίν, ἢ τῶν χρόνων, τοῦ δὲ παρυφισταμένου πράγματος. παρὸν τὸν λόγον πιστώσασθαι καὶ διὰ τῆς τοῦ λόγου συντάξεως. ἔστω γάρ τι τοιοῦτον, τὸ μὴ παρὰ τοῦτο ποιησόμεθα. [ἐξ ἧς συντάξεως παρυφίσταταί τι. ἐφ' ἧς πάλιν πρᾶγμα, οὗ γίνεται τὸ ἄρθρον, τὸ μὴ παρὰ τοῦτο ποιησόμεθα·] οὐ δὴ οὖν τὸ παρά τι, ἐν συνθέσει τὰ τῆς προθέσεως ἀνεδέξατο, διὰ τὸ προσγεγενημένον ἔξωθεν ἄρθρον.

ε', Εἰ τὸ διότι, καθότι, ἐν παραθέσει ἔχει τὰς προθέσεις· καὶ πότερον ἓν μέρος λόγου, ἢ δύο, ἢ τρία.

διότι θ καθότι — ὃ δὴ — καθεστώς

Τῆς αὐτῆς ἐπιστάσεως ἔχεται καὶ τὸ διότι καὶ καθότι, πότερον ἐν παραθέσει τὰ τῆς συντάξεως καθέστηκεν, ἢ συνθέσει· καὶ πότερον ἐπὶ ἄπτωτον τὸ ὅτι, λέγω τῷ συνδεσμικῷ, ἢ ἐπὶ πτωτικόν, ᾧ δὴ παράκειται, οὐδέτερον ὄν, τὸ ὅτι, ἓν μέρος λόγου καθέστηκεν, ὅμοιον τῷ ὁποῖον, ὁπόσον· [ἢ] καὶ τὸ ἐν δυσὶ μέρεσι λόγου νοούμενον· ὃ δὴ ἀπὸ ἀρσενικῆς πέπλωκε συντάξεως κατὰ παραλληλότητα, λέγω τὸ ὅστις· ᾧ καὶ θηλυκὸν παράκειται ἐν δυσὶ μέρεσι λόγου [πάλιν, τὸ ἥτις· ᾧ πάντως σύνεστι καὶ οὐδέτερον ἐν δυσὶ μέρεσι λόγου,] τὸ ὅ τι. οὐκ ἀγνοοῦντός μου, ὅτι καὶ ἐν συνδέσμῳ τῷ ὅτι, ἔστιν ἐγκειμένη ἑτέρα σημασία, ἣν νοοῦμεν διαβεβαιωτικῶς, ὅτε οὕτω φαμέν, ὅτι νικῶ σε, ὅτι πλείονά σου ἀναγινώσκω· [διαφερούσης συντάξεως τῆς οὕτω νοουμένης κατ' αἰτιολογικὴν ἐκφοράν, ὅτι πλείονά σου ἀναγινώσκω,] συνετώτερός σου καθέστηκα. ὑπὲρ ἧς διαφορᾶς ἠκριβώσαμεν ἐν τῷ Περὶ συνδέσμων. ἀλλὰ τανῦν γε, τῆς τῶν προθέσεων συντάξεως τὸ τοιοῦτον ἀπαιτούσης, αὐτὸ μόνον τὸ κατὰ τὰς προθέσεις ἀπορούμενον παραστήσομεν. Ὡς μὲν οὖν καὶ κατὰ τὰς ἄλλας παραθέσεις, αἱ προθέσεις συνδεσμικῆς συντάξεως γίνονται παρεμφατικαί, λέλεκται ἡμῖν. ἐξ

5. *An διότι & καθότι habeant appositas præpositiones: & vtrum vna pars orationis, an duæ, vel tres sint.*

Ad eandē pertinent quæstionem & διότι, & καθότι, vtrum appositione, an compositione habeant annexam præpositionem: & vtrū cum parte orationis non casuali, cum coniunctione inquam ὅτι, an cum casuali ὅ, τι, quæ sequitur, & est vnica pars orationis, illis similis, ὁποῖον, ὁπόσον: an etiam annexa sit cum ὅ τι, quæ pro duabus partibus orationis accipitur, & quæ a masculini constructione deducta est similitudine, nempe ab ὅστις, quod habet proximum fœmininū ἥτις, quod & ipsum duabus constat orationis partibus. itaque simul habet neutrum duabus item orationis partibus distinctū, nempe ὅ τι. Nec me fugit in ista coniunctionis voce, ὅτι inquam, esse insitam aliam significationē, quam affirmatiue accipimus, cùm ita dicimus, ὅτι νικῶ σε, ὅτι πλείονά σου ἀναγινώσκω: quę cōstructio differt ab ea quæ per accusatiuū enunciatur, ὅτι πλείονά σου ἀναγινώσκω, συνετώτερός σου καθέστηκα. sed de isto discrimine egimus accuratius in libro De coniunctionibus. nunc vero, quoniam cōstructio præpositionū hoc exigit, de eo tantum quod quæritur in præpositionibus, dissseremus.

Quod igitur præpositiones etiam aliis orationis partibus appositæ, speciem constructionis coniunctionū præ se ferant, hoc iā diximus. Hinc

Stoici nacti occasionem, eas appellarunt προθετικοὺς συνδέσμους. nam idem valet ἕνεκα τίνος λυπῇ, & διά τί λυπῇ: & ἕνεκα τῆς ῥᾳθυμίας idem atque ἐκ τῆς ῥᾳθυμίας. consentaneū ergo est, superiores etiam particulas, διότι inquam, & καθότι, receptis præpositionibus cōiunctionum speciem præbere. patet enim vel ex ipso spiritu, quem densum habēt, non simplicem orationis partem esse διότι: quoniā in vocales quæ sunt in mediis dictionibus, spiritus numquā densus cadit: eamq; ob causam notatas, quod regulam non seruent; vel quod ex dialecto Laconica in alias surrepser nt dialectos. Sed de his accurate disseruimus in libro De spiritibus. Sed hoc nō esse satis affirmo, vt διότι ex diuersis partibus orationis cōstet; quandoquidem nihil obstaret quin esset simile iis quæ sunt notata, ὡοῖ inquam, εἶεν, & καθώς, quod est Atticum. Ceterum accidentia etiā hoc ipsum indicant. primum voces istę, διά, & ὅτι: deinde, quia διά numquam in compositione causalis accipitur; vt in illis διάδρομος, διαβρέχω: sed accusatiuo casui apposita, διά Τρύφωνα, διά τὴν ἡμέραν. Hinc planum fit ὅτι non esse coniunctionem, sed casualem particulam accusatiui casus: siquidem demonstratum est, nominatiuum non admittere præpositionē appositam,

ὧν καὶ ἀφορμὴ εἴρηται παρὰ τοῖς Στωϊκοῖς τοῦ καλεῖσθαι αὐτοὺς προθετικοὺς συνδέσμους. ὃ γὰρ, ἕνεκα τίνος λυπῇ, καὶ διά τί λυπῇ, ἐν ἴσῳ ἐστί· καὶ ὃ ἐκ τῆς ῥᾳθυμίας, ἐν ἴσῳ ἐστὶ τῷ ἕνεκα τῆς ῥᾳθυμίας. οὐ δὴ οὕτως ἀπεμφαίνει, εἰ καὶ τὰ προκείμενα μόρια, λέγω δὲ διότι, καθότι, προσδεξάμενα τὰς προθέσεις, συνδεσμικὴν ἐπέχει σύνταξιν. πρόδηλον γὰρ κἀκ τῆς συνούσης δασείας, ὡς οὐχ ἓν ἁπλοῦν ἐστι τὸ διότι, καθ' ὃ οὐ παρεμπίπτει ἡ ἐν τοῖς φωνήεσι δασεῖα, ἐν μέσαις ταῖς λέξεσιν· ἕνεκα τοῦ τοιούτου σεσημειωμένων ὡς ἀλόγων ὄντων· ἢ ἀπὸ Λακωνικῆς διαλέκτου παρεισδεδυκὸς εἰς τὰς ἄλλας διαλέκτους· ὑπὲρ ὧν ἐν τῷ Περὶ πνευμάτων ἠκριβώσαμεν. Ἀλλ' οὐ τοῦτό φημι αὔταρκες, διότι συνεστάναι ἐκ διαφόρων μερῶν τοῦ λόγου· [ἐπεὶ οὐδὲν ἐκώλυε τοῖς σεσημειωμένοις ὅμοια αὐτὰ καθίστασθαι, τῷ ὡοῖ, εἶεν, καὶ ἔτι τῷ παρ' Ἀττικοῖς καθώς. ἀλλὰ καὶ τὰ παρεπόμενα.] πρόφορον αὗται αἱ φωναὶ, ἥ τε διὰ καὶ ὅτι· καὶ τῷ τὴν διὰ μηδέποτε ἐν συνθέσει αἰτιολογικῶς παραλαμβάνεσθαι, ὡς ἐν τῷ διάδρομος ἢ διαβρέχω· ἐν δὲ παραθέσει πτώσεως αἰτιατικῆς, διὰ Τρύφωνα, διὰ τὴν ἡμέραν. ἐντεῦθεν ὁμολογεῖται, ὡς οὐδὲ τῷ ὄντι σύνδεσμός ἐστιν, ἀλλὰ πτωτικὸν μόριον τῆς αἰτιατικῆς πτώσεως· εἴγε ἐδείχθη ὅτι οὐδὲ ἐν παραθέσει ἐστὶν ἡ εὐθεῖα τῶν προθέσεων.

[Margin notes: ἴσ. εὕρηται — ἐπιμφαίνοιτο — καθὸ ὅτι — ἴσ. παρεισδεδυκότων — ἴσ. τὸ δι' ὅτι καὶ καθ' ὅτι — ἴσ. καθώς — τὸ ὅτι;]

καὶ ὡς

καὶ ὡς ἐν εὐθείᾳ ἡ διὰ συνδεσμικὴν οὐκ ἔχει σύνταξιν. Λειπόμενον οὖν ἐστὶν ἐκεῖνο παραστῆσαι, εἰ ἑνὸς ὄντος τοῦ ὅτι, κατ' αἰτιατικὴν πτῶσιν ἡ διὰ πρόκειται, ἢ δύο ὄντοιν, κατὰ παράθεσιν τοῦ ὃ καὶ τι· ὃ δὴ ἐκ συντάξεως ἀρσενικῆς, τοῦ ὅστις, μετείληπται εἰς οὐδετέραν· ὃ καὶ μᾶλλον τὰ τοῦ λόγου ὑπάγεται. ἰδοὺ γὰρ καὶ ἐπὶ τῶν ἑτέρων γενῶν, λέγω τοῦ τε ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ [τὸ τοιοῦτον ἐστίν.] ἃ δὴ εἰ μὴ κατ' αἰτιατικὴν συνεμπίπτει, οὐδέποτε τὰ τῆς διαστολῆς ἔκδηλα ἐγένετο. ἧς γὰρ πτώσεως ἔτυχε τὸ, δι' ὅν τινα λόγον, καὶ δι' ἥν τινα αἰτίαν, καὶ ἔτι ἐπὶ πληθυντικοῦ ἀριθμοῦ, δι' οὕς τινας καὶ δι' ἅς τινας, καὶ τὸ δι' ὅτι. προφανὲς [οὖν] γενήσεται ὡς εἴη ἐν τρισὶ μέρεσι λόγου, προθέσεως τῆς διὰ κατὰ συνδεσμικὴν σύνταξιν φερομένης ἐπ' αἰτιατικήν, καὶ ἔτ' ἀλλήλων δύο πτωτικῶν, τοῦ ὃ καὶ τοῦ τι, πτώσεως ὄντων οὐκ ἄλλως ἢ αἰτιατικῶς. ἡ αὐτὴ ἀπόδειξις συνέστη καὶ ἐπὶ τοῦ καθότι. ὁμολόγως δεήσεται καὶ ἐν τῇ τοιαύτῃ συντάξει, διὰ τὸ ἡμέραν εἶναι, διὰ τὸ φῶς εἶναι· διὰ τὸ μὴ ἔχεσθαι ἄλλης πτώσεως ἢ τῆς προειρημένης αἰτιατικῆς. ἔστι καὶ ἐκ τῶν ἀνθυπαγομένων λόγων προσαποδεῖξαι τὸν λόγον. ἰδοὺ γὰρ προσανταποδίδοται τὸ, δι' ὅν τινα λόγον ταῦτα ἐγένετο, διὰ τοῦτον ταῦτα συμβήσεται· καὶ ἔτι [τὸ] δι' ἥν τινα αἰτίαν, τὸ διὰ ταύτην παρακολουθήσει· καὶ ἀπὸ τοῦ οὐδετέρου, διότι ἡμέρα ἐστί, διὰ τοῦτο φῶς ἐστι·

ἐπ' ἐκεῖνο

δυοῖν

παρ' ἀλλήλων, vel ἐπ' ἄλλων

ἄλλης ἢ αἰτιατικῆς

ἐστι, vel ἔνεστι

& διὰ præpositionem in nominatiuo cōiunctionis constructionem non habere.

Reliquum igitur est, vt illud quoque demonstremus, an, cum sit vna pars orationis ὅτι, præpositio διὰ in casu accusatiuo præponatur; an, cum sint duę, ad ὃ & τι apponatur; vt sit genus neutrum transsumptum ex constructione sui masculini ὅστις: id quod propius ad regulam accedit. nam eadē est ratio in ceteris quoque generibus, in masculino inquā & fœminino: quæ nisi in accusatiuo casu coinciderent, distinctio non ita exstaret atque appareret. nā cuius est casus illud, δι' ὅν τινα λόγον, & δι' ἥν τινα αἰτίαν, & in numero plurali δι' οὕς τινας, & δι' ἅς τινας: eiusdem proculdubio erit etiam δι' ὅτι, nempe accusatiui, & non alterius; in treis orationis partes distinctum, in διὰ prępositionem, annexam instar coniunctionum, quæ fertur in accusatiuum; & in duo casualia inuicem iuxta posita, in ὃ inquā & τι. Eadem est ratio etiā in καθ' ὅτι. Idemque constabit ex huiusmodi constructione, διὰ τὸ ἡμέραν εἶναι, διὰ τὸ φῶς εἶναι: quoniam διὰ non sequitur alium casum, quam accusatiuū. Licet præterea demonstrare hoc ex ea oratione q̄ antecedenti redditur. nam ecce, δι' ὅν τινα λόγον ταῦτα ἐγένετο, διὰ τοῦτον ταῦτα συμβήσεται: prætereain genere fœmineo, illi, δι' ἥν τινα αἰτίαν, respōdebit & erit redditiua oratio, διὰ ταύτην: ita etiam in neutro, δι' ὅ τι ἡμέρα ἐστί, διὰ τοῦτο φῶς ἐστιν:

in quo rursus oratio quæ redditur, est casus accusatiui.

6, Qua regula vtendum, si velis demonstrare præpositiones apponi verbis.

Hactenus de præpositionibus quæ in constructione nominum aut apponuntur, aut componuntur: in verborum tamen constructione, compositæ semper reperiuntur; vt in καταγράφω, ἐξυπνίσῃ, παρακατατίθημαι, & si qua sunt alia eiusmodi. Sed fortasse hoc existimauerit quis verũ nõ esse, & probationem exiger, quæ compositionem iſtiusmodi demonſtret. Fac itaq; aliquẽ affirmare præpositionẽ appositã potius verbis, q̃ cõpositam cũ eis esse, & vti argumentis iſtiusmodi: Partes orationis compositæ quomodocumque, in ea parte quæ composita est, numquam mutantur: appositæ, habẽt interdum indifferentem appositionem. atque eæ partes, quæ sunt compositæ ex imperfecta voce, aperte patent; vt sunt illæ, λεοντοφόνος, μηνόδωρος, κυνόδηκτος, χειρογραφῶ, παιδαγωγῶ. nam in exemplis propositis compositæ dictiones numquã in dialectis mutantur, & in diuersas declinationes transeunt. Quinetiam eæ quæ sunt compositæ ex vocibus perfectis, retento suo tenore, & nõ mutata dictione, manifestã habẽt compositionem; vt sunt κερασφόρος, ἑωσφόρος, ἀστυάναξ, τερατοσκόπος, διόσκορος: quæ vero habent appositionem, eæ et-

πάλιν τὸ ἀνταποδεδομένου κατ' αἰτιατικὴν πτῶσιν.

ϛ', Τίνι λόγῳ χρηστέον εἰς ἀπόδειξιν τοῦ παράκεισθαι τὰς προθέσεις τοῖς ῥήμασι.

Καὶ τοσαῦτα μὲν περὶ τῶν προτιθεμένων προθέσεων κατὰ τὰς ὀνοματικὰς συντάξεις, καὶ τῶν συντιθεμένων· ταῖς γε μὴν ῥήμασι συντάξεις πάντοτε κατὰ τὴν σύνθεσιν· ἐν γὰρ τῷ καταγράφω, καὶ τῷ ἐξυπνέσῃ, καὶ τῷ παρακατατίθεμαι, καὶ εἴ τινα ἄλλα τοιαῦτά ἐστι. καὶ ἴσως τὸ τοιοῦτον δόξει οὐκ ἀληθεύειν, δεόμενον λόγου, τοῦ ἀποδεικνύντος τὴν ἐν αὐτοῖς θέσιν. φέρε γὰρ φαίη τις ὡς μᾶλλον παράκειται τοῖς ῥήμασιν ἤπερ συνενῶται· συνηθείας οὔσης τοιαύτης· τὰ ὁπωσδήποτε συντεθέντα τῶν μερῶν τοῦ λόγου, καθ' ὃ μέρος ἑνῶται, ἀμετάθετά ἐστι· τά γε μὴν παρακείμενα, ἀδιάφορον ἐσθ' ὅτε τὴν παράθεσιν ποιεῖται· καὶ πρόδηλα μὲν τὰ ἀπολειπούσης φωνῆς συντεθειμένα, ὡς ἔχει τὸ λεοντόφωνος, μηνόδωρος, κακόδηκτος, χειρογραφῶ, παιδαγωγῶ. οὐ γὰρ δή γε ἐπὶ τούτων κατὰ τὰς διαλέκτους, διαφόρους κλίσεις τὰ τῆς συναφείας τῆς λέξεων ποτὲ μετατίθεται. ἀλλὰ καὶ ἔτι τὰ ἐκ τῶν τελείων φωνῶν συντεθειμένα, μετὰ τῆς συνούσης τάσεως, καὶ τῆς μὴν μεταπιπτούσης λέξεως, πρόδηλον ἔχει τὴν θέσιν· ὡς ἔχει τὸ κερασφόρος, ἑωσφόρος, ἀστυάναξ, τερατοσκόπος, διόσκορος. τά γε μὴν ἐν παραθέσει ὄντα, ἔχει

αὐταποδεδ. ἴσ. πλώσιν ὄντος — ἴσ. παραπηγμένων — σύνθεσιν — διάφορος Soph. — ἴσ. ἀπολιπούσης — ἴσ. λεοντόφονος — κυνόδηκτος — εἰς δ. at Soph. κατὰ διαφ. — τῆς θ μὴ — σύμπαξιν, vel σύνθεσιν

τα, ἔχει τὸ καὶ μετατίθεσθαι· ὡς τὸ, νέα πόλις, νέας πόλεως· ἀγαθοῦ δαίμονος, ἀρείου πάγου· συνεπισχύοντος καὶ τοῦ δὶς παραλαμβανομένου τόνου. ἀλλ' ἔτι καὶ ἐπ' αὐτῶν τῶν προθέσεων, ἡνίκα [καὶ] ἐδιδάχθημεν τὸ παράνομον, τὸ περίκλυτον, τῇ τοῦ ἄρθρου προσόδῳ, παράθεσιν μὲν ὁμολογεῖ ἀφισταμένης τῆς προθέσεως [πρὸ τοῦ ἐπεντιθεμένου ἄρθρου, οἷον παρὰ τοῦ νόμου· σύνθεσιν δὲ, εἰ, ἡνωμένου τοῦ ἄρθρου, ἔξωθεν προσγινομένης τῆς προθέσεως,] οὕτως ἔχει τὰ τῆς συντάξεως, τοῦ παρανόμου, τοῦ περικλύτου. καὶ δὴ ἐν τῷ καταγράφω, εἰ μὲν συνῆπται τὰ τῆς προθέσεως, πάντως καὶ ἀμετάβλητα κατὰ τὸν προειρημένον λόγον· εἰ δὲ μὴ οὕτως ἔχει, κλίσιν δὲ τὴν δέουσαν ἀναδέχεται, ὡς εἰ καὶ ἁπλᾶ καθεστήκει, σαφὲς ὅτι καὶ παράκειται μᾶλλον ἡ πρόθεσις, ἤπερ σύγκειται. καὶ ὥσπερ παραδεξαμένη τὸ ἄρθρον ἐν τοῖς πτωτικοῖς ἐδίδαξε τὴν παράθεσιν, οὕτω παραδεξαμένη τὴν γινομένην κλίσιν ἔσωθεν, ταὐτὸ ἐπιδέξει)· ὅπου γε καὶ τοὺς πλαγιασμοὺς ἐπιδέχεται· καταγράφω, κατέγραφον· καταλαλῶ, κατελάλουν.

ἴσ. οὐχ ὁμολογεῖ

ἴσ. ἔδειξε

ἴσ. ἐπιδείξεται

διπλασιασμοὺς

ζ, Τίς ἡ αἰτία τῶν κεκλιμένων κατὰ τὰς προθέσεις, λύσιν, ἐγκείμενον.

Οὐδ' ἐκεῖνο πιθανὸν, καθ' ὅ φησιν ὁ Τρύφων ἐν τῷ Περὶ προθέσεων, ὡς ἡνωμέναι μέν εἰσιν αἱ προθέσεις μετὰ τῶν

iam mutare sedem possunt; vt νέα πόλις, νέας πόλεως: ἀγαθοῦ δαίμονος, ἀρείου πάγου: præsertim adiuuāte tenore, qui bis assumitur. Hoc ipsum cerni potest etiā in ipsis præpositionibus: siquidē supra cognouimus τὸ παράνομον, τὸ περίκλυτον, articuli accessione, nullam fateri appositionem, sed cōpositionē: at recedente præpositione ante interiectum articulum, tunc fieri appositionem; vt παρὰ τοῦ νόμου: compositionem vero, si annexa præpositione, articulus extrinsec' accesserit; sicuti sunt composita τοῦ παρανόμου, τοῦ περικλύτου. Quare etiam in verbo καταγράφω, si præpositio connexa est, sedem omnino non mutabit ex regula superius tradita: quod si connexa non est, & tamen verba conuenienter & cōgrue flectuntur, perinde ac si essent simplicia; dubium non est quin præpositio apposita sit potius quam cōposita: & quemadmodum in casualibus, articulo recepto arguit appositionem; ita in verbis, recepta inclinatione, quæ fit intrinsecus, idem omnino demonstrabit: quandoquidem duplicationes etiam admittit; καταγράφω, κατέγραφον: καταλαλῶ, κατελάλουν.

7, Quid faciat vt verba cum præpositionibus declinētur, λύσιν, ἐγκείμενον.

Ac ne illud quidem probabile est, quod ait Trypho in libro De præpositionibus. nam ait ille, præpositiones connecti illas quidem cum

verbis; declinationem vero, quæ extrinsecus accedit, nõ admittere; quoniã, præpositiones quum sint, nihil quod antecedat, habere debẽt. Primũ, quia difficile est mutare verba cõposita, quomodocumque sint composita: id quod etiam alio loco demonstratum est. cur enim hoc (vt iam diximus) eis potius appositis, quam cõpositis accidit? Deinde, si, quia præpositiones sunt, iccirco nihil ad eas extrinsecus accedit: cur in nonnullis accessit declinatio, vt in ἠνώεπε, ἠνωχλῆσθαι, ἠναντιωμένην? vt missa faciam illa quæ & ipsa in vsu sunt, κεκάμμυκα, κεκάθικα. Verum si quis etiam hæc respuat, vt non recte inclinata; quæ tamen alias docuimus ordinem naturalem maxime secuta esse: illud nihilomin⁹ adhuc restabit; hoc est, præpositionem tum demum congruam cõstructionem obtinere, cum suum nomẽ retinet, & præpositio vocatur: at quum est composita cum aliqua orationis parte, tum ne præpositio quidẽ vocatur amplius, sed fit pars totius nominis: itaque non recipit proprietates prępositiõis. Hoc autẽ probari potest ex iis quæ antea a nobis dicta sunt. nam quum in vocabulo διοίκης, ppositio pars eius nominis facta est, in cõposito θυρανοίκτης etiam in secũda syllaba retinet compositionẽ: quamquam in principio semper composita; vt in κατάδρομος. in quo ad no-

ῥημάτων, οὐ μὴν τὴν προσγινομένην κλίσιν ἔξωθεν ἐπιδέχονται· καθ' ὃ, προθέσεις οὖσαι, οὐκ ὀφείλουσι πρὸ ἑαυτῶν τι ἔχειν. πρῶτον μὲν, ὅτι ἄπορον, τὰ ὁπωσδήποτε συντεθέντα, ἔτι μετακινεῖσθαι· ὅπερ καὶ ἀπεδείχθη. τί γὰρ μᾶλλον (ὡς ἔφαμεν) παρακειμέναις αὐταῖς τὸ τοιοῦτον παρακολουθεῖ, ἤπερ συντεθειμέναις; δεύτερον, εἴπερ καθ' ὃ προθέσεις εἰσί, διὰ τοῦτο οὐδὲ ἔξωθέν τι προσγίνεται αὐταῖς, τί δήποτε ἐπ' ἐνίων προσεγένετο, ἠνώεπε, † ἠνωχλῆσθαι, ἠναντιωμένην; ἵνα μὴ λέγω καὶ κατὰ τὴν συνήθειαν κεκάμμυκα, † κεκάθικα. ἀλλ' εἰ καὶ τὰ τοιαῦτά τις † παραπέμψαιτο ὡς οὐ δεόντως κεκλιμένα, ἃ δὴ καὶ μάλιστα φυσικῶς εἴχετο ἀκολουθίας, ὡς ἐν ἑτέροις ἐδιδάξαμεν· ἐκεῖνό γε μὴν ἔτι διαμένει, ὡς τότε ἡ πρόθεσις τῆς δεούσης συντάξεως τυγχάνει, ἡνίκα καὶ τὸ ὄνομα συνέστιν αὐτῇ, τὸ καλεῖσθαι πρόθεσις. ὁπηνίκα μέντοι συντεθεῖσα μετά τινος μέρους λόγου, οὐκ ἔτι οὐδὲ πρόθεσις καλεῖται, † μέρος γινομένη τοῦ ὅλου ὀνόματος, [ὃ τηνικαῦτα οὐδὲ τὰ ἰδιώματα τῆς προθέσεως ἀναδέξεται).] παρὸν πιστώσασθαι ἐκ τῶν προκατειλεγμένων. ὅταν γὰρ ἐν τῷ διοίκη- μέρος ὀνόματος ἐγένετο, ἔσχε καὶ δευτερεύουσαν τὴν σύνθεσιν ἐν τῷ θυρανοίκτης· καίτοι κατ' ἀρχὰς ἀεὶ συντεθειμένη, ὅτε συνετέθη ἐν τῷ κατάδρομος, εἰς ὄνομα χωρή-

φυσικῶς

ἴσ. ὡς ὅτι

μεταχωρήσαντα, ἔξωθεν προσκείμενον εἶχε τὸ ἄρθρον· οὐκέτι δὲ τῷ λόγῳ τῆς προθέσεως ἀρχτικὴ γινομένη, δευτέρα δέ ἐστι τοῦ ἄρθρου. ἐδείκνυτο γοῦν ἐν παραθέσει μὴ παραχωροῦσα τοῦ τόπου τῷ ἄρθρῳ, ἐν τῷ, κατὰ Κτησιφῶντος, καὶ ἔτι κατὰ τοῦ Κτησιφῶντος· ἐκ Λέσβου, καὶ ἐκ τῆς Λέσβου. εἴπερ οὖν ἑνῶντο καὶ ἐν τῷ καταγράφω, ἀδιάφορον εἶχε τὸ ἔξωθεν ὐκ ἴσ †προσκλιθῆναι. ὡς γὰρ ἔφαμεν, οὐκέτι πρόθεσις, μέρος δὲ ῥήματος. εἰ δὲ οὐ προσδίδωσι τῇ κλίσει τὸ ἔξωθεν ἐγγενέσθαι, ὁμόλογον ὅτι καὶ τὸ ἰδίωμα οὐκ ἄλλο τι σημαίνει ἢ τὴν †παράθεσιν. ἀλλ' οὐδὲ τὰ τοῦ τόνου ἀπεμφαίνοντά εἰσιν. ἰδοὺ γὰρ ἔχει τὸ ἰδίωμα τῆς παραθέσεως, τὸ συντηρεῖν τοὺς τόνους, κατεῖχον, καθῖκεν, προῆλθον. καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος.

†Τούτοις οὖν τοῖς λόγοις προσέχων [τις,] δόξει μετὰ πάσης ἀκριβείας πιστοῦσθαι, ὡς μᾶλλον ἐν παραθέσει εἰσὶν αἱ προθέσεις, ἤπερ [καὶ] ἐν συνθέσει. ἀλλ' ἔστι πρὸς ἕκαστον τῶν εἰρημένων ἀπαντῆσαι οὕτως· οὐκ οἰητέον κεκλίσθαι τὰ ἀπὸ προθέσεως ἀρχόμενα, κατὰ τοὺς παρῳχημένους χρόνους· συντίθεσθαί γε μήν, κατὰ τὴν ἑκάστου διαφοράν. ᾧ γὰρ λόγῳ παρὰ τὸ γράφω ἐγένετο καταγράφω, †τούτῳ παρὰ τὸ ἔγραψα, τὸ κατέγραψα. †ὁ αὐτὸς γὰρ τῶν προειρημένων χρόνων [λόγος,] ἀπαγγελλόμενος κατὰ τὴν τοῦ πράγματος διάθεσιν,

men accedēs, composita est, articulum extrinsecus præpositum habet, non ipsa præponitur articulo, sicuti præpositionis ratio postulat, sed eum sequitur: & tamen demonstratum est, eam appositam articulo nō cedere, nec pati vt principem habeat locum; vt in illo, κατὰ Κτησιφῶντος, & κατὰ τοῦ Κτησιφῶντος: ἐκ Λέσβου, & ἐκ τῆς Λέσβου. Quare si in verbo etiā καταγράφω esset composita, posset extrinsecus indiscriminatim inclinari. est enim (quemadmodum diximus) nō præpositio amplius, sed verbi pars. Quod si non concedit illud, vt extrinsecus possit accedere inclinatio, facit vt minime dubiū sit, proprietatem præpositionis nihil aliud esse quā appositionem. Ac ne tenor quidē nostris rationibus repugnat. nā ecce appositionis illa est proprietas, vt tenorem videlicet conseruet; κατεῖχον, καθῖκεν, προῆλθον: & in aliis id genus eadem ratio. Quare si quis animum bis argumētis adhibeat, illud accuratissime probatum existimauerit, præpositiones in appositione potius spectari, quam in compositione. Verumtamen ad singula superius dicta sic potest occurri. Non est existimandum, verba, quæ a præpositione ordiūtur, inclinari in præteritis, sed pro diuersa vniuscuiusq; natura, cōponi. nam quemadmodum a γράφω fit καταγράφω, ita ab ἔγραψα fit κατέγραψα. eadem enim prædictorum tempōrum ratio, pronuntiata pro rei, de qua agitur, genere,

eandem præpositionum positionem in diuersis suis recipit figuris; quoniã in iisdem eadem res continetur. Huius autem rei demonstratio certissima illa fuerit, quod præterita interdum priuatim cõponuntur, a nullo præsente deriuata; & futura item, & præsentia, quæ carent præteritis. Quod si consequeretur vt compositio duceret a pręsente initium, & ad præterita perueniret; esset etiã consequens vt nullum præteritum priuatim cõponeretur, nisi compositionem a præsente suo deduceret. at in hoc exemplo, ἔφαγον, κατέφαγον, nulla pręsentis est mẽtio: & futuri κατοίσω, præsens in vsu non est, neq; etiam præteritum: præterea in præsente ἄπειμι dicimus, cum pręterita vsu celebrata non sint. Ergo licebit priuatim, vt vnumquodque tempus compositionẽ recipiat: quoniam vnumquodq; per se pronuntiari potest, & propriã referre cõpositionem, nec exspectare vt eam a præsente mutuetur. Huius rei exempla permulta possunt afferri. Illas tamen verborum figuras cõprobamus, quæ nimirum flectuntur cum præpositionibus. nam in eis præpositiones recipiunt discrimen pręteritorum, ortum a tempore præsenti; vt est illud, ἐνέπω, ἤνεπον, sicut ἤλαυνον: καμμύω, ἐκάμμυον, sicut ἔκαμπτον. Illud etiã sciendum est, a verbo ἐνοχλῶ præteritum ἠνώχλουν flecti: cui sic inclinato adiunctam

τὴν αὐτὴν ἐκ τῶν προθέσεων θέσιν, παρεδέχετο ἐν τοῖς ἰδίοις μεταχηματισμοῖς· ὅτι καὶ τὸ αὐτὸ πρᾶγμα ἐνεχεῖτο. τούτου δὲ ἀπόδειξις ἰσχυροτάτη γένοιτο τὸ καὶ τοὺς παρῳχημένους ἰδίᾳ ποτὲ συντίθεσθαι, μὴ ὄντων ἐνεστώτων· καὶ ἔτι μέλλοντας καὶ ἐνεστῶτας, οὐκ ὄντων παρῳχημένων. ὅπερ εἰ παρείπετο, ἐξ ἐνεστῶτος ἄρχεσθαι τὰς συνθέσεις, καὶ μετιέναι ἐπὶ τοὺς παρῳχημένους, παρείπετο ἂν τὸ μὴ ἰδίᾳ συντεθεῖσθαι παρῳχημένον, χωρὶς τῆς κατὰ τὸν ἐνεστῶτα συνθέσεως· κατέφαγον, ἔφαγον· οὐδεμιᾶς οὔσης ὑπομνήσεως τοῦ ἐνεστῶτος· καὶ ἔτι κατοίσω, οὐκ οὔσης χρήσεως τῆς κατὰ τὸν ἐνεστῶτα, οὐδὲ φαμὲν τὸν κατὰ τὸν παρῳχημένον. καὶ ἔτι κατὰ τὸν ἐνεστῶτα ἄπειμι φαμὲν, οὐκ ὄντων προδήλων τῶν παρῳχημένων. †ἰδίᾳ ἄρα εἴη τὸ ἕκαστον χρόνον τὴν σύνθεσιν ἀναδέχεσθαι, καθ' ὃ ἕκαστος ῥητὸς ὤν, σύνθεσιν ἰδίαν ἀπηνέγκατο, οὐκ ἀναμείνας τὴν ἐξ ἐνεστῶτος γινομένην σύνθεσιν. ἔστι καὶ εἰς τὸ τοιοῦτον πάμπολλα παραθέσθαι· ἐκείνοις μέντοι †συγκατατιθέμεθα τοῖς σχήμασι, λέγω τοῖς κατὰ τὰς προθέσεις κλιθεῖσι. τὴν γὰρ ἐκ τοῦ ἐνεστῶτος γινομένην διαφορὰν, κατὰ τοὺς παρῳχημένους παρεδέξαντο αἱ προθέσεις· ὡς ἔχει παρὰ τὸ ἐνέπω [τὸ] ἤνεπον· ὅμοιον γάρ ἐστι τῷ ἤλαυνον· καμμύω, ἐκάμμυον, ὅμοιον τῷ ἔκαμπτον. χρὴ νοεῖν ὅτι παρὰ τὸ ἐνοχλῶ ἐγένετο ἠνώχλουν, καὶ κατὰ τὴν κλίσιν ἐπηνέχθη

ἔφαγον, κατέφαγον, F.P. κατέφαγον μὲν Soph.

ἐπηνέχθη σύνθεσις ἡ τοῦ παρῳχημένου. Καὶ φαίνεται, ὅτι μὴ πολλῶν τοιαύτη παράθεσίς ἐστι, τῶν κεκλιμένων ἐν τῇ ἐπικρατείᾳ καθ' ἕκαστον χρόνον συντεθειμένων προθέσεων, τὰ τοιαῦτα ἐδόκει ἄλογα καθίστασθαι. πρὸς ὅ οὐ γέ ἐστι φάναι, ὡς [εἰ] τὸ αὐτὸ ἀπαιτεῖ ὁ λόγος ταῖς; οὕτω συντεθειμέναις προθέσεσιν· † ὅτι οὐχὶ παραιτούμεναι τὴν ἔξωθεν κλίσιν [τὴν] ἐγγινομένην ἀποδιδόασιν· ὥστε φάναι καθιζομένην καθίσαι, λέγω μετὰ μακροῦ τοῦ ι· ὅπου γε καὶ μεταξὺ πεσόντος τοῦ συνδέσμου ἐγένετο, [γρ. εἰς ὑμ.] κὰδ δ' ἴσ' ἐν θαλάμῳ. ὁμολόγως οὖν γινομένης ἔξωθεν τῆς κλίσεως, τὸ ἐγγενέσθαι ἔξωθεν. ἀδύνατον γὰρ ἐκστῆναι τὸν παρῳχημένον χρόνον τῆς ἔξωθεν προσγινομένης κλίσεως. ὡς οὖν προείπομεν, τὰ τοιαῦτα, ἐξ ἐνεστῶτος σύνθεσιν ἀναδεξάμενα, μετῆλθε καὶ ἐπὶ τοὺς παρῳχημένους, οὐκ ἰδίᾳ συντεθειμένους, μεταληφθέντας δὲ ἐξ ἐνεστῶτος. ἐγὼ δὲ ὑπολαμβάνω ὅτι ἐν παρολκῇ αἱ συνθέσεις οὖσαι κατὰ πλέον, καὶ ὡς συλλαβαὶ πρόσκειμεναι τοῖς ῥήμασι, [ἴσ. τούτων] τὴν τούτου ἀπηνέγκαντο κλίσιν. οὐ γὰρ ὡς τὸ γράφω καὶ τὸ καταγράφω διάφορα, οὕτω καὶ τὸ ἵζω καὶ τὸ καθίζω, [ἕπω] εὕδω καὶ καθεύδω, ἕπω ἐνέπω. οὕτω γε εἰς ἓν ἁπλοῦν παραλαμβάνεται. τὸ δὲ ὑπὲρ τῶν τοιούτων, αὐτάρκως ἐν ἑτέροις ἡμῖν εἴρηται.

compositionem fecisse παρῳχημένου. Sed fortasse quis existimauerit, huiusmodi exempla carere ratione, quoniam exemplorum istiusmodi copia deest; verborum (inquit) quæ flectantur cum præpositionibus compositis, obtinentibus tempus vnuquodque. Quare ita occurrendum ei qui sic existimat. Ratio idem postulat in præpositionibus sic cōpositis: quia dum illæ non recusant inclinationem extrinsecus adscitā, eam etiam referunt quæ sibi insita est: quandoq; idem vel interiecta coniunctione hoc idem fit: κὰδ δ' ἴσ' ἐν θαλάμῳ. Il. γ. Quum igitur extrinsecus accesserit inclinatio, sequitur ι longam extrinsecus accessisse. fieri enim non potest vt præteritum de iure suo decedat, & inclinationē, quæ extrinsecus accedit, non retineat. Quare huiusmodi verba (quemadmodum iam diximus) recepta cōpositione, quæ erat in præsenti, eam transferunt etiam ad præterita, quæ compositionem nō priuatim, sed a præsenti tempore transsumptam habent. Ego tamen existimo compositiones pleruumq; abundare, & loco dictionū verbis præpositas, eorū inclinationem recepisse. Etenim non sicuti γράφω & καταγράφω, ita etiam ἵζω & καθίζω, εὕδω & καθεύδω, ἕπω & ἐνέπω, diuersa sunt: atque ita pro verbo simplici accipiuntur. Sed de his alio loco copiosius a nobis disputatum est.

ζ

8, Participia verbis apposita, decomposita esse potius quam composita.

η', Ὅτι οὐ μᾶλλον σύνθετοί εἰσιν αἱ μετοχαὶ παρακείμεναι τοῖς ῥήμασιν, ἤπερ παρασύνθετοι.

Huius autem rei certissima fides peti potest etiam a participiis. nam si ab omnibus conceditur, καταγράφων vnam orationis esse partē recti casus, quoniam ante præpositionē admittitur articuli appositio; concedetur etiā verbū eius καταγράφω vnicam esse orationis partem: nam in eadem figura participiū & verbum versatur. Hinc fit vt ἀνατλάς sit participium; quoniam exstat eius verbum ἀνέτλην: at non ita πολύτλας: participium enim recepit figuram propriam: & quum figurā verbi non sit assecutum, nō potuit simul assequi vt esset participium. Sed hanc disputationē absolutius tractauimus in libro De participiis. Illud etiam addendum est; si nominatiui sociati verbis in eadem persona non recipiunt præpositionis appositionem, sed compositionē, propter verbum quocum sociatur; quid est cur violentum illud non videatur vt, quod est causa vt præpositionū appositio adsit, idem appositionem non recipiat? Rursus enim ne vocatiuus quidē appositionem recipit propter verbum quocum sociatur; reliqui tamen casus recipiunt, quia societatem verbi vitant. demōstrauimus enim in superioribus, verba in diuersis intelligi personis, quum dicimus κατ' Ἀριστάρχου λέγω. Præterea tenoris etiam ratio demōstrat inclinatam compositionem. eius-

Ἔστι δὲ καὶ ἀπὸ τῶν μετοχῶν ὁ λόγος πάνυ ἀκριβέστατος. εἰ δέδοται ὅτι καταγράφων ἕν ἐστι κατ' εὐθεῖαν πτῶσιν, καθ' ὃ ἡ παράθεσις τοῦ ἄρθρου πρὸ τῆς προθέσεως, δίδοται † ὅτι καὶ τὸ καταγράφω ἕν ἐστιν. ἐν γὰρ τῷ αὐτῷ σχήματι καταγίνεται μετοχὴ καὶ ῥῆμα. διὰ τοῦτο τὸ ἀνατλάς, μετοχή, συνυπάρχοντος τοῦ ἀνέτλην· οὐ μὴν πολύτλας. ἰδίαν γὰρ θέσιν ἀναδεξαμένη ἡ μετοχὴ καὶ μὴ μετέχουσα τῆς τοῦ ῥήματος θέσεως, ἀπέπεσε τοῦ καὶ εἶναι μετοχή. τὸν τοιοῦτον λόγον ἐντελέστερον ἐξεθέμεθα ἐν τῷ Περὶ τῶν μετοχῶν. Ἔστι καὶ τοῦτο προσθεῖναι· εἴπερ [αἱ] εὐθεῖαι συμπαραφερόμεναι τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον, οὐ παραδέχονται καὶ προθέσεως παράθεσιν, σύνθεσιν δέ, διὰ τὴν τοῦ ῥήματος σύνοδον· πῶς οὐ βίαιον, τὸ αἴτιον τοῦ συνεῖναι τὴν παράθεσιν τῶν προθέσεων, τὸ αὐτὸ μὴ ἐπιδέξασθαι τὴν παράθεσιν; † πάλιν γὰρ οὐδὲ ἡ κλητικὴ παράθεσιν ἐπιδέχεται, κατὰ τὴν τοῦ ῥήματος σύνοδον· [αἵ γε μὴν ὑπόλοιποι πτώσεις, καθὸ ἐξέφυγον τὴν τοῦ ῥήματος σύνοδον.] ἐδείξαμεν γὰρ ἐν τοῖς προκειμένοις, ὡς ἐν διαφόροις προσώποις τὰ ῥήματα νοεῖται ἡνίκα φαμέν, κατ' Ἀριστάρχου λέγω. ἔστι καὶ ὁ ἀπὸ τοῦ τόνου λόγος συνάγων τὴν ἐγκλινομένην σύνθεσιν. τὸ μὲν γὰρ

μὲν γὰρ τὰς αὐτὰς τάσεις φυλάττεσθαι, ἴδιόν ἐστι καὶ παραθέσεως καὶ οὐ συνθέσεως· παρὰ τοῦ σοφοῦ ἦλθε, παρὰ τὸν σοφὸν ἐγένετο. † ἀλλὰ μὴν καὶ ἐν συνθέσει ἡ μονὴ τοῦ ἑνὸς τόνου γίνεται, περικλυτός, παναχαιός, ἀντεραστής· τό γε μὴν ἀναβιβάζειν τὸν τόνον, ἴδιόν ἐστι συνθέσεως. οὐχὶ οὖν ἐν τῷ καθῆψαν, ἐν τῷ προσεῖχον, μᾶλλον σύνθεσις, ἢ παρασύνθεσις· καὶ γὰρ ἀμφότερα δύναται εἶναι. ἔν γε μὴν τοῖς ἀναβιβαζομένοις, τὸ ἐξαίρετον τῆς συνθέσεώς ἐστιν. † ἀνεβιβάσθη τὸ κάθηται, τὸ ἀνάκειται· τὸ σύνειμι, τὸ σύμφημι, καὶ τὸ σύνοιδα, καὶ ἄλλα πλεῖστα ὑπὲρ ὧν τὰς αἰτίας ἐκθήσομεν. † ὥσπερ καὶ ἐπὶ τῶν ὀνομάτων φαμέν τινα συντεθειμένα ἀναβιβάζειν τὸν τόνον, καί τινα τὴν ταυτότητα τοῦ λόγου συντηρεῖν. † τὸ δὲ μεῖζον, [ὅτι] ὅλη ἡ προστακτικὴ ἔγκλισις, κατὰ τὴν τῶν ἐνεργητικῶν ῥημάτων προφοράν, οὖσα δισύλλαβον, ἀναβιβάζει τὸν τόνον, κάτελθε, † κατάβηθε, περίγραφε. καὶ οὐδὲ κατ' ὀλίγον διστάξαι ἐστὶ περὶ τῆς συνθέσεως. καὶ εἰ ὁμολόγως τὰ τοιαῦτα σύνθετα, πῶς οὐκ ἂν δοθείη καὶ τὰ τῆς ὁριστικῆς ἐγκλίσεως σύνθετα; μία γὰρ [ἡ] ἔγκλισις, καὶ μία συνδρομὴ τῆς προθέσεως, καὶ μία σχέσις ἡ κατὰ τοῦ ῥήματος. ἰδοὺ δὴ καὶ ἡ ὑποτακτικὴ ἔγκλισις ἐπιδέχεται τοὺς ἐπιζευκτικοὺς συνδέσμους πρὸ τῶν προθέσεων, ἐὰν καταλάβω, ἐὰν καταγράφω. ὅπερ οὐκ ἂν παρείπετο, τῶν

ἴνα

ἢ αἰτ. soph.

τῆς πιν.

dem enim tenoris conſeruatio eſt appoſitionis propria, non compoſitionis: παρὰ τοῦ σοφοῦ ἦλθε, παρὰ τὸν σοφὸν ἐγένετο. Atque etiam in compoſitione idē tenor retinetur; περικλυτὸς, παναχαιὸς, ἀντεραστής: ſed reiectio tenoris in antecedentes ſyllabas, eſt compoſitionis propria. Ergo in illis καθῆψα, & προσεῖχον, cōpoſitio eſt potius quam παρασύνθεσις, i. a compoſito deriuatio: vtrumque enim eſſe poteſt. in iis tamen quæ tenorem habent reiectum in antecedēti ſyllaba, ratio eſt pręcipua cōpoſitionis. Reiectum itaque habent tenorem illa, κάθηται, ἀνάκειται, σύνειμι, σύμφημι, σύνοιδα, & alia plurima; quorum cauſas aperiemus. Simili ratione dicimus nonnulla nomina reiicere tenorem; alia contra, tenorem retinere. qđ autem maius eſt, omnes imperatiui modi verborum actiuorum, quæ proferuntur duabus ſyllabis, reiiciunt tenorem; κάτελθε, κατάβηθε, περίγραφε: & ne minima quidem dubitatio eſt de eorum compoſitione. Quod ſi nemine repugnāte imperatiui modi eiuſmodi cōpoſiti ſunt, quid eſt cur nō concedat quis modum etiam indicatiuum eſſe compoſitum? vnus enim eſt modus; vnus præpoſitionis concurſus, & vna eademque verbi relatio. nam ecce coniunctiuus quoq; modus recipit coniunctiones adiunctiuas ante præpoſitiones; ἐὰν καταλάβω, ἐὰν καταγράφω: hoc autem illi non accideret, ſi

præpoſitiones principem locum occuparēt. Idem poteſt pſpici etiā in reliquis modis, qui ante ꝓpoſitiones extrinſecus aſſumūt aduerbia, quæ eis adiunguntur; εἴθε καταλάβοιμι, ἄγε κατάλαβε. Hactenus de eo ꝙ præpoſitiones cum verbis iunctæ ſunt. Perſpicuū eſt igitur, participia, quæ ſunt eiuſdem ordinis, a ſuis transſumpta verbis, eandem recipere figurā, vt habet παρεστὰς cum ſuo aoriſto παρέστη. nam eodē modo & illud παραφέροντος, a verbo παραφέρω deductum, vna orationis erit pars: ꝙ ſi ſit παρὰ τὸ φέρω, (quēadmodum iam diximus) duæ orationis erunt partes, interpoſito articulo inter ꝓpoſitionem & verbū, παρὰ τοῦ φέροντος. Verius itaque dixeris eiuſmodi figuras παρασύνθετα, i. deductas a cōpoſitis, q̄ compoſitas: quoniam q̄libet pars orationis cōpoſita, in aliam figuram mutata, habet figuram illam mutatam nō compoſitam amplius, ſed a cōpoſita deductam. Hinc fit vt tenores eorum quæ ſimplicia, & eorū quæ a compoſitis deducta videntur, eandē ſedem occupent; quia ſimplicia & decōpoſita analogiam eandē ſequūtur. hoc aūt, in libro De figuris fuſius demonſtratur. Compoſitum itaq; illud dicimus, qđ ex acuto tenore in grauem tranſiit, in nominibus in ος cadentibus; πολύσοφος: decōpoſitum vero, quod tenorē non reiecit, quia non erat compoſitum, ſed verbo compoſito adiacebat, vt verbo ἐπακούω, nomen ἀγορῆς ἐπακουὸν ἔοντα.

Heſiod. Op. & d.

προθέσεων ἀεὶ τὸν ἀρχικὸν τόπον ἐπεχουσῶν. σαφὲς κἀκ τῶν λοιπῶν ἐγκλίσεων, αἳ πρὸ τῶν προθέσεων τὰ προσλεγόμενα αὐτῶν ἐπιρρήματα, ἔξωθεν προσλαμβάνουσιν· εἴθε καταλάβοιμι, ἄγε κατάλαβε. καὶ τοσαῦτα ἂν εἴη περὶ τοῦ ἡνῶσθαι τὰς προθέσεις τοῖς ῥήμασι.

Πρόδηλον [δὴ] ὡς [αἱ] συνοῦσαι μετοχαὶ, μεταλαμβανόμεναι ἀπὸ τοῦ ῥημάτων, σχέσιν τὴν αὐτὴν ἀναδέχονται· ὡς ἔχει ἡ παρεστὰς πρὸς τὸ παρέστη. οὕτω γὰρ καὶ τὸ παραφέροντος πάλιν, συνυπάρχοντος τοῦ παραφέρω, καταστήσεται εἰς ἓν μέρος λόγου· εἰ μέντοι εἴη παρὰ τὸ φέρω, † καθὼς προείπομεν, δύο μέρη λόγου γενήσεται τὸ παραφέροντος, τοῦ ἄρθρου τιθεμένου μεταξὺ τῆς προθέσεως. καὶ ἔστιν ἀληθὲς μᾶλλον καλεῖν τὰ τοιαῦτα σχήματα παρασύνθετα, ἢ σύνθετα· καθ᾽ ὃ πᾶν μέρος λόγου συντεθὲν, καὶ εἰς ἕτερον σχῆμα μεταπεσὸν, ἔχει τὸ μεταπλαστικὸν οὐκ ἔτι σύνθετον, παρασύνθετον δέ. ἔνθεν οὖν αἱ τάσεις τῶν τε ἁπλῶν καὶ τῶν δοκούντων συνθέτων εἰσὶ, τὸν αὐτὸν ἐπέχουσι τόνον· ἐπεὶ τὰ ἁπλᾶ καὶ παρασύνθετα, μιᾶς ἔχεται ἀναλογίας, ὡς δείκνυται ἐν τῷ Περὶ σχημάτων. † σύνθετον οὖν φαμὲν, τὸ ἐξ ὀξυτόνου εἰς βαρεῖαν τάσιν μετεληλυθὸς ἐπὶ τῶν εἰς ος, πολύσοφος· παρασύνθετον δὲ, τὸ μὴ ἀναβιβάζον τὸν τόνον. καθ᾽ ὃ οὐδὲ συνετέθη, τῷ δὲ συνθέτῳ δὲ ῥήματι παρέκειτο, τῷ ἐπακούω, τὸ, ἀγορῆς ἐπακουὸν ἔοντα.

γρ. παρὰ τὸ φέροντος

μεταπλωκὸς

γρ. παρασυνθ.

θ', Περὶ τοῦ ἐξὸν καὶ παρόν.

Ὁμόλογον δ' ὅτι καὶ τὸ ἐξὸν καὶ τὸ παρόν, σχῆμα τῶν προειρημένων μετοχῶν τὴν ἀναδέξεται, παραδείγματα [ὄντα] ἔξεστι καὶ πάρεστιν ἅπερ ἐστὶν ἐν οὐδετέρᾳ καταλήξει δεόντως· ἐπεὶ καὶ ἡ ἐξ αὐτοῦ σύνταξις ἐπὶ τὰ ἀπαρέμφατα φέρεται ἐκ συντάξεως ῥηματικῆς τῆς πρὸς τὰ ἀπαρέμφατα· πάρεστι τὸ φιλολογεῖν, παρὸν τὸ φιλολογεῖν [ἔξεστι καθεύδειν, ἐξὸν καθεύδειν.] Ταῖς ἀντωνυμίαις οὐδέποτε αἱ προθέσεις ἐν συνθέσει σύνεισι, κατὰ μέντοι πᾶσαν τὴν ὀρθὴν, ἐν ταῖς πλαγίαις πτώσεσι, κατὰ σοῦ, περὶ σοῦ. Διὰ τί δὲ μετὰ ὀρθῆς πτώσεως, ἐν τοῖς προεκδοθεῖσιν εἴρηται. ὁμόλογον δὲ ὡς τῇ κατὰ τὴν εὐθεῖαν οὐδ' ὅλως συντετάξεται ἡ πρόθεσις, οὔτε κατὰ παράθεσιν, [οὔτε κατὰ σύνθεσιν,] διὰ τὸ ἀνέφικτον τῆς συνθέσεως. ἤδη μέντοι οὖν ἐν ἀντωνυμικῇ συντάξει τετόλμηται τὸ ἐπέκεινα, καὶ ἔτι ἐν ἐπιρρηματικῇ τὸ ἔπειτα κατὰ χρονικὴν ἔννοιαν. ἐφ' οὗ καὶ τὰ τῆς μεταλήψεως εἰς τὸ μεταλαμβανόμενον τῆς ἀντωνυμίας μεταφράζεται, μετὰ ταῦτα. τοῖς γε μὴν ἄρθροις, οὐ ῥητοῖς οὖσι κατ' ἰδίαν, ἀλλ' οὐδὲ συντιθεμένοις, ἀεὶ δὲ ἐν παραθέσει οὖσι τῶν πτωτικῶν κατὰ τὴν αὐτὴν σύνταξιν, τούτων αἱ προθέσεις παράκεινται· οὗ τινος ἐν τοῖς προειρημένοις ἀκριβωθέντος μένου ἐν αὐτῷ γε μὴν αἱ προθέσεις καὶ συντίθενται, καὶ συμπαρατίθενται. διδομένου γὰρ τοῦ, ὡς ἐν εὐθείᾳ συντίθενται αἱ προθέσεις,

μετέπειτα

ὧντινος

ἠκριβωμένου·

ἑαυτοῦ γ.

Soph.

9. De vocibus ἐξὸν & παρόν.

Illud etiã liquido constat, voces istas ἐξὸν & παρὸν, figurã participiorum prædictorum recepisse, propter verba ἔξεστιν & πάρεστιν, quibus adiacent: quę voces neutri generis terminationem recte sortitæ sunt; quoniã earum constructio ad infinitum fertur modum, secuta constructionem suorum verborũ; ἔξεστι καθεύδειν, ἐξὸν καθεύδειν: πάρεστι φιλολογεῖν, παρὸν φιλολογεῖν. Cum ꝓnominibus vero numquã ꝑpositiones componuntur: obliquis tamẽ casibus apponuntur, sed tenore recto, κατὰ σοῦ, περὶ σοῦ. cur autem rectum tenorẽ habeãt in appositione, iam in superioribus libris explicauimus. nam de eo minime dubium est, cũ recto casu pronominum, nullo modo præpositionem sociari posse; ne per appositionem quidẽ; quoniam cõpositio nullam cũ eo casu potest habere societatem: in illa tamen constructione quæ speciem pronominis habet, ausa est accedere præpositio, nempe in ἐπέκεινα: & præterea in illa aduerbii *ἔπειτα, tempus significantis: in quo trãsumpto fit alia ꝓnominis transumptio, & diuersa voce dicitur μετὰ ταῦτα. Articulis tamen, q priuatim dici nõ p̃ssunt, & qui non componũtur, sed apponũtur semper casualibus eadem constructione; iis (inq̃) ꝑpositiones apponũtur: ac de ea re in superiorib. libris accuratius tractauim⁹. Secũ vero ꝑpositiones & cõponuntur,

μετέπειτα

& appositæ cõstruuntur. nã si concedas ꝑpositiones cõponi cũ nominatiuo,

concedes etiam vnicam orationis esse partem illã παρακαταθήκη: & si concedas eandẽ semper cum verbis cõponi, concedas etiam vnicam esse orationis partem ἐξυπανέστη: & si ἀναγινώσκειν, & ἀναγινώσκοντα vna orationis pars est; dubiũ non est, si ad eiusmodi figuram accedat altera præpositio, quæ cum verbo non sit iuncta, illã quæ accessit, fore appositam; quæ vero cũ verbo est coniuncta, fore compositam; ἀναγινώσκω, ἀναγινώσκοντα, & παραναγινώσκοντα: qđ etiam cũ articulo dici poterit, παρὰ τὸ ἀναγινώσκοντα. quod si quis dicat sic, παραναγινώσκοντα, etiam sic articulus extrinsecus accedet, τὸ παραναγινώσκοντα.

10, *De constructione aduerbiorum.*

Dicendum deinceps est de cõstructione aduerbiorum; & primum de iis quæ cũ prępositione iũcta, anticipatione quadam in numerum aduerbiorum recepta sunt. Ac Heraclides in libro De accẽtibus, in vniuersum distribuens dictiones quę acutũ recipere non possunt, ait aduerbium εἰς ο, nõ posse terminari acuto tenore; quoniã partes orationis terminatæ ο, tenorem acutũ in extrema syllaba recusant. Sed constat neutrũ etiam pronominis αὐτὸς, quod terminatur ο, αὐτὸ, tenorẽ eodem modo recusaturum fuisse: quoniam eundem habet tenorem quem suũ masculinũ. nulla igitur est causa cur tenor acutus adhibeatur in aduerbio εἰς ο. Ac ne illud

δοθήσεται) καὶ ἓν εἶναι τὸ παρακαταθήκη· καὶ δεδομένου ὅτι ἐν συνθέσει πάντοτε μετὰ τῶν ῥημάτων αἱ προθέσεις, δοθείη ὅτι καὶ ἐν συνθέσει λόγου τὸ ἐξυπανέστη· καὶ εἰ ἓν τὸ ἀναγινώσκειν, καὶ τὸ ἀναγινώσκοντα). καὶ δῆλον ὅτι εἰ [καὶ] προσγένοιτο ἑτέρα πρόθεσις τῷ τοιούτῳ σχήματι, οὐ συνούσης τῆς συντάξεως τῆς κατὰ τὰ ῥήματα, ἡ μὲν προσγεγονυῖα, ἐν παραθέσει εἰρήσεται· ἡ δὲ συνοῦσα τῷ ῥήματι, ἐν συνθέσει· ἀναγινώσκω, ἀναγινώσκοντα, καὶ παραναγινώσκοντα· καὶ ἔτι μετὰ τοῦ ἄρθρου παρὰ τὸ ἀναγινώσκοντα. εἰ δὲ οὕτω τις φαίη παραγινώσκοντα, καὶ ὡς ἔξωθεν τὸ ἄρθρον προσγενήσεται), τὸ παραγινώσκοντα.

ἴσ. συνιόντος D.

παραγνω. ὡς παραγνω.

ι, Περὶ συντάξεως τῶν ἐπιρρημάτων.

Ἑξῆς ῥητέον καὶ περὶ συντάξεως τῶν ἐπιρρημάτων, καὶ πρῶτόν γε ἐπὶ τῶν ἐκ συντάξεως προθετικῆς πρόληψιν ἀναδεξαμένων, ὡς εἴη ἐπιρρήματα. Ἡρακλείδης γοῦν, ἐπιμερίζων τὰς οὐ δυναμένας λέξεις ὀξεῖαν ἐπιδέξασθαι, ἐν τῷ Περὶ καθολικῆς προσῳδίας φησὶν, ὡς ἀσύστατον εἴη τὸ εἰς ο ἐπίρρημα, ἐν ὀξείᾳ τάσει καταγίνεσθαι· καθ' ὃ τὰ εἰς ο λήγοντα τῶν τοῦ λόγου μερῶν, ἀπέστραπται τὸ ἐπὶ τέλους ὀξῦναι. φαίνεται δὲ ὅτι καὶ ἡ τοῦ αὐτὸς οὐδετέρα ἀντωνυμία, εἰς ο λήξασα, εἶχε τὴν τοῦ τόνου ἀποπαραίτησιν· καθ' ὃ συνεζεύγνυτο τῇ ἀρσενικῇ τάσει. οὐ δὴ οὖν τις ἀφορμὴ περὶ τῆς ἐγγινομένης ὀξείας ἐν τῷ εἰς ο. οὐδὲ γὰρ ἐκεῖνο

ἴσ. ἕως πιθανὸν οἰητέον, ὡς παρὰ τὸ ἕως ἐπίρρημα ἐσχηματίσθαι, ἀπολύτων τῶν παρεπομένων ἐν ὑπερβατῷ γινομένων. ὁ γὰρ ἐπὶ D. χρόνος ὁ ἐπὶ τὸ τέλος, μετὰ [ἐπὶ] τὸ r Soph. ἄρχον· καὶ τὸ ἐπὶ τοῦ τέλους ι, ἐν μεσότητι παρελαμβάνετο· καὶ ἡ ἐν ἀρχῇ ὀξεῖα, μετὰ πνεύ. Soph. μετὰ τοῦ συνόντος πνεύματος συνετίθετο ἐπὶ τὸ τέλος. ἄμεινον [οὖν] ἐκδέξασθαι, ὡς ἐκ τῆς παραθέσεως προθετικῆς, καὶ ἀρθρικῆς συντάξεως, παρυφίστατο χρονικὴ σύνταξις, τῶν λέξεων κατὰ τὴν οὕτω παράθεσιν, τὰ παρεπόμενα αὖθις ἀναδεξαμένων. αὐταῖς Soph. ἐνεκλίνετο γὰρ ἡ πρόθεσις ἐξ ὀξείας τάσεως εἰς παράθεσιν παραλαμβανομένη· ὅπερ παρεπόμενόν ἐστι πάσῃ προθέσει· μόριόν τε τὸ ο ὠξύνετο μετὰ τοῦ συνόντος πνεύματος· ὃ παρεπόμενον ἦν πάσῃ λέξει οὐκ ἐχούσῃ πρὸ αὐτῆς ἑτέραν λέξιν. τοῦτο δέ φημι, ἐπεὶ πᾶσαι [αἱ] ὀξύτονοι ἐκφοραί, ἐν παραθέσει οὖσαι ἑτέρων λέξεων, εἰς βαρεῖαν μεταπίθενται, ὡς ἐν τῷ, ἢ μὴ μινύθῃ, καὶ τοῖς ὁμοίοις. οὕτως ἔχει καὶ τὸ ἐξ οὗ, ἐν ᾧ, ἀφ' οὗ· καθ' ὅτι ἐστὶν ἐπινοῆσαι καὶ ἐν ὀνόμασι τὸ τοιοῦτον παρεπόμενον, ἐν οἴκῳ, ἐκ Λέσβου, εἰς οἶκον. ἔννοια γὰρ τοπικὴ ἡ ἐκ τούτων μία, ἰσοδυναμοῦσα ἐπιρρηματικῇ παραγωγῇ, λέγω τῇ λεσβόθεν, οἴκαδε, οἴκοθεν. παρεστήσαμεν καὶ ἀλλαχόθι, ὡς τὸ οἴκόνδε, ὄλυμπόνδε, τὰ τούτοις ὅμοια, δύο μέρη λόγου καθεστῶτα, εἰς σύνταξιν μίαν ἐπιρρήματος παραλαμβάνεται· κἀκεῖνο προσδιασαφήσαντες ὡς αἱ προθέσεις αἰτι-

quidem probabile existimádum est, ab aduerbio ἕως hoc εἰς ὃ formatum esse, omnibus accidentibus transpositis. tépus enim extremæ syllabæ secutum fuisset primam syllabam, & extremæ syllabæ ι in medio collocata fuisset, & acutus atque spiritus primæ syllabæ in extrema coïssent. Est igitur accipiendű potius illo modo; nempe ex appositione præpositionis, & articuli constructione, cõnexas fuisse dictiones istas, tempus significantes, atq; in ista appositione recepisse sua accidentia. præpositio enim assumpta per appositionem, ex acuto tenore fit enclitica: id quod accidit cuilibet præpositioni. particula vero ὁ retinet acutum, & suű spiritum: quod accidit cuilibet dictioni, quæ non habeat alteram dictioné antecedétem. Hoc ita dico, quoniá omnia pronuntiata cum acuto tenore, si aliis apponantur dictionibus, mutant acutű in grauem tenoré; vt in illo, ἢ μὴ μινύθῃ, Il. ε. & in similibus. Eadem est ratio illorum, ἐξ οὗ, ἐν ᾧ, ἀφ' οὗ: vt etiam in nominibus idé accidere videre licet; ἐν οἴκῳ, ἐκ Λέσβου, εἰς οἶκον. vnus enim istorű sensus est locum significans, & valet idem atq; aduerbium ex his deductű, λεσβόθεν, οἴκαδε, οἴκοθεν. Quin etiá alias demonstrauimus, duas orationis esse partes quæ in vná aduerbii constructionem assumútur, οἰκόνδε, ὀλυμπόνδε, & cæteros similes: illud etiá aperte declarauimus, præpositiones acci-

pi loco cōiunctionum. Ergo nō fuerit coactius, si viceuersa, coniunctio pro præpositione accipiatur. Sed illud fortasse quærat quis, quî fiat vt ἐν οἴκῳ, ἐξ οἴκου, loci; illa vero, ἐξ οὗ, ἐν ᾧ, ἀφ' οὗ, iuncta cum articulo, temporis significationem habeant. Huius etiā rei reddi potest ratio: nam ἐν οἴκῳ & ἐξ οἴκου, necessario loci significationem habēt; quoniam multo ante locum significabāt: sed articuli, qui nihil tale significāt, sed tantummodo relationem, quę significationem temporis habet; (siquidē relatio admonet nos temporis, in quo res, quæ refertur, facta fuit) cōsentanee in antedicta cōstructione temporis significationem præ se ferent. Neq; vero quoniam dicimus huiusmodi particulas per appositionem constitui, cōtinuo in distributione partium orationis, desciscent a sua constructione propter nouitatem superiorū vocū. Sūt enim duæ orationis partes: sed vtriusq; concursu vna fit: atque ita in vna re significanda, duæ exsistunt voces: quas sic in vnum iunctas accepimus; εἰς ὅ inquam, ἐν ᾧ, & ἐξ οὗ. ita etiā aduerbia de quib. supra, οἴκονδε, ἀγρόνδε. Illud etiam non prætereo, quod ab Heraclide dictum fuit; ὅπει per synalœphen ex prædicta constructione factum temporis aduerbium. nam ex aduerbio (inquit) loci οὗ efficitur ει Dorica transsumptio: similiter ex aduerbio ποῦ, πῆ: & αὐτοῦ, αὐτῇ. cum ista vero ει

